

This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

Google

BX
250
P21+
v.5

CORNELL
UNIVERSITY
LIBRARY



Willard Fiske
Endowment

Digitized by Google

Cornell University Library
BX250 .P21
+ v.5
Analekta hierosolymitikes stachiologias
3 1924 032 338 836
olin Overs

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

ΑΝΑΛΕΚΤΑ

ΙΕΡΟΣΟΛΥΜΙΤΙΚΗΣ ΣΤΑΧΥΟΛΟΓΙΑΣ

ἢ

ΣΥΛΛΟΓΗ ΑΝΕΚΔΟΤΩΝ

καὶ σπανίων ἑλληνικῶν συγγραφῶν περὶ τῶν κατὰ τὴν Ἑῴαν ὀρθοδόξων ἐκκλησιῶν καὶ μάλιστα τῆς τῶν Παλαιστινῶν

ΣΥΛΛΕΓΕΝΤΑ ΜΕΝ ΚΑΙ ΕΚΔΙΔΟΜΕΝΑ

ὑπὸ

Α. ΠΑΠΑΔΟΠΟΥΛΟΥ-ΚΕΡΑΜΕΩΣ

ἐκτυπούμενα δὲ ἀναλώμασι τοῦ

ΑΥΤΟΚΡΑΤΟΡΙΚΟΥ ΟΡΘΟΔΟΞΟΥ ΠΑΛΑΙΣΤΙΝΟΥ ΣΥΛΛΟΓΟΥ

5

ΤΟΜΟΣ ΠΕΜΠΤΟΣ

ΕΝ ΠΕΤΡΟΥΠΟΛΕΙ
Ἐκ τοῦ τυπογραφείου Β. Κιρσβαουμ
1898

Digitized by Google

M. E. Saltykov-Shchedrin State Public Library
2/4/68

Papadopoulos Kerameus, Athanasios

BX
250
P21+
v.5

52348

Digitized by Google

ΑΝΑΛΕΚΤΑ

ΙΕΡΟΣΟΛΥΜΙΤΙΚΗΣ ΣΤΑΧΥΟΛΟΓΙΑΣ

ἢ

ΣΥΛΛΟΓΗ ΑΝΕΚΔΟΤΩΝ ΚΑΙ ΣΠΑΝΙΩΝ

ΕΛΛΗΝΙΚΩΝ ΣΥΓΓΡΑΦΩΝ

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΤΗΝ ΕΩΑΝ ΟΡΘΟΔΟΞΩΝ ΕΚΚΛΗΣΙΩΝ

ΚΑΙ ΜΑΛΙΣΤΑ ΤΗΣ ΤΩΝ ΠΑΛΑΙΣΤΙΝΩΝ.

Digitized by Google

Digitized by Google

ΠΡΟΛΟΓΟΣ.

Ὁ πέμπτος οὑτοσὶ τόμος δίδωσι πέρας τοῖς Ἀναλέκτοις, ἐμοῦ αὐτοῦ διὰ συνεχεῖς ἀρρωστίας οὐ δυναμένου τὸ παράπαν τό γε νῦν καὶ τοῦ προηγγελμένου τοῖς ἀναγνώσταις ἕκτου παρασκευάσαι τόμου τὴν ὕλην· περιέλαβε δ' ἐν ἑαυτῷ δέκα καὶ τέσσαρα κείμενα, βίους μὲν ἢ μαρτύρια διεξηγούμενα κατὰ λεπτὸν ἐνίων τῆς Ἐκκλησίας ἁγίων ἀνδρῶν, σχέσιν δ' ὁπωσοῦν καὶ ταῦτα πρὸς τὴν ἱστορίαν ἔχοντα τῆς Παλαιστίνης· ἅπερ οὐ μόνον ἐξ ἀπογράφων ἐλήφθη ἱεροσολυμιτικῶν (ὁ γὰρ τοῦ πρώτου τόμου πρόλογος ὑπέσχετο τοιαῦτα μόνον ἐν τοῖς Ἀναλέκτοις ἔσεσθαι), ἀλλὰ δὴ καὶ ἐξ ἑτεροίων τινῶν ἀπογράφων. Τέλος μὲν οὖν ἅπαντες ὁμοῦ οἱ πέντε τῶν Ἀναλέκτων τόμοι σὺν ἑτέροις οὐκ ὀλίγοις τόμοις ἡμετέρων τινῶν βιβλίων ἐξετυπώθησαν ἐν χρόνῳ σχετικῶς βραχυτάτῳ (1891-1898)· ἐγὼ γὰρ ἐξ ἀρχῆς φιλοτιμίᾳ τινὶ καί τισιν αἰτίαις, ἐμοὶ αὐτῷ τὰ μάλιστα διαφερούσαις, ἐνύγην οὕτως, ὡς πάντας ἐκείνους τάχιστα τυπωθέντας τάχιστα καὶ τοῖς χρῄζουσι διαδοῦναι φιλολόγοις, οὐδ' ὁπωσοῦν ὡς εἰκὸς προλογισάμενος τὸν ἐπακολουθοῦντα τῇ συνεχεῖ διαπονήσει κάματον. Καὶ οὗτος μὲν τὸ τελευταῖον οὐδὲν ἀπολύτως ἐμοὶ κέρδος προσεπορίσατο, τοὐναντίον δὲ ζημίας ἐγένετό μοι πρόξενος οὐ μικρᾶς, τοῦ τε σώματος ἀσθενείας καὶ βίου τινὸς οὔτοι ζηλωτοῦ· οὐδεὶς γὰρ ἂν οἶμαι τῶν ὀρθὴν καὶ δικαίαν ἐχόντων τὴν κρίσιν ἀρνήσαιτό ποθ' οἷά περ ἐγὼ περί τε τὴν ἐν χρόνῳ οὕτω βραχυτάτῳ σύνταξιν καὶ παρασκευήν, ἅμα δὲ καὶ τὴν ἐκτύπωσιν αὐτῶν τε τούτων τῶν Ἀναλέκτων καὶ τῶν ἑτέρων ὑπέστην βιβλίων· ἀλλ' οὐδ' ἂν τοῖς νοῦν ἔχουσιν εἴη τάχα καὶ

Digitized by Google

θαυμαστὸν ἀπὸ τοῦ τηλικούτου κόπου μέρη μέν τινα τῶν ἐκτυπωθέντων ὑπομνημάτων ἡμαρτημένως ὅλως ἐκδεδόσθαι, ἕτερα δέ τινα πάλιν ἐξηναγκασμένῃ τινὶ σκοτοδίνῃ, τῶν ἐκτυπωτικῶν γιγνομένων διορθώσεων, καὶ παραδόξῳ τινὶ τρόπῳ παρανενοῆσθαί τε ἐν σπουδῇ καὶ παραμεμορφῶσθαι· οἷά τινα κἂν τούτῳ δὴ ἐγένετο τῷ τόμῳ, μάλιστα δ' ἐν τῷ πρὸ τούτου τετάρτῳ, ὧν ἀτυχῶς ἐγὼ πολλὰ φύλλα πυρέττων, εἶτα δὲ καὶ πνευμονίαν ἐπὶ μακρὸν πάσχων, οὐ μόνον οἴκοι κλινήρης διά τινας ἐπέβλεπον αἰτίας, ἀλλά ποτε καὶ τὴν ζωὴν κινδυνεύων καὶ ἐν αὐτοῖς τοῖς νοσοκομείοις! Τέλος μὲν οὖν τὰ οὐσιώδη τῶν τοσούτων καὶ τοιούτων ἁμαρτημάτων ἀγαθῇ τινι τύχῃ συναγαγὼν ἤδη καὶ διορθώσας, ὡς ἠδυνάμην, ἐθέμην ἰδίᾳ ἐν τῷ ἐσχάτῳ τούτῳ τόμῳ, ὅστις ἐν ἑαυτῷ καί τινα χρήσιμα περιέλαβε σημειώματα καὶ τῶν κυρίων ὀνομάτων πίνακα ἀλφαβητικόν· ὡς δὲ συμπαθῶς οἱ τῶν Ἀναλέκτων ἀναγνῶσται τοὺς προτέρους εἰ καὶ πλημμελεῖς ἐδέξαντο τόμους, οὕτω καὶ τοῦτον αὐτοὺς ἐν ἐλπίδι πάλιν εἰμὶ δέξεσθαι, ἐμοὶ δὲ καθόλου γινώσκοντας ἀβουλητὶ πλημμελήσαντι καὶ συγγνώμην ἐκ ψυχῆς ἀπονεμεῖν.

Ἐν Πετρουπόλει, τῇ 4-ῃ μηνὸς μαρτίου ἔτους ͵αωϙη'.

Α. ΠΑΠΑΔΟΠΟΥΛΟΣ - ΚΕΡΑΜΕΥΣ.

Digitized by Google

I.

ΜΗΝΙ ΙΟΥΛΙΩΙ Η'.

ΒΙΟΣ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ

ΤΟΥ ΑΓΙΟΥ ΠΡΟΚΟΠΙΟΥ ΚΑΙ ΤΩΝ ΣΥΝ ΑΥΤΩΙ.

(Cod. 79, s. X, monasterii Βατοπεδίου in monte Atho, f. 195 β - 207 α).

1. Κατὰ τοὺς καιροὺς ἐκείνους ἐβασίλευσεν Διοκλητιανὸς ὁ τύραννος, καὶ τῇ μανίᾳ τῶν εἰδώλων ἐκβακχεύων καὶ λυμαινόμενος τὰς τοῦ Χριστοῦ ἐκκλησίας δόγμα ἐκτίθεται εἰς πᾶσαν τὴν οἰκουμένην κατὰ τοῦ γένους τῶν χριστιανῶν. Ἐν εἰρήνῃ οὖν ἔτι τῶν ἐκκλησιῶν διαγουσῶν καὶ τῶν θεσμῶν συνήθως ἐπιτελουμένων, ἀρχὴν λαμβάνει ὁ διωγμός· γραμμάτων γὰρ αὐτοῦ καὶ προσταγμάτων κατ' αὐτῶν καταφοιτησάντων εἰς τὴν οἰκουμένην, θαρρῶν τῇ τῶν κρατούντων ἀρχόντων δεινότητι ἀπέστειλεν καὶ κατὰ τῆς Αἰλιέων πόλεως τὸ δόγμα, περιέχον τὴν κέλευσιν ταύτην· " Βασιλεὺς

4 κῶδ. *κατατοῦ*· οὕτω πανταχοῦ· ῥητέον δὲ ἅπαξ διὰ παντός, ὅτι πᾶσαι αἱ προθέσεις ἐν τῷ κώδικι κατὰ κανόνα σχεδὸν ἁπανταχοῦ συγκεκολλημέναι εἰσὶ τοῖς ἄρθροις ἢ τοῖς ἀπὸ φωνήεντος ἢ διφθόγγου ἀρχομένοις ὀνόμασι, μένουσαι οὕτως ἄτονοι ἢ ἀπνευμάτιστοι καὶ τὸ πνεῦμα τῆς ἑπομένης ἐκ φωνήεντος ἀρχομένης λέξεως ὅλως ἐκκρούουσαι· φυλάττουσι δὲ τὸ πνεῦμα, ὁπόταν αἱ λέξεις, αἷς ἑνοῦνται, ἄρχωνται ἀπὸ διφθόγγου· ἀλλὰ καὶ τότε ταῖς τοιαύταις λέξεσιν ἐλλείπει σχεδὸν ἁπανταχοῦ τὸ πνεῦμα, ὡς ἐνταῦθα τὸ *ἐνειρήνῃ*. ὅτε δὲ αἱ τοιαῦται συνενούμεναι ταῖς προθέσεσι λέξεις οὐ μόνον ἐμπνευμάτιστοί εἰσιν, ἀλλὰ καὶ τετονισμέναι ἐν αὐτῇ τῇ πρώτῃ αὐτῶν συλλαβῇ, τότε τὸ μὲν πνεῦμα ἐξαφανίζεται, ὁ δὲ τόνος τηρεῖται· αἱ δὲ ἀπὸ συμφώνου ἀρχόμεναι προθέσεις ἑνούμεναι λέξεσιν ἐκ φωνήεντος ἀρχομέναις ἐπιτρέπουσι ταύταις ἔχειν τὸ ἑαυτῶν πνεῦμα, εἰ μὴ καταλέγονται αὗται ταῖς δεικτικαῖς ἀντωνυμίαις, ὡς τὸ *αὐτά*, *αὐτῶν*, ὧν τὸ πνεῦμα σχεδὸν ἁπανταχοῦ ἐλλείπει. — 6 *διογμός*. — 7 *καταφυτησάντων*. — 8 *δινότητι* || *κατατησελιαίων*.

μέγας αὐτοκράτωρ Διοκλητιανός, παντὸς λαοῦ καὶ ἔθνους, ἀνθρώπων, φυλῶν καὶ γλωσσῶν δεσπότης, πᾶσιν τοῖς εὐνοϊκῶς διακειμένοις περὶ τοὺς ἀηττήτους θεοὺς χαίρειν. Παρεγγυῶ ὑμῖν διαπαντὸς πάσῃ σπουδῇ χρήσασθαι εἰς τὴν τῶν θεῶν θεραπείαν καὶ εἰς εὐεργεσίαν τοῦ ἐμοῦ κράτους, ἀνεγείρειν τε τοὺς τῶν θεῶν ναοὺς καὶ τὰς θυσίας καὶ τὰς ἑορτὰς αὐτῶν μετ' εὐφροσύνης ἐμφανῶς· ἐμηνύθη γάρ μοι περί τινων ἀνθρώπων ἑτεροδιδασκαλούντων καὶ ξένα ἔθη εἰσαγόντων εἰς τὰς ἀκοὰς ἡμῶν, καὶ διὰ ταῦτα ἐκτίθημι δόγμα ἐν παντὶ τόπῳ τῆς δεσποτείας μου μιᾶς θρησκείας πάντας ἡμᾶς ὄντας ἐξευμενίζειν τὸ θεῖον, αὐτούς τε τοὺς λεγομένους χριστιανοὺς καὶ ὑμᾶς· εἰ δέ τινες μὴ βούλοιντο τὰ αὐτὰ φρονεῖν, τῇ ταχίστῃ τιμωρίᾳ ὡς ἀποστατοῦντας ἀφ' ἡμῶν δημοσίῳ ξίφει ἀπαλλάττεσθαι αὐτοὺς κελεύω τοῦ ζῆν· τοὺς δὲ πειθομένους τῷ νεύματι τοῦ κράτους μου ἓξ μυριάδας ἀργυρίου ἐκ τοῦ ἐμοῦ παλατίου προστάττω λαμβάνειν, τιμῆς τῆς εἰς τοὺς θεοὺς ἕνεκεν, καὶ εὐσχημονοῦντας ἀζημίως τὸν ἅπαντα χρόνον διατελεῖν. Ἐρρωμένους ὑμᾶς διαπαντὸς εἶναι τοῖς θεοῖς εὔχομαι." Καὶ ἐκδοὺς τὸ δόγμα ἐπορεύθη εἰς Ἀντιόχειαν, καὶ εἰσερχομένου αὐτοῦ ἐν τῇ πόλει ὑπήντησαν αὐτῷ οἱ τῆς πόλεως ἐν φωναῖς καὶ τυμπάνοις, καὶ τῇ ἐπαύριον καθίσας ἐπὶ τοῦ βήματος προσεκαλέσατο τὴν σύγκλητον τῆς πόλεως, ἵνα αὐτοῖς παραδῷ τὴν πικρὰν παράδοσιν τῆς εἰδωλομανίας. Καὶ συναχθέντων πρὸς αὐτὸν ἐπυνθάνετο παρ' αὐτῶν ποίαν θρησκείαν σέβονται· οἳ δὲ λέγουσιν "Τοὺς εὐμενεῖς θεοὺς τοὺς κατὰ τὸν Ἀπόλλωνα καὶ Ἡρακλέα καὶ τοὺς καθ' ἑξῆς θεούς". Ὁ δὲ ἀκούσας χαρὰν μεγάλην προσεδέξατο.

2. Κατὰ δὲ τὸν καιρὸν ἐκεῖνον Θεοδοσία τις [ἦν] συγκλητικὴ πρώτη τῆς πόλεως Αἰλιέων, ἧς ὁ ἀνὴρ τεθνήκει, ὀνόματι Χριστοφόρος. Αὕτη χήρα ὑπάρχουσα καὶ Ἑλληνὶς οὖσα, μαθοῦσα περὶ τοῦ

5 κῶδ. *ἐνέργεσίαν* - - *αναγείρειν*. — 8 ἔθη] τοῦτο κατὰ διόρθωσιν ὑπάρχουσαν ἐν αὐτῷ τῷ κώδικι, ὃς εἶχεν ἀντ' αὐτοῦ τὸ *ἔθνη*. — 9 *δεσποτίας*. — 10 *αυτοὺστέ*. — 11 *αυτὰ*· οὕτω πολλαχοῦ κατὰ πᾶσαν πτῶσιν. — 17 *ὑμᾶς*· οὕτως ἀπνευμάτιστον ἁπανταχοῦ κατὰ πάσας αὐτοῦ τὰς πτώσεις· ἀλλὰ καὶ πάντα τὰ ἐξ υ ἀρχόμενα ὀνόματα μένει κατὰ κανόνα ἐν τῷ κώδικι ἀπνευμάτιστα. — 20 *καθήσας*. — 21/22 *παράδωσιν*. — 26 *τίς συγκλητική*. — 27 *ἐλιαίων*, ἧς.

Digitized by Google

βασιλέως ἐχάρη μεγάλως ὅτι παρεγένετο, καὶ λαβοῦσα τὸν ἑαυτῆς υἱόν, μονογενῆ ὑπάρχοντα, ὀνόματι Νεανίαν, καὶ κομισαμένη χρυσὸν καὶ ἄργυρον ἦλθεν ἐν Ἀντιοχείᾳ τῇ πόλει, καὶ ῥίψασα τὸν χρυσὸν καὶ τὸν ἄργυρον ἔμπροσθεν τοῦ βασιλέως, γονυπετοῦσα ἐδέετο αὐτοῦ. Ὁ δὲ βασιλεὺς ἐπυνθάνετο παρὰ τῶν παρεστώτων αὐτῷ τίνος χάριν ἥκει· οἱ δὲ λέγουσιν· "Ἀπὸ τῆς Αἰλιέων πόλεως· συγκλητικὴ πρώτη τῆς πόλεώς ἐστιν αὕτη". Ἠρώτα δὲ αὐτοὺς τίς ὁ ἀνὴρ αὐτῆς καὶ ποίας θρησκείας τυγχάνουσιν.—"Ὁ μὲν ἀνὴρ αὐτῆς Γαλιλαῖος τελευτᾷ, αὕτη δὲ τοὺς εὐμενεῖς σέβεται θεούς". Καὶ ὁ βασιλεὺς ἀκούσας ἐχάρη καὶ ἐκέλευσεν αὐτὴν ἀναστῆναι, ἐπυνθάνετο δὲ παρ' αὐτῆς τίνος χάριν ἥκει πρὸς αὐτόν. Ἡ δὲ λέγει· "Βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι! ἤγαγον τὸν ἐμὸν υἱόν, σὸν δὲ δοῦλον, ἐν τῷ σῷ παλατίῳ, ἵνα αὐτὸν στρατεύσῃς, ὡς ἂν βούλῃ". Ὁ δὲ λέγει· "Ποίαν θρησκείαν σέβεται"; Ἡ δὲ λέγει "Τῆς μητρὸς τὴν παράδοσιν". Ὁ δὲ βασιλεὺς ἐκέλευσεν αὐτὸν εἰσαχθῆναι, καὶ θεασάμενος τὸ νέον τῆς ἡλικίας αὐτοῦ ἔδωκεν αὐτῷ τὸ τῆς Ἀλεξανδρείας δουκᾶτον καὶ ἐνετείλατο λέγων· "Ὅσους εὕρῃς Γαλιλαίους ὀνομάζοντας ἑαυτοὺς καὶ πιστεύοντας τῷ Ἐσταυρωμένῳ κακηνκάκως ἀνάλισκε αὐτοὺς καὶ τὴν ὕπαρξιν αὐτῶν τῷ ταμιείῳ προσάγαγε". Ὁ δὲ Νεανίας ἀποκριθεὶς εἶπεν· "Βασιλεῦ, ἀκήκοα περὶ αὐτῶν, ὅτι σέβονταί τινα υἱὸν Θεοῦ, λεγόμενον Χριστόν· εἰσὶν δὲ οὗτοι ἄνδρες σκληροὶ καὶ ἀπότομοι καὶ οὐδεὶς δύναται αὐτοὺς ὑποτάξαι". Ἀνοίξας δὲ τὸ μιαρὸν αὐτοῦ στόμα ὁ Διοκλητιανὸς ἤρξατο λέγειν βλάσφημα κατὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. "Ὁ θεὸς αὐτῶν", φησίν, "γυναῖκα οὐκ ἔλαβεν· ποσάκις γὰρ κἀγὼ ἐφιλολόγησα τὰς αὐτῶν Γραφὰς καὶ οὐδὲν ὠφελήθην· εἰς ὃν δὲ πιστεύουσιν, ἐκ γυναικὸς ἐγεννήθη, ὃν καὶ ἀρχιερεῖς συλλαβόντες καὶ ἅπαν τὸ συνέδριον τῶν Ἰουδαίων κατέκριναν αὐτὸν θανάτῳ, καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν ἐπὶ

6 κώδ. *ἥκει* ‖ *αἰλιαίων*.—7 *συγκλητικῇ* - - *ἐστὶν*.—11 *ἥκει*.—12 *ηδὲ*.—13 *ἵνα*· οὕτω πανταχοῦ, ἀλλὰ καὶ πάντα τὰ ἐξ ἰῶτα ἀρχόμενα ὀνόματα μένει κατὰ κανόνα ἐν τῷ κώδικι ἀπνευμάτιστα. — 14 *ὡσὰν*. — 18 *εὕρεις*. — 20 *ἀποκριθεῖς*. — 23 *οὐδεῖς*. — 26/27 *ὠφελέθην*.

τὴν κεφαλὴν αὐτοῦ, καὶ κολαφίσαντες αὐτὸν ἐνέπαιξαν, καὶ μίξαντες χολὴν καὶ ὄξος ἐπότισαν αὐτὸν ὡς κατάδικον, καὶ καταγαγόντες αὐτὸν εἰς πέτραν ἔρημον, προσηλώσαντες ξύλῳ, ἐκεῖ αὐτὸν ἐσταύρωσαν, καὶ ὡς ἀφῆκεν τὸ πνεῦμα, τὸ σῶμα αὐτοῦ εἰς καινὸν σπήλαιον ἀπέθεντο ὡς καταδίκου· εἰ δὲ θεὸς ἦν, διατί ταῦτα ὑπέστη; ὁ γὰρ ἑαυτὸν σῶσαι μὴ δυνάμενος, πῶς σώσει τοὺς πιστεύοντας εἰς αὐτόν; Μὰ τοὺς παντοκράτορας θεούς, ἐὰν μή μοι πεισθῶσιν καὶ θύσωσιν τοῖς θεοῖς, πᾶσαν τιμωρίαν ἐπιδειξάμενος κατανάλισκε αὐτοὺς καὶ τὴν ὕπαρξιν αὐτῶν τῷ ταμείῳ προσάγαγε". Ἐκέλευσεν δὲ συναναβῆναι αὐτῷ καὶ δύο νούμερα στρατιωτῶν εἰς βοήθειαν κατὰ τῶν ἀντιλεγόντων.

3. Ὁ δὲ Νεανίας ἀσπασάμενος τὴν ἑαυτοῦ μητέρα ἐξήρχετο μετὰ τῶν γενναιοτάτων αὐτοῦ στρατιωτῶν κατὰ τῶν χριστιανῶν. Τούτων δὲ ἀπερχομένων ἐπὶ τὴν Ἀλεξανδρέων πόλιν, ἐκ τοῦ καύσωνος τοῦ ἡλίου οἱ ἵπποι ἀπέθνησκον. Διὰ τοῦτο οὖν ὁ Νεανίας διὰ τῆς νυκτὸς τὴν πορείαν ἐποιεῖτο, διὰ τὸ μὴ ἀποθνήσκειν τοὺς ἵππους ἐκ τοῦ καύσωνος, καὶ εἰσελθόντι αὐτῷ ἐν Ἀπαμείᾳ τῆς Συρίας ὑπήντησεν αὐτῷ πᾶσα ἡ πόλις πρὸ τοῦ φθάσαι τὸν ἥλιον πρὸς ἀνατολάς. Ἐξερχομένου δὲ αὐτοῦ ἐκ τῆς πόλεως Ἀπαμείας μετὰ τῶν δύο νουμέρων, ὀψίας γενομένης, ὡς περὶ τρίτην ὥραν τῆς νυκτός, ὡς ἀπὸ σταδίων τριάκοντα Ἀπαμείας, ἐγένετο σεισμὸς μέγας ἐπ' αὐτοὺς καὶ ἀστραπὴ φρικτή, καὶ πάντες ἐγένοντο ὡσεὶ νεκροί, καὶ φωνὴ ἐξ οὐρανοῦ ἦλθεν λέγουσα· "Νεανία, ἀποθνήσκεις καὶ ποῦ πορεύῃ"; Καὶ ὁ Νεανίας ἔφη· "Ἀπὸ τῆς Αἰλιέων πόλεως· τῆς συγκλητικῆς Θεοδοσίας υἱός εἰμι καὶ ἤγαγέν με πρὸς τὸν βασιλέα, ὅστις ἔδωκέν μοι τὸ τῆς Ἀλεξανδρείας δουκᾶτον καὶ ἐξουσίαν παρέσχεν μοι λέγων· Ὅσους εὕρῃς Γαλιλαίους ὀνομάζοντας ἑαυτοὺς χριστιανοὺς καὶ πιστεύοντας τῷ Ἐσταυρωμένῳ τιμωρουμένους κατανάλισκε." Καὶ πάλιν ἦλθεν φωνὴ αὐτῷ λέγουσα· "Ὦ Νεα-

1 κώδ. ἐνέπεξαν. — 7 ματοὺς. — 9 ταμίω. — 16 πορίαν ἐποιῆτο. — 17 ἀπαμία. — 19 ἀπαμίας· οὕτω καὶ κατόπι. — 22 ἀστραπῇ φρικτῇ. — 23 φωνῇ· οὕτω καὶ κατόπι. — 24 αἰλιαίων. — 25 εἰμί. — 27 εὕρεις. — 29 ἦλθεν· οὕτω σχεδὸν ἁπανταχοῦ.

Digitized by Google

νία, καὶ σὺ κατ' ἐμοῦ ἥκεις"; Λέγει ὁ Νεανίας· "Κύριε, τίς εἶ; ἐμφάνισόν μοι σεαυτόν· οὐ γὰρ ἰσχύω σὲ θεωρῆσαι". Καὶ εὐθέως ὤφθη αὐτῷ σταυρὸς κρυσταλλοειδὴς καὶ φωνὴ ἐκ τοῦ σταυροῦ λέγουσα· "Ἐγώ εἰμι Ἰησοῦς ὁ ἐσταυρωμένος, ὁ τοῦ Θεοῦ υἱός". Καὶ λέγει αὐτῷ ὁ Νεανίας· "Ἀκήκοα παρὰ τοῦ βασιλέως, ὅτι ὁ Θεὸς γυναῖκα οὐκ ἔλαβεν, καὶ πῶς λέγεις, ὅτι Θεοῦ εἰμι υἱός; Διατί οὖν οἱ ἀρχιερεῖς τῶν Ἰουδαίων κατέκρινάν σε καὶ παρέδωκάν σε Ποντίῳ Πιλάτῳ ὡς κατάδικον, καὶ προσήνεγκάν σοι ὄξος πιεῖν μετὰ χολῆς μεμιγμένον; καὶ διατί προσήλωσάν σε τῷ ξύλῳ τοῦ σταυροῦ; εἰ υἱὸς εἶ τοῦ Θεοῦ, διατί ταῦτα ὑπέστης;" Λέγει αὐτῷ ὁ Κύριος· "Νεανία, ἐπειδὴ ἑόρακά σε μέλλειν ἔσεσθαί μοι σκεῦος ἐκλογῆς, ἐγώ σοι ἀποκαλύψω· εἰ μὴ ἐγὼ παρεδόθην, οὐκ ἂν τοὺς παραδεδομένους ἀνεκαλεσάμην· εἰ μὴ ἐγὼ κατεκρίθην, οὐκ ἂν τοὺς καταδικασθέντας ἠλευθέρωσα· εἰ μὴ ἐγὼ προσηλώθην τῷ ξύλῳ τοῦ σταυροῦ, οὐκ ἂν τοὺς προσηλωθέντας ἐν πυθμένι τοῦ Ἅδου ἀνήγαγον· εἰ μὴ ἐγὼ ἐνεκρώθην, οὐκ ἂν τοὺς νεκρωθέντας ζωοποιήσας ἀνήγειρα".

4. Ταῦτα ὁ Κύριος εἰπὼν καὶ χαροποιήσας τὸν Νεανίαν ἀνῆλθεν ἐν τοῖς οὐρανοῖς, εἰπών "Ἐν τούτῳ τῷ σημείῳ νίκα πάντας τοὺς ὑπεναντίους, καὶ ἡ εἰρήνη ἡ ἐμὴ ἔσται μετὰ σοῦ". Ὁ δὲ Νεανίας χαρὰν μεγάλην λαβὼν καὶ πίστιν ἐθαρσοποιήθη, ὁμοίως καὶ πάντες οἱ σὺν αὐτῷ, καὶ ἐν αὐτῇ τῇ ὥρᾳ τῆς νυκτὸς ὑπέστρεψεν μετὰ τῶν στρατιωτῶν καὶ ἦλθεν ἐν τῇ Σκυθοπόλει, καὶ προσκαλεσάμενος κρυφίως πᾶσαν τὴν συντεχνίαν τῶν χρυσοχόων καὶ ἀργυροπλαστῶν ἠρώτα αὐτοὺς λέγων· "Δύνασθέ μοι ποιῆσαι σκεῦος, ὃ ἐγὼ ἐκδίδωμι ὑμῖν"; Οἱ δὲ φοβηθέντες τὸ αὐστηρὸν τοῦ ἀνδρός, συμβούλιον ποιήσαντες, ἔστησαν ἔμπροσθεν αὐτοῦ ἕνα, τὸν μείζονα αὐτῶν τεχνίτην, ὀνόματι Μάρκον, εἰπόντες· "Οὗτος ποιήσει, κύριε, τὸ θέλημά σου". Καὶ αὐτοὺς μὲν ἀπολύσας ἔλαβεν τὸν Μάρκον ἔγγιστα αὐτοῦ καὶ εἰσήνεγκεν αὐτὸν ἐν τῷ κοιτῶνι αὐτοῦ καταμόνας,

2 κῶδ. *σέαυτόν*.—5 βασιλέως] κῶδ. *βαλέως*.—11 σκεῦος ἐκλογῆς] Πράξ. θ', 15.—12 **οὐκὰν**· οὕτω καὶ κατόπι. — 20/29 Ὁ δὲ Νεανίας - θέλημά σου] ὅρα Conciliorum tom. xix. Parisiis 1644, σ. 296-297.—25 *δύνασθαί*.—26 *ἐκδίδομι*.—28 *τεχνίτην*.

Digitized by Google

καὶ λέγε: αὐτῷ· "Ποίησόν μοι σκεῦος, ὅπερ ἐκδίδωμί σοι, καὶ λάβε παρ' ἐμοῦ τιμὰς πλείους". Ὁ δὲ λέγει "Ἐγὼ ποιήσω, κύριε". Καὶ ἔρριψεν ἔμπροσθεν αὐτοῦ ἀργύριον καὶ χρυσίον πολὺ σφόδρα καὶ ὑπέδειξεν διὰ τῆς δεξιᾶς αὐτοῦ χειρός, τῷ δακτύλῳ, τὸν τύπον τοῦ σταυροῦ, τοῦ ὀφθέντος αὐτῷ ἐν τῇ νυκτί· ὁ δὲ Μάρκος ἰδὼν εἶπεν· "Κύριε, οὐ δυνήσομαι τοῦτο ποιῆσαι, ἐπειδὴ τὸ μυστήριον τοῦτο γαλιλαῖόν ἐστιν, καὶ ἐὰν ἀκούσῃ ὁ βασιλεύς, κακηνκάκως ἀναλώσει με". Ὁ δὲ Νεανίας λέγει· "Μὰ τὸ σημεῖον τοῦτο τὸ ὀφθέν μοι ἐν τῇ νυκτὶ καὶ τὸν λαλήσαντα πρός με δι' αὐτοῦ ἀπόκρυφα μυστήρια, οὐ μὴ ἀναγγείλω τῷ βασιλεῖ". Ὁ δὲ Μάρκος οὐκ ἐπείθετο αὐτῷ· ὁ δὲ Νεανίας ἔπεισεν αὐτὸν λέγων, ὅτι "Ἕως θανάτου οὐ μὴ ἀπαγγείλω τῷ βασιλεῖ τὸ μυστήριον". Ὁ δὲ πεισθείς, διὰ τῆς νυκτὸς ἐν μυστηρίῳ καταμόνας εἰργάσατο τὸν σταυρὸν διὰ ἀργυρίου καὶ χρυσίου, καὶ ἐγένετο ἐν τῷ πληρωθῆναι τὸν σταυρὸν καὶ ἀνορθοῦσθαι, ὤφθησαν ἐν αὐτῷ τρεῖς εἰκόνες γραφαῖς ὀνομάτων δεικνύουσαι τῇ ἑβραΐδι διαλέκτῳ ἄνω ἐν τῇ ἀρχῇ "Ἐμμανουήλ", καὶ ἐν ταῖς ἑκατέρωθεν ἀρχαῖς "Μιχαὴλ καὶ Γαβριήλ". Ἠβουλήθη οὖν ὑφοραθεὶς ὁ Μάρκος ἀπαλεῖψαι καὶ οὐκ ἠδυνήθη· ἡ γὰρ χεὶρ αὐτοῦ ἔμεινεν ὡσεὶ ξηρά. Ἀλεκτρυόνος δὲ φωνήσαντος ἦλθεν ὁ δοὺξ ὁ λεγόμενος Νεανίας εἰς τὸν οἶκον Μάρκου, τοῦ ἆραι τὸν σταυρόν, καὶ ἰδὼν αὐτὸν προσεκύνησεν αὐτῷ καὶ λέγει τῷ Μάρκῳ· "Τί ἐστιν ταῦτα τὰ πρόσωπα καὶ τίς ἡ ἐπιγραφή"; Ὁ δὲ λέγει αὐτῷ· "Κύριε, ἐν ᾗ ὥρᾳ ἐτελέσθη τὸ ἔργον, ἀνέτειλαν αἱ τρεῖς εἰκόνες αὗται καὶ οὐ γινώσκω τίνος ἢ τίς ἡ ἐπιγραφή". Ὁ δὲ Νεανίας ἔγνω τινὰ δύναμιν ἐν αὐτῷ εἶναι, καὶ προσκυνήσας τὸν σταυρὸν εἴλισσεν ἐν πορφύρᾳ καὶ ἐπορεύθη τὴν ὁδὸν αὐτοῦ χαίρων, δεδωκὼς τῷ τεχνίτῃ Μάρκῳ τιμὰς πλείους, καὶ εἰσῆλθεν μετὰ τῶν δύο νουμέρων ἐν τῇ πόλει αὐτοῦ.

5. Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις συνήθεια ἐκράτει καθαρπά-

1 κώδ. *ἐκδίδομί*. — 3 *πολὺν*. — 6 Μάρκος] *μάρτυς* || *εἰδὼν*. — 8 *ματὸ*. — 11/29 Ὁ δὲ Μάρκος - ἐν τῇ πόλει αὐτοῦ] Concil. τ. XIX, σ. 297. — 16 Concil. εἰκόνες· καὶ ἐπεγέγραπτο τῇ ἑβραΐδι κτλ. — 18 *ὑφοραθεὶς* || *ἀπαλίψαι κ. οὐκ ἠδυνήθη* || Concil. ἀπαλ. τὰς εἰκόνας. — 19 *ὡσεὶ ξηρᾶ*. *ἀλεκτρυῶνος*. — 21 *ἄραι*. — 26 *ἥλισεν*. — 30 *καταρπάζεσθαι*.

Digitized by Google

ζεσθαι τὰς θυγατέρας τῶν πέριξ πόλεων, τῶν περὶ Ἱερουσαλήμ, ὑπὸ τῶν Σαρακηνῶν εἰς γυναῖκας· γνωστὸν δὲ ἐγένετο τῷ Νεανίᾳ λεγόντων τῶν πολιτῶν, ὅτι "Ἐλθόντες οἱ Σαρακηνοὶ ἐκύκλωσαν τὰς πόλεις ἡμῶν", καὶ ἦλθον δεόμενοι καὶ παρακαλοῦντες αὐτόν, ὅπως ἐξέλθῃ εἰς πόλεμον κατ' αὐτῶν. Ἀναστὰς δὲ ὁ Νεανίας ἐξήρχετο μετὰ τῶν γενναιοτάτων αὐτοῦ στρατιωτῶν· ἐβάσταζεν δὲ τὸν σταυρὸν καὶ ἔλεγεν ἐν ἑαυτῷ· "Νῦν γνώσομαι, εἰ ἀληθῆ εἰσιν τὰ λεχθέντα μοι ἐν τῇ νυκτὶ ὑπὸ τοῦ σημείου τούτου", καὶ προσηύχετο λέγων· "Γενοῦ μοι εἰς βοήθειαν ἐλπίδος μου καὶ γνώσομαι, ὅτι σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ βασιλεὺς τῶν αἰώνων". Καὶ προσευχομένου αὐτοῦ ἐγένετο φωνὴ πρὸς αὐτὸν λέγουσα· "Νεανία, θάρσει· ἐγὼ γάρ εἰμι κύριος ὁ Θεὸς μετὰ σοῦ". Ἀκούσας δὲ τῆς φωνῆς ἐπεδίωκεν αὐτούς, φθάσας δὲ αὐτοὺς λέγει τοῖς στρατιώταις "Στῆτε ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων, γυμνώσαντες ὑμῶν τὰς σπάθας· βοηθοῦντος γὰρ ἡμῖν τοῦ Ἐσταυρωμένου, ἀναλώσομεν πάντας τοὺς ὑπεναντίους". Καὶ ἐξέτειναν τὰ ὅπλα αὐτῶν καὶ ἐκύκλωσαν τοῖς ἵπποις αὐτῶν τὸν δῆμον τῶν Σαρακηνῶν, καὶ ἀπέκτειναν ἐν τῷ βραχίονι αὐτῶν ἄνδρας χιλιάδας ἕξ, καὶ τῶν τοῦ Νεανίου στρατιωτῶν οὐδὲ εἷς ἦν πεπληγμένος.

6. Μετὰ δὲ τὸ τρόπαιον ἀπέστειλεν ἕνα τῶν στρατιωτῶν ἐν τῇ οἰκίᾳ αὐτοῦ μηνύσαι αὐτὸν [ἐρχόμενον]· ὑπήντησεν δὲ αὐτῷ ἡ μήτηρ τοῦ Νεανίου καὶ ἐπηρώτησεν αὐτὸν περὶ τοῦ πολέμου, καὶ μαθοῦσα ὅτι ἐνίκησεν ὁ υἱὸς αὐτῆς, ἐχάρη σφόδρα. Ἐλθόντα δὲ αὐτὸν τὸν Νεανίαν εἰς τὴν οἰκίαν ὑπήντησεν αὐτῷ ἡ μήτηρ λέγουσα· "Γλυκύτατόν μου τέκνον, οἶδας ὅτι ἐστράτευσά σε ἐν τῷ παλατίῳ. Ἐν ᾗ γοῦν ὥρᾳ ἐξῆλθες ἐπὶ τὸν πόλεμον, λαβοῦσα ἐν τῇ χειρί μου τὸ θυμιατήριον ἐδεόμην τῶν θεῶν, ὅπως σοι βοηθήσωσιν, καὶ ἰδοὺ ἐνίκησας". Λέγει ὁ Νεανίας· "Καλῶς ἐποίησας εὐχομένη ὑπὲρ ἐμοῦ, ἐγὼ δὲ ἐβοηθήθην ὑπὸ τοῦ θεοῦ

4 κῶδ. ἤλθων.—6 γενναιωτάτων.—8 εἰαληθῆ εἰσίν.—12 φωνῇ.—15 ἐξευωνύμων. — 16 ἀναλώσωμεν. — 18 σαρακινῶν. — 22 μὴνύσαι || προσέθηκα τὸ ἐρχόμενον ἕνεκα σαφηνείας || αὐτῷ] αὐτῶν. — 23 νεανία || περιτοῦ. — 26 οἴδας. — 27 ἐνῇ.

Digitized by Google

μου". Λέγει αὐτῷ ἡ μήτηρ αὐτοῦ· "Μὴ προσαγόρευε ἕνα θεόν, τέκνον, ἵνα μὴ οἱ λοιποὶ χολέσαντες ἀμύνωνταί σοι". Λέγει ὁ Νεανίας· "Μῆτερ, πλανᾶσαι· πῶς γὰρ γνωσόμεθα, ὅτι οἱ θεοὶ ἐβοήθησάν μοι"; Καὶ εἰσελθὼν ἐν τῷ κοιτῶνι αὐτοῦ, ἔνθα ἦσαν τὰ εἴδωλα, λέγει· "Ὑμῖν λέγω τοῖς θεοῖς, τίς ἐβοήθησέν μοι ἐν τῷ πολέμῳ"; Καὶ οὐκ ἦν φωνή, οὐδὲ ἀκρόασις, καὶ στραφεὶς πρὸς τὴν μητέρα αὐτοῦ λέγει· "Ἴδε, μῆτερ, οἱ θεοὶ οὐκ ἐλάλησάν μοι". Λέγει αὐτῷ· "Ἐπειδὴ ὡς ὀφείλων δεῖραι αὐτοὺς εἰσῆλθες". Λέγει αὐτῇ· "Εἴσελθε οὖν σὺ καὶ εἴπωσίν σοι ποῖος θεὸς ἐβοήθησέν μοι". Καὶ εἰσελθοῦσα λέγει· "Δέομαι ὑμῶν, θεοί, οὐχ ὑμεῖς ἐβοηθήσατε τῷ οἰκέτῃ ὑμῶν"; Καὶ οὐκ ἦν φωνή, οὐδὲ ἀκρόασις. Ὁ δὲ Νεανίας κρατῶν τὸ ὅπλον τοῦ σταυροῦ ἀνεβάλετο τὴν χλαμύδα, καὶ διαπρώσας τὴν μητέρα αὐτοῦ, εἰσελθὼν ἐλάκτισεν τὰ εἴδωλα καὶ ἐξετίναξεν αὐτὰ ἐκ τῶν βωμῶν αὐτῶν εἰς τὸ ἔδαφος, καὶ ποιήσας αὐτὰ λεπτὰ διέδωκεν ὀρφανοῖς καὶ χήραις (ἦσαν γὰρ χρυσᾶ καὶ ἀργυρᾶ), καὶ λέγει τῇ μητρί· "Ἐγὼ ἐβοηθήθην ὑπὸ τοῦ ἐσταυρωμένου Χριστοῦ". Ἡ δὲ μήτηρ ἰδοῦσα, ὃ ἐποίησεν ὁ υἱὸς αὐτῆς, ·ἀπῆλθεν πρὸς τὸν βασιλέα Διοκλητιανὸν καὶ λέγει αὐτῷ· "Βασιλεῦ, δέομαί σου· μεγάλη πλάνη περιέπεσεν ὁ υἱός μου· πιστεύσας γὰρ τῷ Ἐσταυρωμένῳ, λαβὼν τοὺς θεούς μου ἐποίησεν αὐτοὺς λεπτὰ καὶ ἔδωκεν πένησιν". Καὶ ὁ βασιλεὺς λέγει πρὸς αὐτήν· "Εἰ [οὐ] δυνάμεθα αὐτὸν πεῖσαι παραινέσαντες, ἐπεὶ ἀναλωθήτω, καὶ πρόσχες ἐν πάσῃ μου τῇ συγκλήτῳ, καὶ ὃς δ' ἂν ἀρέσῃ σοι, λάβε αὐτὸν εἰς υἱόν".

7. Ἐν ταῖς ἡμέραις ἐκείναις ἐπεδήμησεν τῇ Καισαρέων πόλει δεινὸς ἄρχων, ᾧ ὄνομα Οὐλκίων, καὶ καθίσας ὁ βασιλεὺς ἐπέστειλεν ἐπιστολὴν Οὐλκίωνι τῷ ἡγεμόνι, περιέχουσαν• τὸν τύπον τοῦτον· "Βασιλεὺς Διοκλητιανὸς Οὐλκίωνι τῷ ἐμῷ συνεργῷ χαίρειν. Λαβὼν τῶν πέριξ πόλεων τὴν σύγκλητον πορεύου πρὸς

3 κῶδ. *πλανάσαι*. — 6 *οὐκὴν φωνῆ*· οὕτω καὶ κατόπι. — 8 *ὀφ. δείραι*. — 9 *ποίος*. — 13 *ἀνεβάλλετο* || *διαπρόσας*. — 14 *εισελθὼν*. — 16 *γαρχρυσα καὶ ἀργυρα*. — 22 *πείσαι*. — 24 *δὰν ἀρέσει*. — 25 ἐπιγραφὴ κεφαλαίου ἐν τῷ κώδικι μετὰ τὸ *υἱόν*, οὕτως ἔχουσα· *Πρώτη ἄθλησις τοῦ ἁγίου Προκοπίου*. — 26 *δεινως* || *καθήσας*. — 27 *ἡγεμώνι*· οὕτω καὶ κατόπι.

Digitized by Google

Νεανίαν τὸν υἱὸν Θεοδοσίας τῆς συγκλητικῆς, τὸν δοῦκα· ἀκήκοα γάρ, ὅτι πλάνῃ περιέπεσεν καὶ πιστεύει τῷ Ἐσταυρωμένῳ· καὶ εἰ μὲν πείσῃς αὐτόν, λήψῃ παρ' ἡμῶν τιμὰς μεγίστας· εἰ δὲ μὴ πεισθῇ, κόψας τὴν ζώνην αὐτοῦ, πᾶσαν τιμωρίαν ἐπιδειξάμενος, κατανάλισκε αὐτόν, ἵνα ἰδόντες οἱ λοιποὶ μηκέτι τολμήσωσιν πιστεῦσαι τῷ Ἐσταυρωμένῳ". Ἠνέχθη δὲ ἡ ἐπιστολὴ τῷ ἡγεμόνι, καὶ ἀναγνοὺς αὐτὴν ἔλαβεν τὴν σύγκλητον τῶν πέριξ πόλεων καὶ τοὺς μεγιστᾶνας αὐτοῦ, καὶ ἦλθεν εἰς τὴν οἰκίαν τοῦ δουκός, καὶ ἀπέστειλεν ἕνα τῆς τάξεως λέγων· "Ἐπειδὴ μείζων μου εἶ τῷ γένει καὶ τῇ στρατείᾳ, ἦλθον πρὸς σὲ ἀποδοῦναί σοι τὸν ἀσπασμόν". Ὁ δὲ Νεανίας ἐκέλευσεν αὐτὸν εἰσελθεῖν. Ἀσπασαμένων δὲ αὐτῶν ἀλλήλους, ἐπέδωκεν ὁ ἡγεμὼν τὴν ἐπιστολὴν αὐτῷ τοῦ βασιλέως, καὶ καθισάντων αὐτῶν ἤρξατο ὁ ἡγεμὼν λέγειν τῷ Νεανίᾳ· "Ἰδοὺ ἀπέστειλεν ὁ βασιλεὺς ἐμοὶ καὶ σοί". Ὁ δὲ Νεανίας ἔγνω δι' ἣν αἰτίαν ἀπεστάλη, καὶ δεξάμενος τὴν ἐπιστολήν, λύσας καὶ ἀναγνούς, ἐποίησεν αὐτὴν λεπτὰ καὶ ἐσκόρπισεν εἰς τὸν ἀέρα, εἰπών· "Ἐγὼ χριστιανός εἰμι· νῦν οὖν ποίει τὰ προσταχθέντα σοι". Λέγει ὁ ἡγεμών· "Καὶ τὸν βασιλέα φοβοῦμαι καὶ σὲ ὡς φίλον ἐντρέπομαι, καὶ τί ποιήσω οὐκ οἶδα· πείσθητι οὖν μοι καὶ τῇ συγκλήτῳ πάσῃ, καὶ θῦσον τοῖς θεοῖς ἐπ' ὄψεσιν αὐτῶν, ἵνα καὶ αὐτοὶ ἀνενέγκωμεν τῷ βασιλεῖ, ὅτι πέπεισαι, ἐπεὶ ἀναγκάζομαι τὸ προσταχθέν μοι ποιῆσαι εἰς σέ". Λέγει ὁ Νεανίας· "Καλῶς εἶπας, ἡγεμών, ὅτι θῦσον· ἐγὼ γὰρ θυσίαν προσφέρω τῷ βασιλεῖ μου Χριστῷ· τί γὰρ χείρω, ἐὰν τὸ σῶμα ἐν τῷ κόσμῳ τούτῳ δορυφορεῖται, ἡ δὲ ψυχὴ εἰς αἰῶνας κολάζεται; ἀκήκοα γὰρ καὶ τῆς θεοπνεύστου Γραφῆς λεγούσης· Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεννόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ. Ἴδε, σάρκες πρόκεινταί σοι·

1 κῶδ. δουκα. — 5 εἰδόντες. — 6 πιστεύσαι ‖ ην. δὲ ηἐπιστολή. — 8 ἥλθεν. — 12 ὁηγεμὼν· οὕτω καὶ ἀλλαχοῦ. — 13 καθησάντων. — 15 διήν. — 19 οὐκοίδα. — 20 θύσον. — 21 ἐφόψεσιν αυτῶν. — 22 ποιήσαι. — 23 θύσον. — 25 ηδὲ ψυχῆ εἰσαιῶνας. — 27 Ματθ. ι', 28 ‖ φοβήθητε ἀποτῶν.

ὃ βούλει, ποίει εἰς ἐμέ". Ὁ ἡγεμὼν λέγει· "Μὴ πολυλόγει, ἐπειδὴ φίλος μου εἶ". Λέγει αὐτῷ ὁ Νεανίας· "Εἶπόν σοι ὅτι πιστεύω τῷ Ἐσταυρωμένῳ, τῷ ἔχοντι ἐξουσίαν πάσης βασιλείας καὶ λύοντι πάσας ἀρχὰς καὶ ἡγεμονίας". Καὶ ταῦτα εἰπών, λύσας τὴν ζώνην αὐτοῦ, ἔρριψεν εἰς τὸ πρόσωπον τοῦ ἡγεμόνος· ὁ δὲ ἡγεμὼν χολέσας, ἅμα τῇ συγκλήτῳ ἀνέστη καὶ ἐκέλευσεν συληφθέντα αὐτὸν ἄγεσθαι ἐπὶ τὴν Καισαρέων πόλιν, ἔνθα ἦν τὴν οἰκοδομὴν τοῦ ναοῦ ἐποπτεύων. Καὶ καθίσας ἐπὶ τοῦ βήματος ὁ ἡγεμὼν ἐκέλευσεν αὐτὸν ἀχθῆναι· θεασάμενον δὲ τὸ πλῆθος τῆς πόλεως τῇ τῶν εἰδώλων πλάνῃ μεθύον ἔκραξεν ἔμπροσθεν τοῦ ἡγεμόνος· "Οὗτός ἐστιν ὁ ἀνατρέπων τὰς τῶν θεῶν θυσίας, ὁ τῶν ἡμετέρων θεῶν καθαιρέτης, ὃς καὶ ἐν χλεύῃ διασύρει τὸ βασιλικὸν πρόσταγμα". Ταῦτα ἀκούσας ὁ ἡγεμών, ὡς ὑπὸ πνεύματος πονηροῦ τὴν ψυχὴν ἀγριωθείς, καὶ τὴν ὄψιν διαστρέψας, ἐκέλευσεν κρεμασθέντα αὐτὸν ξέεσθαι, ἕως οὗ ἤλλαξεν δεκατέσσαρας κυεστιοναρίους. Ξεομένου δὲ αὐτοῦ, τινὲς τῶν ἐκεῖ ἑστώτων ἰδόντες τὸ νέον τῆς ἡλικίας αὐτοῦ ἔκλαιον· ὁ δὲ Νεανίας εἶπεν πρὸς αὐτούς· "Πατέρες καὶ ἀδελφοί, μὴ κλαίετε ἐπ' ἐμοί, ἀλλὰ κλαύσατε μᾶλλον ἐπὶ τῇ πλάνῃ τῶν ψυχῶν αὐτῶν· τί γάρ μοι ὄφελος, ἐὰν τὸ σῶμα ἐν τῷ βίῳ τούτῳ ἀναπαύσηται, ἡ δὲ ψυχὴ εἰς αἰῶνα κολάζηται"; Καὶ προσηύχετο λέγων· "Κύριε ὁ Θεὸς ὁ τῶν πεπλανημένων ὁδηγός, ὁ βοηθὸς τῶν ἐν θλίψεσιν καὶ ἀντιλήπτωρ τῶν καταδυναστευομένων, ἐνίσχυσόν με τὸν δοῦλόν σου, ἵνα καταπατήσω τὰ κέντρα τοῦ Διαβόλου". Οἱ δὲ κυεστιονάριοι ἠτόνουν ξέοντες αὐτόν, ὡς καὶ τὰ ἔνδοθεν τῶν μελῶν αὐτοῦ διὰ τῶν ὀγκίνων ἐκφέρεσθαι, ὡς πάντας λέγειν ὅτι ἀπέθανεν· οἱ δὲ παρεστῶτες ἔλεγον· "Ἡγεμών, ἐτελεύτησεν ὁ Νεανίας· κατάγαγε αὐτόν". Καταγομένου δὲ αὐτοῦ, μόνον τὸ ὄργανον τῶν ὀστέων αὐτοῦ ὑπῆρχεν, ἡ δὲ ψυχὴ αὐτοῦ ἦν σπαίρουσα. Ἐκέλευσεν δὲ ὁ ἡγεμὼν βληθῆναι αὐτὸν ἐν τῇ φυλακῇ, ἦν γὰρ ἑσπέρα ἤδη· ἐσκέψατο δὲ τοῦ καῦσαι τὸ σῶμα αὐτοῦ.

4 κώδ. ἡγεμωνίας. — 5 ἡγεμῶνος· οὕτω καὶ κατόπι. — 7 κεσαρέων. — 8 καθήσας. — 13 ὡσὺπο. — 15 ἤλλαξεν. — 16 ἐστ. εἰδόντες. — 19 ὤφελος. — 28 σπέρουσα.

Digitized by Google

8. Ὁ δὲ καπικλάριος Τερέντιος, φίλος αὐτοῦ ὑπάρχων καὶ μνημονεύων αὐτοῦ τιμῶν πολλῶν, εἰσενέγκας χόρτον καὶ σινδόνα ἐφαπλώσας, ἀπέθετο τὸ σῶμα τοῦ μάρτυρος, κατακλείσας εἰς τὴν ἐσωτέραν φυλακήν, διὰ τὸν φόβον τοῦ ἡγεμόνος· ἐπελθούσης δὲ τῆς νυκτός, ὡς περὶ ὥραν ἕκτην ἐγένετο σεισμὸς μέγας ἐν τῇ πόλει· ἰδοὺ γὰρ ὁ κύριος Ἰησοῦς Χριστὸς παρεγένετο μετὰ τεσσάρων ἀρχαγγέλων αὐτοῦ ἐπισκέψασθαι τὸν δοῦλον αὐτοῦ ἐν τῇ φυλακῇ· καὶ φθασάντων αὐτῶν ἐν τῷ δεσμωτηρίῳ, ἠνεῴχθη ἡ φυλακὴ καὶ τῶν καταδίκων ἐκ τῶν χειρῶν αἱ ἁλύσεις ἀπεσπάσθησαν, καὶ εἰσελθόντες ἐν τῇ ἐνδοτέρᾳ φυλακῇ, ὅπου ἦν ὁ Νεανίας, καὶ κινήσαντες αὐτὸν οἱ ἄγγελοι εἶπον· "Νεανία ἀνάβλεψον". Ὁ δὲ Νεανίας ἰδὼν αὐτοὺς λέγει· "Τίνες ἐστὲ ὑμεῖς"; Λέγουσιν αὐτῷ· "Ἡμεῖς Ἄγγελοί ἐσμεν, καὶ ἀπεστάλημεν ὑπὸ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ πρὸς σέ". Λέγει αὐτοῖς ὁ Νεανίας· "Εἴ ἐστε τοῦ Κυρίου Ἄγγελοι, ποιήσατε γονυκλισίαν καὶ τὸ σημεῖον τοῦ σταυροῦ, καὶ πιστεύω ὑμῖν"· οἱ δὲ ποιήσαντες λέγουσιν αὐτῷ· "Πιστεύεις, ὅτι ὁ Κύριος ἀπέστειλεν ἡμᾶς πρὸς σέ"; Λέγει αὐτοῖς ὁ Νεανίας· "Οἱ τρεῖς παῖδες ἐν τῇ καμίνῳ προσηύξαντο καὶ ἀπέστειλεν νεφέλην μετὰ Ἀγγέλου, καὶ κατέπαυσεν τὴν κάμινον· ἐγὼ δὲ ποῖον ἆθλον ἐποίησα, ἢ ποῖον πῦρ ἐπάλαισεν μετ' ἐμοῦ, ἵνα ἀποστείλῃ ὁ Κύριος τοὺς Ἀγγέλους αὐτοῦ πρός με"; ὁ δὲ κύριος Ἰησοῦς ἠνήχετο τῶν λόγων αὐτοῦ· ἀκούσαντες δὲ οἱ Ἄγγελοι ταῦτα ἐδεήθησαν τοῦ Κυρίου λέγοντες· "Κύριε, ἐμφάνισον αὐτῷ σεαυτόν"· ὁ δὲ Κύριος ὤφθη καὐτῷ, καὶ λαβὼν ὕδωρ ἐν τῇ φυλακῇ ἐρράντισεν ἐπ' αὐτόν, καὶ ἀψάμενος αὐτοῦ ἀνέστησεν αὐτὸν λέγων· "Σὺ κληθήσῃ Προκόπιος καὶ οὐκέτι κληθήσῃ Νεανίας. Ἴσχυε οὖν καὶ ἀνδρίζου· σὺ γὰρ προκόπτων προσαγάγεις ποίμνιον τῷ πατρί μου τῷ ἐν τοῖς οὐρανοῖς". Ὁ δὲ Προκόπιος ἔντρομος γενόμενος, πεσὼν ἐπὶ τὴν γῆν, προσεκύνησεν λέγων· "Δέσποτα κύριε, τολμῶν ἱκετεύω σου τὴν ἄφατον μακροθυμίαν· μὴ

1 καπικλάριος] Ducangii Glossarium ἐν λ. — 2 *σινδωνα*. — 3 *δια τὸμφ. τ. ἡγεμώνος*. — 5 *ὥσπερι*. — 6 *μετατεσ. αρχ. αυτοῦ*. — 8 *ην. ἡ φυλακῆ*. — 9 *αἱαλύσεις*. — 13 *ἐσμὲν*. — 14 *ονεανίας. εἰ ἐστὲ* ‖ *γονυκλησίαν*. — 16 *ημᾶς*. — 17 *παίδες*. — 19 *ἄθλον* ‖ *ποίον π. ἐπάλεσεν*. — 23 *αυτὸσ ἑαυτὸν* ‖ *καυτῶ*. — 24 *ἐράντισεν*. — 25 *κληθείσῃ*· οὕτω καὶ κατόπι. — 28 *πεσῶν*. — 29 *μημου*.

Digitized by Google

μου μνησθῇς τῶν ἀνομιῶν· ὁ διὰ σπλάγχνα οἰκτιρμῶν σου ἐπιβλέψας ἐπ' ἐμέ, ἐζωγρημένον ὑπὸ τοῦ ἀλλοτρίου, ἄσυλον τὴν ψυχήν μου διατήρησον, ἐπειδὴ σῶμα ἔχω θνητόν, μήποτέ μου δειλανδρήσῃ ἡ ψυχή". Πάλιν λέγει ὁ Κύριος· "Μὴ φοβοῦ, Προκόπιε, διότι ἐγώ εἰμι μετὰ σοῦ· ἴσχυε καὶ ἀνδρίζου". Καὶ ταῦτα λέγων ἀνῆλθεν ὁ Κύριος ἐν τοῖς οὐρανοῖς, καὶ τῇ ἐπαύριον ἀπέστειλεν ὁ ἡγεμὼν ἕνα τῆς τάξεως εἰς τὸ δεσμωτήριον ἰδεῖν, εἰ ἐτελεύτησεν ὁ Νεανίας· ὁ δὲ καπικλάριος Τερέντιος ἐξηγήσατο αὐτῷ πάντα τὰ γεγενημένα ἐν τῇ φυλακῇ, ἦν γὰρ διανυκτερεύων καὶ ἀκροώμενος τὰ τοῦ Θεοῦ θαυμάσια, τὰ εἰς τὸν μάρτυρα τελούμενα. Ὁ δὲ τῆς τάξεως ἀκούσας ταῦτα ἤθελεν θεάσασθαι τὸν ἅγιον ἐν τῇ φυλακῇ, καὶ παρακύψας ἐφώνησεν αὐτόν· ὁ δὲ ἀποκριθεὶς λέγει· "Ἰδοὺ ἐγώ". Λέγει ὁ τῆς τάξεως· "Οὐκ ἠδυνήθην σε θεωρῆσαι". Λέγει αὐτῷ ὁ Προκόπιος· "Πᾶς ὁ ὑπηρετῶν δαίμοσιν καὶ πειθαρχῶν εἰδώλοις τυφλὸς καὶ ἀκάθαρτός ἐστιν, καὶ οὐκ οἶδεν ποῦ πορεύεται".

9. Πορευθεὶς δὲ ὁ τῆς τάξεως ἀπήγγειλεν τῷ ἡγεμόνι καὶ τοῖς μεγιστᾶσιν ὅσα εἶπεν αὐτῷ ὁ Προκόπιος, καὶ καθίσας ὁ ἡγεμὼν ἐπὶ τοῦ βήματος ἐκέλευσεν ἄγεσθαι τὸν μάρτυρα· ἀπαγομένου δὲ αὐτοῦ ἔλαμψεν τὸ πρόσωπον αὐτοῦ, ὡς ὁ ἥλιος, καὶ τὸ σῶμα αὐτοῦ ἐγένετο ὡς σινδὼν καθαρά, καὶ ἰδόντες τινὲς τῆς πόλεως μὴ ἔχοντα αὐτὸν σπῖλον τιμωρίας ἀνεβόησαν ἅμα αὐτοῖς τοῖς γενναιοτάτοις στρατιώταις, λέγοντες μιᾷ φωνῇ· "Ὁ θεὸς τοῦ ἁγίου τούτου, βοήθησον ἡμῖν". Ὁ δὲ ἡγεμὼν ἀκούσας τῆς φωνῆς τῆς γενομένης ἀνέστη ἐκ τοῦ θρόνου αὐτοῦ, καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ πρὸς πᾶν τὸ πλῆθος τῆς πόλεως ἀνεβόησεν φωνῇ μεγάλῃ λέγων· "Ἀδελφοί, τί ξένον ἡγήσασθε ἰδόντες, ὅτι οἱ θεοὶ φιλανθρωπίᾳ χρησάμενοι ἀνέπλασαν τὸν ἴδιον οἰκέτην"; Ὁ δὲ ἅγιος Προκόπιος λέγει πρὸς τὸν ἡγεμόνα· "Ἐπ' ἀληθείας ἐλάλησας, ὅτι ἀνε-

1 κῶδ. *οἰκτειρμῶν*. — 3 *μήποτεμου δειλανδρίσῃ*. — 7 *ἡγεμῶν ἕνα* || *δεσμοτήριον*. 11 *ἤθελεν*. — 13 *οτῆσ τ. ουκηδυνήθην*. — 14 *δαίμωσιν* — 15 *οὐκοίδεν*. — 17 *τωηγεμῶνι*. — 18 *καθήσας οηγεμῶν*. — 20 *οἤλιος*. — 21 *καθαρᾶ. καὶ εἰδόντες*. — 22 *σπῆλον*. — 23 *γενναιωτάτοις*. — 24 *δὲηγεμῶν*. — 27 *αδελφοί* || *ηγήσασθαι εἰδόντες*. — 29 *ηγεμωνα*.

Digitized by Google

πλάσθην· εἰ δὲ τοῖς θεοῖς σου τὸ δώρημα ἐπιγράφεις, πορευθῶμεν ἐπὶ τὸν ναὸν τῶν θεῶν σου καὶ εἴδωμεν ποῖος τῶν θεῶν ἀνέπλασέν με". Ὁ δὲ ἡγεμὼν χαρὰν μεγάλην λαβὼν ἐκέλευσεν εὐτρεπισθῆναι τὴν ἀγορὰν ἀπὸ τοῦ πραιτωρίου ἕως τοῦ ναοῦ καὶ τανυσθῆναι ὀθόνας εἰς τὸ ἔδαφος, κήρυκας δὲ ἐπὶ τοῦ τείχους ἀνελθόντας βοᾶν μεγάλῃ τῇ φωνῇ, ὅτι "Ὁ Νεανίας, ὁ τῆς συγκλητικῆς Θεοδοσίας υἱός, ἐπιστρέψας θυσίαν τοῖς θεοῖς προσάγει. Πάντες οὖν συνέλθετε εἰς τὴν θεωρίαν". Ἀκούσαντες δὲ οἱ τῆς πόλεως, οἱ μὲν Ἕλληνες ἐχάρησαν, οἱ δὲ χριστιανοὶ ἐλυπήθησαν, πᾶν δὲ τὸ πλῆθος συνέδραμεν σὺν γυναιξὶν καὶ παιδίοις· ὁ δὲ ἡγεμὼν ἅμα τῷ ἁγίῳ Προκοπίῳ καὶ πάσῃ τῇ συγκλήτῳ ἐπορεύθη εἰς τὸν ναόν, ὁ δὲ ἅγιος τοῦ Θεοῦ λέγει· "Ἡγεμών, ἐπειδὴ ἔπταισα εἰς αὐτούς, εἰσελθὼν παραίνεσον αὐτοῖς, ἵνα δέξωνταί μου τὴν θυσίαν"· ὃ δὲ εἰσελθὼν εἰς τὸν ναὸν λέγει· "Θεοί, μεγάλῃ φιλανθρωπίᾳ ἐχρήσασθε εἰς τὸν οἰκέτην ὑμῶν καὶ ἀνεπλάσατε αὐτόν, καὶ νῦν δι' ἐμοῦ παρακαλεῖ, ἵνα δέξησθε αὐτοῦ τὴν θυσίαν εὐμενῶς καὶ ἵλεοι γένησθε αὐτῷ". Ἐξελθὼν δὲ ὁ ἡγεμὼν λέγει τῷ μάρτυρι· "Οἱ θεοὶ παρέσχον τὸ αἴτημά σου· εἴσελθε πρὸς αὐτούς". Ὁ δὲ ἅγιος μάρτυς λέγει τῷ ἡγεμόνι· "Ἡγεμών, τί ποθεῖς καὶ φιλεῖς; μᾶλλον τὸν βασιλέα ἢ τοὺς θεούς"; Λέγει ὁ ἡγεμών· "Τὸν μὲν βασιλέα τιμῶ, τοὺς δὲ θεοὺς περισσοτέρως, ὅτι αὐτοὶ παρέχουσιν τὴν φιλανθρωπίαν αὐτῶν εἰς πάντας ἀνθρώπους". Ὁ ἅγιος μάρτυς λέγει· "Τὴν σωτηρίαν σοι τοῦ βασιλέως καὶ τὴν φιλανθρωπίαν τῶν θεῶν σου μὴ ἐάσῃς τινὰ συνεισελθεῖν μοι εἰς τὸν ναόν· ἐπειδὴ γὰρ ἐμ[. .]άρισα αὐτούς, δεῖ με πολλὴν ἀπολογίαν προσενέγκαι αὐτοῖς". Καὶ εἰσελθὼν ὁ ἅγιος μάρτυς εἰς τὸν ναόν, ἐκτείνας τὰς χεῖρας εἰς τὸν οὐρανόν, εἶπεν· "Κύριε Ἰησοῦ Χριστὲ ὁ ἀόρατος ὑπάρχων καὶ δι' ἡμᾶς ὁρατὸς γενόμενος, ὁ ἀψηλάφητος καὶ ψηλαφηθεὶς διὰ τὸ γένος τῶν ἀνθρώπων, ὁ ἀγέννητος καὶ δι' ἡμᾶς γεννηθείς, ὁ ὢν ἐν τῷ

2 κώδ. *ἴδωμεν*. — 3 *δεήγεμῶν χαρᾶν μ. λαβῶν*. — 4 *πραιτορίου* || *τάνυσθῆναι ὀθ.* — 6 *βοᾶν*. — 17 *οἡγεμῶν*· οὕτω πολλαχοῦ. — 19 *ἡγεμῶνι*. — 21 *περισσωτέρως*. — 24 μοι] κώδ. *με* || ἐμαγάρισα? — 28 ψηλαφηθεὶς] Ἰωάν. εὐαγ. κ', 27-29. Λουκ. κδ', 39. — 29 *γεννηθεῖς*.

Digitized by Google

πατρὶ καὶ ὁ πατὴρ ἐν σοί, ὁ πατὴρ πάντων καὶ θεμελιωτὴς τῆς οἰκουμένης, ὁ χωρίσας τὰ ὕδατα καὶ τὰ μὲν καλέσας οὐρανόν. τὰ δὲ ὑποκάτω καλέσας ἀβύσσους· ὁ στερεωτὴς τοῦ οὐρανοῦ καὶ θεμελιωτὴς τῆς γῆς, ὁ ποιήσας τὴν ἄβυσσον καὶ τειχίσας αὐτὴν ψάμμῳ καὶ πεδήσας τῷ σῷ προστάγματι, ὁ φυτουργὸς τῆς στρατιᾶς τῶν Ἀγγέλων, ὁ φῶτα δοὺς διὰ τῶν δύο φωστήρων τῇ κτίσει σου, ὁ πλαστουργὸς τοῦ γένους τῶν ἀνθρώπων, ὁ ὑμνολογούμενος ὑπὸ τῶν Χερουβὶμ καὶ Σεραφὶμ καὶ πάσης τῆς στρατιᾶς τῶν Ἀγγέλων ἀπαύστως, ὁ προσκυνούμενος ὑπὸ τῶν πατριαρχῶν· λαμπτὴρ ὁ ἄσβεστος, ὁ λάμψας διὰ τῆς παρθένου Μαρίας τῷ γένει τῶν ἀνθρώπων, ὁ τανυσθεὶς ἐπὶ ξύλου καὶ δήσας τὸν ἰσχυρὸν καὶ τοὺς ὑπ' αὐτοῦ δεδεμένους ἐλευθερώσας· καὶ τανῦν, κύριε Ἰησοῦ Χριστέ, ἔκτεινον τὴν ἀόρατόν σου χεῖρα, τὴν πλήρη ἐλέους καὶ ἀγαθότητος, καὶ σύντριψον τὴν πλάνην τῶν ματαίων θεῶν, καὶ ἐκτίναξον τὰ ἀγάλματα αὐτῶν, τοὺς δὲ βωμοὺς λέπτυνον καὶ δεῖξον τὴν ἀσθένειαν τῶν εἰδώλων τῷ ἀσεβεστάτῳ βασιλεῖ καὶ τῷ ἡγεμόνι, διὰ τὸ ὄνομά σου τὸ ἐπικεκλημένον ἐπ' ἐμέ, ἵνα γνῶσιν πάντες, ὅτι σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος". Καὶ ποιήσας τὸ ὅπλον τοῦ σταυροῦ εἶπεν· "Ὑμῖν λέγω τοῖς ἀκαθάρτοις εἰδώλοις, φοβήθητε τὸ ὄνομα τοῦ Θεοῦ μου, καὶ ἐκτιναχθέντες ἐκ τῶν βωμῶν καὶ σκορπισθέντες ὡς ὕδωρ ἀφανίσθητε ἐκ τοῦ ναοῦ". Καὶ κρατήσας ἐκ τῆς χειρὸς τοῦ Ἀπόλλωνος ἤρξατο ἐκτινάσσειν αὐτούς, καὶ ἔρριψεν ἐν αὐτῇ τῇ ὥρᾳ τριάκοντα καὶ ἓξ τῶν εἰδώλων ἀγάλματα, καὶ ἐγένετο ὡς ὕδωρ καὶ ἐξεπορεύετο τὸ ῥοίζημα τοῦ ὕδατος ἔξω τοῦ ναοῦ, ὥστε καὶ τὰς θύρας ἀνεῳγῆναι ὑπ' αὐτοῦ τοῦ ὕδατος, καί τινες τῶν ἐκεῖ ἑστώτων ἀνεβόησαν λέγοντες· "ὁ Θεὸς τῶν χριστιανῶν, βοήθησον ἡμῖν, ὁ δείξας ἡμῖν παράδοξα σήμερον".

10. Ὁ δὲ ἄρχων ἀπορηθεὶς ἐπὶ τῇ τῶν εἰδώλων συντριβῇ καὶ τῇ τῶν στρατιωτῶν προσφυγῇ καὶ τῇ τοῦ ὄχλου βοῇ, ἀδη-

1 Ἰωάν. εὐαγγ. ι', 38. ιδ', 10, 11. ιζ', 21, 22 ‖ *θεμελιωτής*. — 3 Γενέσ. α', 6-9 ‖ *ταμὲν*. — 3 *στερεωτής*. — 4 *τιχίσας*. — 8 *χερουβεὶμ καὶ σεραφεὶμ*. — 12 *τάνυν*. — 13 *πλήρησ*. — 15 *δείξον*. — 16 *ἡγεμώνι*. — 24 *ωσΰδωρ* ‖ *ρίζημα*. — 26 *καιτινες*.

μονῶν ἦν καὶ φροντίζων· ὁ δὲ Διάβολος ἐθαρσοποίησεν αὐτόν, καὶ τὸν μὲν ἅγιον Προκόπιον ἔθετο ἐν τῇ φυλακῇ, τοῖς δὲ στρατιώταις προσεσχηκὼς λέγει· "Καὶ ὑμεῖς χριστιανοί ἐστε"; οἱ δὲ ὡς ἐξ ἑνὸς στόματος εἶπον· "Ἡμεῖς θνητῷ βασιλεῖ οὐ προσερχόμεθα, οὐδὲ πειθαρχοῦμεν αὐτῷ, ἀλλὰ προσερχόμεθα τῷ ἀθανάτῳ βασιλεῖ Χριστῷ, ἵνα τὴν ἀτελεύτητον ζωὴν κληρονομήσωμεν". Ὁ δὲ ἡγεμὼν χολέσας κατ' αὐτῶν ἔθετο τοῦ ἀπολέσαι αὐτούς, ἐφοβήθη δὲ τιμωρήσασθαι αὐτοὺς λεπτομερῶς διὰ τὸ πλῆθος τῶν δύο νουμέρων, μήποτε ἐπαναστῶσιν αὐτῷ ἐν θυμῷ καὶ ἀπολέσωσιν αὐτόν· ἠβουλήθη δὲ λαθραίως κυκλῶσαι αὐτοὺς μετὰ πλήθους στρατιωτῶν καὶ θανατῶσαι αὐτούς. Ὀψίας δὲ γενομένης ἦλθον οἱ γενναιότατοι στρατιῶται ἐν τῷ δεσμωτηρίῳ πρὸς τὸν ἅγιον μάρτυρα σὺν τοῖς δυσὶν τριβούνοις αὐτῶν, καὶ λέγουσιν αὐτῷ· "Στρατηλάτα τοῦ Ἐσταυρωμένου, διατί ὀρφανοὺς ἡμᾶς καταλιμπάνεις; καὶ διατί οὐ δεικνύεις ἡμῖν τὸν ἀτελεύτητον βασιλέα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς"; Ὁ δὲ ἐχάρη ἐπὶ τοῖς λόγοις τούτοις καὶ λέγει πρὸς αὐτούς· "Ἀδελφοί, θέλετε καὶ ὑμεῖς στρατευθῆναι τῷ ἐμῷ βασιλεῖ"; Οἱ δὲ λέγουσιν αὐτῷ· "Ὁρκίζομέν σε κατὰ τῆς δυνάμεως καὶ τῆς χάριτος τῆς δοθείσης σοι παρὰ τοῦ Χριστοῦ, ἵνα μὴ χωρισθῇς ἀφ' ἡμῶν, ἀλλὰ προσαγάγῃς ἡμᾶς τῷ δεσπότῃ Χριστῷ". Ἀκούσας δὲ ταῦτα ἠγαλλιάσατο καὶ παρεκάλεσεν τὸν καπικλάριον, διὰ τὸ καὶ εἶναι αὐτοῦ φίλον, καὶ ἐξελθὼν διὰ τῆς νυκτὸς ἦλθεν πρὸς τὸν ἁγιώτατον ἐπίσκοπον Λεόντιον καὶ λέγει αὐτῷ· "Ἁγιώτατε ἐπίσκοπε, λαβὼν τούτους προσάγαγε τῷ Χριστῷ, τῷ βασιλεῖ τῶν αἰώνων". Καὶ διὰ τῆς νυκτὸς ἐκείνης ἐβαπτίσθησαν οἱ στρατιῶται τῶν δύο νουμέρων σὺν τοῖς δυσὶν τριβούνοις αὐτῶν· ἐπιγνόντες τὴν ὁμοούσιον τριάδα καὶ μεταλαβόντες τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ ἐδόξασαν τὸν Θεόν. Ὁ δὲ ἅγιος Προκόπιος χάριτι ἐμπνεόμενος ἐδίδασκεν αὐτοὺς Χριστὸν Θεὸν εἶναι τὸν ὑπ' αὐτοῦ κηρυττόμενον ἐκ τῶν θεοπνεύστων Γραφῶν· ἦν γὰρ καὶ

3 *πρὸσέσχηκὼς* || *οἱδεὼσἐξενὸς*. — 10 *ἠβ. δὲ λαθρέως κυκλῶσαι*. — 11 *γενναιώτατοι*. — 12 *στρατιῶται· οὕτω καὶ κατόπ.* — 16 *ἐχάρει*. — 19 *μηχωρισθεὶς*.— 20 *προσαγάγεις*. — 26 *ἐπιγνωντες*.

τῷ λόγῳ μελίρρυτος, καὶ εἰργάζετο τὴν τῶν πιστευόντων ἀκοὴν βεβαιοτέραν, ὡς πάντας τοὺς ἀκούοντας θέλγεσθαι ἐκ τῶν λόγων αὐτοῦ, ἀποσταζόντων θείας γλυκύτητος. Οὗτος οὖν ὁ ἀληθῶς φερώνυμος [Προκόπιος] οὐκ ἠρνεῖτο τοῖς ἔργοις τὸ ὄνομα, οὐδὲ ἐψεύδετο τῇ προσηγορίᾳ τὰ ἔργα, ἀλλ' ἦν προκόπτων ἐν τῇ θεαρέστῳ προκοπῇ, διδάσκων καὶ λέγων· "Ἀδελφοί, οἴδατε ποίῳ ἐστρατεύθητε βασιλεῖ καὶ πῶς ἠγαπήθητε ὑπ' αὐτοῦ· καὶ νῦν μή τις ὑμῶν χωρισθῇ τῆς στρατείας ταύτης, ἡ γὰρ ἀνθρωπίνη δόξα σκιὰ ὑπάρχει· ἐὰν δὲ τηρήσητε τὴν ἐντολὴν τοῦ Χριστοῦ, ἀτελεύτητον δόξαν κληρονομήσετε καὶ τὰ σώματα ὑμῶν ἅγια ἔσται".

11. Καὶ ἔτι αὐτοῦ λαλοῦντος αὐτοῖς καὶ παρατιθεμένου αὐτοὺς τῷ Χριστῷ, ἀπέστειλεν ὁ ἡγεμὼν παραστῆναι αὐτοὺς τῷ βήματι· παραστάντων δὲ αὐτῶν, λέγει αὐτοῖς· "Θύσατε τοῖς θεοῖς"· οἱ δὲ ὡς ἐξ ἑνὸς στόματος εἶπον· "Ποῖοι θεοὶ ὑπάρχουσίν σοι; οὐχὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διὰ τοῦ θεραπεύοντος αὐτὸν Προκοπίου ἐξήλειψεν αὐτούς; ἡμεῖς θυσίαν προσφέρομεν τῷ ἐπουρανίῳ βασιλεῖ τῶν αἰώνων, τῷ ἀναστήσαντι ἡμᾶς ἐκ τῶν νεκρῶν". Ὁ δὲ ἀσεβέστατος ἡγεμὼν πλησθεὶς θυμοῦ ἐκέλευσεν ἐννέα ἀρχὰς γενέσθαι σπεκουλατόρων μετὰ πάσης αὐτῶν τῆς βοηθείας, καὶ οὕτως αὐτοὺς κυκλωθέντας σφαγιάζεσθαι· ἐκέλευσεν δὲ καὶ τὸν ἅγιον Προκόπιον, πεφορτωμένον σιδήροις, ὁρᾶν αὐτοὺς σφαγιαζομένους, ὅπως δειλανδρήσας ἐπιθύσῃ. Ὁ δὲ ἅγιος μάρτυς ὁρῶν αὐτοὺς προσηύχετο λέγων· "Ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ ἀναλαβὼν τὴν θυσίαν τοῦ Ἀβραὰμ διὰ τοῦ κριοῦ καὶ μεγαλύνας τὸν Ἰσαὰκ καὶ εὐλογήσας τὸν Ἰακώβ, καὶ νῦν ἔπιδε ἐπὶ τὰ πρόβατα ταῦτα τὰ προσερχόμενα εἰς θυσίαν σου, εἰς ὀσμὴν εὐωδίας, καὶ ἁγίασον τὰς ψυχὰς αὐτῶν καὶ παράσχου αὐτοῖς, ἃ αἰτοῦνται, καὶ ἐπίσκεψαι, Κύριε, τὴν ἄμπελόν σου τὴν φυτευθεῖσαν διὰ τοῦ ἁγίου σου πνεύματος, καὶ δὸς αὐτοῖς καρποφορῆσαι καρπὸν δι-

1 κώδ. *μελίρυτος καὶ ἠργ.* — 4 Προκόπιος] τοῦτο ἐλλεῖπον τῷ κώδικι προσέθηκα || *οὐκ ἠρνεῖτο*. — 8 *στρατίας τ. ἡ γὰρ* || *σκιᾶ*. — 10 *κληρονομήσεται*. — 14 *ποῖοι θ. ὑπάρχ*. — 16 *ἐξείληψεν* || *προσφέρωμεν*. — 22 *δειλανδρίσας*. — 24 Γενέσ. κβ', 1-18. — 29 *καρπον δικαιοσύνης*] Παροιμ. γ', 9. ια', 30. ιγ'. 2. Ἀμὼς ς', 13.

Digitized by Google

καιοσύνης, ἵνα πάντες εὕρωσιν ἔλεος καὶ ἀγαλλίασιν. Κύριε ὁ ἐπακούσας Μωσέως καὶ Ἀαρὼν καὶ ἀποστείλας τὴν νεφέλην καὶ ἁγιάσας αὐτὴν διὰ τοῦ ἁγίου σου πνεύματος, καὶ νῦν ὁ αὐτὸς εἶ, Κύριε, καὶ ἔκτεινον τὴν ἀόρατόν σου χεῖρα τὴν πλήρη ἐλέους καὶ ἀγαθότητος· καὶ ἀνάλαβε τὰς ψυχὰς τῶν δούλων σου εἰς τὸ κατοικητήριον τῶν ἐκλεκτῶν σου, ὅτι σὺ εἶ εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν". Καὶ ἐγένετο φωνὴ ἐξ οὐρανοῦ λέγουσα· "Προκόπιε, οἱ οὐρανοὶ ἀνεῴγασιν· οἱ Ἄγγελοι καὶ Ἀρχάγγελοι μετὰ χαρᾶς τὴν ἔλευσίν σου ἐκδέχονται· ὁ πατὴρ ἀγάλλεται, ὁ υἱὸς τοὺς στεφάνους ἡτοίμασεν, τὸ πνεῦμα τὸ ἅγιον ὁδηγεῖ τοὺς ὑπὸ σοῦ προπεμφθέντας τοῦ ἀταράχως παρελθεῖν τὰ πνευματικὰ τῆς πονηρίας καὶ τὸν ἄρχοντα τοῦ ἀέρος, καὶ ἕξουσιν παρ' ἐμοῦ ὃ ἐὰν αἰτήσωνται". Οἱ δὲ γενναιότατοι στρατιῶται προσηύχοντο λέγοντες· "Κύριε, παράσχου τοῖς σώμασιν ἡμῶν χάριν, ἵνα ἐάν τις μόνον ἐπικαλέσηται ἡμᾶς διὰ σοῦ ἰαθῇ, καὶ ὅπου εἰσὶν τὰ λείψανα ἡμῶν, ἢ ἐν τόπῳ ᾧ ἂν ἡ μνήμη ἡμῶν γένηται, μὴ ἐπέλθῃ ἐκεῖ πτῶσις ἀνθρώπων, ἀλλ' ἐν τῇ χάριτί σου πάντες διασωθῶσιν". Καὶ εἶπεν ὁ Κύριος αὐτοῖς· "Δεῦτε πρός με οἱ ἐκλεκτοί μου ἀπολαμβάνοντες τὰ αἰτήματα ὑμῶν"· οἳ δὲ μετὰ χαρᾶς εἶπον τοῖς σπεκουλάτορσιν· "Δεῦτε, τέκνα, ποιήσατε τὸ προσταχθὲν ὑμῖν". Καὶ ἐγένοντο οἱ σπεκουλάτορες εἰς ἐννέα ἀρχάς, καὶ οὕτως ἐτελείωσαν τὸν ἀριθμὸν τῶν δύο νουμέρων σὺν τοῖς δυσὶν τριβούνοις αὐτῶν, ὧν τὰ ὀνόματά ἐστιν ταῦτα, Νικόστρατος καὶ Ἀντίοχος. Οὕτως ἐτελειώθησαν πρεσβεύοντες ὑπὲρ ἡμῶν διὰ παντός, καί τις ἀνὴρ ὀνόματι Εὐλάλιος, τίμιος τῷ λαῷ, ἐλθὼν μετὰ πλήθους πιστῶν ἀνδρῶν, συνήγαγεν τὰ ἅγια λείψανα καὶ ἀπέθετο αὐτὰ ἐν τόπῳ σεμνῷ· πολλοῖς δὲ ἀρώμασιν μυρίσας αὐτὰ ἠσφαλίσατο· ἐτελειώθησαν δὲ οἱ ἅγιοι μηνὶ μαΐῳ, εἰκάδι πρώτῃ, βασιλεύοντος Διοκλητιανοῦ τοῦ τυράννου.

12. Κατὰ τοὺς καιροὺς ἐκείνους ἐπεδήμησεν τῇ Καισαρέων

2/4 Ἐξόδ. ιδ', 18-27. — 4 κῶδ. *πλήρησ.* — 7 *φωνῆ.* — 11 τὰ πνευμ. τῆς πονηρίας κέ] Ἐφεσ. ς', 12. — 12 ἄρχοντα τοῦ ἀέρος] Ἐφεσ. β', 2 || *αἰτήσονται.* — 13 *γενναιώτατοι.* — 14 *εαντισ.* — 16 *πτώσις.* — 23 *ὦν.* — 24 *ὑπερημ. διαπαντός.*

πόλει Φλαβιανὸς ἡγεμών, ὅστις εἶχεν ψυχὴν ἀνελεήμονα, τὸν δὲ τρόπον ἀνήμερον· ὃς ὑπερβολῇ κακίας πολιτευόμενος καὶ πᾶσαν ὠμότητα τῆς ἐν ἀνθρώποις πονηρίας ὑπεραίρων, ὡς μηδὲ λογίζεσθαι ἑαυτὸν τῆς αὐτῆς τῶν ἀνθρώπων φύσεως ὑπάρχειν. Καθίσαντος δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, προσῆλθον αὐτῷ τινες [λέγοντες] κατὰ τοῦ ἀθλοφόρου Χριστοῦ· ὁ δὲ ἡγεμών, μηδεμίαν ἀναβολὴν ποιησάμενος, ἐκέλευσεν παραστῆναι αὐτόν· οἱ δὲ ὑπηρέται, ὥσπερ ἄγριοι θῆρες, τὸν τῆς εὐσεβείας κήρυκα ἤγαγον πρὸς τὸν τῆς ἀσεβείας συνήγορον, καὶ ὁ ἡγεμὼν λέγει αὐτῷ· "Τί τὸ ὄνομά σοι"; ὁ δὲ ἔφη· "Χριστιανός εἰμι, καλοῦμαι δὲ Προκόπιος". Καὶ ὁ Φλαβιανὸς ἔφη· "Σὺ μόνος ἠγνόησας τὰς θείας νομοθεσίας τοῦ βασιλέως; πῶς κελεύουσιν οἱ ἄχραντοι αὐτοῦ νόμοι; θύειν ἡμᾶς τοῖς θεοῖς, ἢ ἐν δειναῖς τιμωρίαις ἐξεταζομένους τοῦ ζῆν ἀπαλλάττεσθαι. Θαυμάζω οὖν ἐγώ, πῶς εἰς τοσοῦτον χρόνον τῆς ἡλικίας ἐ[λά]σας παραπεσεῖν ἀνέχῃ, πῶς δὲ καὶ ἄλλους διδάσκων αὐτὸς τὸ σωφρονεῖν ἀπεστέρησαι; Ταῦτα δέ σοι παραινῶ, ἀποστῆναί σε τῆς ἀνωφελοῦς θρησκείας, ἀπολογουμένῳ μοι περὶ τῶν προλαβόντων ὕβρεων, εἴπερ ἥττησαι τῷ τῆς αἰσχύνης πάθει, καὶ σὺ μὲν φανήσῃ βελτίων οὗ ἧς τὸ πρότερον, ὡς ἤδη ἀρνούμενος τὴν ἀνόνητόν σου θρῃσκείαν καὶ ἀμειψάμενος τὸ κρεῖττον τοῦ ἐλάσσονος λογισμοῖς καλλίστοις μαθητευθεὶς παρ' ἐμοί, ἐμοί τε χαρίσῃ τὰ μέγιστα οὐκ ἀνονήτους μου [τοὺς] εἰς σὲ κόπους ποιῶν· θεὸν γὰρ ἐκ γυναικὸς γεγεννῆσθαι λέγειν καὶ τοῦτον ἐσταυρῶσθαι γελοῖόν μοι δοκεῖ". Ὁ δὲ ἀθλητὴς τοῦ Χριστοῦ καὶ τῇ πίστει ἑδραῖος ἀθολώτῳ λογισμῷ περιφραξάμενος τοῖς τῆς εὐσεβείας ὅπλοις καὶ διπλασιάσας τὸν εἰς Χριστὸν πόθον ἔφη· "Ἐχρῆν σε, ἡγεμών, τὸν δημιουργόν τε καὶ βασιλέα οὐρανοῦ καὶ γῆς ἐπιγινώσκειν εὐσεβῶς καὶ εἰς τὸν αἴτιον τῶν ἀγαθῶν πιστεύειν—ἡ γὰρ θεία φύσις αὐτοῦ ἀκατάληπτός ἐστιν σωτηρίας ἡμῶν αἰτία καὶ κόσμου—καὶ τοῦτον

2 κῶδ. ὃνὑπερβολῇ. — 3 ὠμότητα. — 5 τινὲς κατατου. — 6 ἡγεμῶν. — 8 θήρες. — 9 οηγεμῶν. — 17 ἀνοφελοῦς || ἀπολογουμένου μου. — 18 προλαβόντων] οὕτος ἐν τῷ κώδικι || εἰπεριττησαι. — 19 φανήσει. — 20 ὡσήδη || ἀνάνητον. — 22 χαρίσει || οὐκανωνήτους. — 24 ἀθλητῆς οὕτω καὶ κατόπι. — 28 ηγάρ.

Digitized by Google

εἶναι ἄτρεπτον ἐν ἀμεταλλάκτῳ φύσει ἑαυτὸν εἰδότα μόνον· εἰ δὲ βούλει μαθεῖν καὶ ἐκ τῶν τοῦ κόσμου φιλοσόφων, ἐν οἷς μάλιστα ἡττῆσθαι ὑμᾶς πέπεισμαι, εὑρήσεις καὶ Ἑρμῆν αὐτὸν παρ' ὑμῖν Τρισμέγιστον, Ἀριστοτέλην καὶ Σωκράτην καὶ Πλάτωνα, Γαληνόν τε καὶ Σκάμανδρον, ἕνα θεὸν δογματίζοντας· τοὺς δὲ ἐξ ἀνθρώπων γενομένους θεοὺς ἢ ὀνομασθέντας, τούτους εἰς τὰ σφαλερὰ καὶ κινδυνώδη βάραθρα φέρεσθαι ἐτραγῴδησαν, ὧν μάλιστα ὁ κορυφαιότατος τῶν ποιητῶν Ὅμηρος τὴν αἰσχύνην ἀνηγόρευσεν. Ἐπεὶ δὲ εἴρηκας τὸν Χριστὸν ἐκ γυναικὸς γεγεννῆσθαι καὶ ἐσταυρῶσθαι, ἄκουσον· ἔστιν τις αὐτοῦ ἀπόρρητος ἀγαθότης, ἧς πολλοὶ ἀγνοήσαντες οὐκ ἐπέγνωσαν τὸ ἀληθὲς πρὶν ἢ πιστεῦσαι αὐτούς· Θεὸς γὰρ ἀληθὴς ὁ Χριστός ἐστιν, ἐπειδὴ ἐκ τοῦ πατρὸς οὗτος μονογενὴς γνήσιος υἱὸς ὑπάρχει. Τὸν οὖν υἱὸν τοῦ Θεοῦ ἐπιγνόντες ἐν τῇ τοῦ πατρὸς θεότητι ὁμοούσιον ἤδη συμβασιλεύοντα αὐτῷ θρῃσκεύομεν ἀπαραλλάκτως· εἰ δὲ θέλεις περὶ θεολογίας ἀκοῦσαι, δὸς ἡμέραν καὶ ἄκουσον. Ἐγὼ τοίνυν χριστιανός εἰμι καὶ διὰ τῆς ἐπικλήσεως τοῦ ἐσταυρωμένου Χριστοῦ Δαίμονας, οὓς ὑμεῖς προσκυνεῖτε, φυγαδεύω ".

13. Ὁ δὲ Φλαβιανὸς βουλόμενος διασῦραι τὰ ὑπὸ τοῦ ἀθλοφόρου λεχθέντα ἔφη· " Καλὸς ἡμῖν πέφηνας περὶ θεολογίας ὑφηγητὴς ὁ τὰ κλεῖθρα τῶν οὐρανῶν καὶ τὰς τοῦ Θεοῦ σφραγῖδας ἐπικομιζόμενος. Πρὶν οὖν τῶν κατὰ σοῦ βασάνων ἄρξωμαι, συμβουλεύω σοι παύσασθαι τῆς ἀσεβοῦς λέξεως, ἀρνήσασθαί τε ἐπαισχυνθέντα τὴν ἀλογωτάτην φρόνησιν τῶν ἀνοήτων χριστιανῶν, φιλοσοφεῖν δὲ αἱρεῖσθαι τοῦ λοιποῦ τὸν Ἑλληνικὸν βίον καὶ ἀπολαύειν τῶν αὐτοῦ ἀρετῶν, καλλίστων οὐσῶν τοῦ παντὸς βίου, πεισθῆναι δὲ καὶ βασιλεῦσιν, τὰ ἐξ ἐκείνων μεγάλα δῶρα ἀπεκδεχόμενον· εἰ δὲ παρακοῦσαι θελήσειας τῆσδε ἡμῶν τῆς παραινέσεως, πᾶσαν στρέβλωσιν ὑπομείνας ἐπὶ τέλει τὰ προστάττομενα

4 κῶδ. *γαλινόν*.—7 *κωρυφεώτατος*.—10 *ἔστιντησ* || *ἧν*.—11 *πρινὴ πιστεύσαι*.— 12 *ἀληθῆς*. — 13 *μονογενῆς* || *ἐπιγνῶντες*. — 14 *συνβασιλ*. — 17 *οὗς*. οὕτω καὶ κατόπι. —20 *καλῶς* || *ὑφηγητῆς*.—22 τῶν] *τὸν* — 23 ἐπαισχυνθέντα] οὕτως ἐν τῷ κώδικι ὅρα καὶ (27) τὸ *ἀπεκδεχόμενον*, ἀλλὰ καὶ τὸ *σπασίμενον* ἐν τῇ σελ. 21, 11. — 24 *ἀλογοτάτην*· — 25 *αἱρεῖσθαι*. — 27 *βασιλεύσιν*. — 28 *παρακοῦσαι*.

*

Digitized by Google

πληρώσεις". Προκόπιος ἔφη· "Ἐπεὶ οὖν τὸν ὄντως ὄντα Θεὸν ἠγνόησας, σὺ μὲν οὖν θύε καὶ μαγείρευε, τὰ τῶν ἀνθρώπων σώματα κατακόπτων καὶ ξαίνων· οὐ γὰρ αἰσθάνῃ θεοειδέσιν ἀνθρώποις ὁμοίως μεμορφωμένοις καὶ εἰδώλοις νεκροῖς προσερχόμενος· εἰ μὲν γὰρ καλὸς ὁ λίθος, ὃν προσκυνεῖς καὶ ὡς θεὸς παρὰ σοὶ νενόμισται, μὴ τέμνε τοῦτον καὶ χώριζε, εἰς πολλὰς μοίρας ἀπομερίζων τὴν πέτραν, καὶ λαβὼν τὸ μὲν ὡς θεὸν προσεκύνησας καὶ λιβάνῳ καὶ θυσίαις ἐδόξασας, τὸ δὲ ἕτερον οὐκ εἰς οἰκοδομὴν οἰκίας μόνον, ἀλλὰ καὶ εἰς ἐκκρινομένων παρ' ὑμῶν χρείας καὶ ἑτέρους βδελυκτοὺς τόπους ἐνύβρισας. Μὴ οὖν τοσαύτη ἄνοια ἐπισκοτιζέτω τὴν σὴν διάνοιαν, ὥστε τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς καταλεῖψαι καὶ λίθῳ εὐτελεστάτῳ ἑαυτὸν χαμαισυρτεῖν· οὐ μόνον γὰρ λίθον θεραπεύεις ὡς εὐεργέτην, ἀλλὰ καὶ χρυσῷ πολλάκις θυσίαν καὶ λίβανον προσήνεγκας καὶ ὡς θεὸν θυμιῶν ἐδόξασας αὐτόν· ἤδη δὲ καὶ ξύλον ὡς θεὸς παρὰ σοὶ νενόμισται. Ποίας οὖν σοφίας ἐστὶν χρυσῷ καὶ ξύλῳ προσφέρειν θυσίαν καὶ πυρὶ ταῦτα ἐμβάλλειν καὶ κατακαίειν τὸ σέβας, καὶ ἀναφέρειν ὡς ἀφθάρτῳ θεῷ τῷ ξύλῳ λίβανον, καὶ φθείρειν πυρὶ τὸν νομιζόμενον θεὸν καὶ ζωὴν καὶ σωτηρίαν αἰτεῖν παρὰ σαθροῦ ξύλου; διόπερ εὐλογώτερον ἦν σιδήρῳ προσφέρειν τὴν θυσίαν. Ἀλλ' ὁρᾷς, ὅτι καὶ αὐτὸς ὁ σίδηρος τῷ πυρὶ μαλακούμενος ἐλαττοῦται τῆς οἰκείας δυνάμεως. Οὐκοῦν ἐπανάγκασον ἡμᾶς τὸ πῦρ ἡγεῖσθαι θεόν, ὅπερ ἀδίκως καὶ τοῦτο νενόμισται μετὰ τῆς λοιπῆς περιττολογίας· ἀπούσης γὰρ ὕλης καὶ ξύλων, τῆς τροφῆς τοῦ πυρός, τὸ πῦρ σβέννυται· ἀλλὰ καὶ ὕδωρ ἐπικρατὲς τούτου γίνεται καὶ καταπαύει τὴν φερομένην φλόγα. Πῶς οὖν τὰς ὕλας νομιστέον εἶναι θεούς, τὰς δι' ἀλλήλων εἰς φθορὰν καὶ μείωσιν χωρούσας; Δέον οὖν ἀφέντας ταύτην τὴν ἐρεσχελίαν καὶ ἄτονον φιλονεικίαν καθαρᾷ τῇ πράξει καὶ μόνῃ τῇ προσευχῇ τὸν ὄντως ὄντα Θεὸν θεραπεύειν· οὔτε γὰρ πυρὸς χρεία, οὔτε ξύλων εἰς καῦσιν, οὔτε ζώων σφαγῆς· ἀπροσδεὴς γὰρ

3 κῶδ. *αἰσθάνει*. — 5 *ὂν*. — 6 *μητέμνε* || *μύρας*. — 9 *χρίας*. — 11 *καταλείψαι*. — 12 *χαμαὶσυρτεῖν*. — 13 *ὠσευεργέτην*. — 16 *ἐμβαλλεῖν*. — 17 *κατακαῖειν*. — 27 *μιωσιν*. — 30 *καύσιν* || *ἀπροσδεῖς*.

Digitized by Google

τῶν τοιούτων ἡ τοῦ παντοκράτορος δύναμις· ἀγαπᾷ μέντοι πράξεις ἀνεπιλήπτους ὁ τῶν ὅλων Θεός, ὁ τοσούτους φιλανθρωπίας θησαυροὺς εἰς ἡμᾶς ἐφαπλώσας, ὥστε τὸν μονογενῆ υἱὸν αὐτοῦ δοῦναι εἰς θάνατον, ἵνα τὰς ὀδύνας λύσῃ τοῦ θανάτου καὶ διὰ τῆς ἀναστάσεως αὐτοῦ ἀφθαρσίαν ἡμῖν καὶ ζωὴν αἰώνιον χαρίσηται. Διόπερ, εἴ σοι φίλον [οὐκ] ἔστιν πεισθῆναι τοῖς ὑπ' ἐμοῦ λεχθεῖσιν, ⟨ἐπεὶ⟩ ἐπάγαγε τὸ ξίφος ἐπ' ἐμέ".

14. Ταῦτα τοῦ μακαρίου λαμπρᾷ τῇ φωνῇ πρός τε τὸν ἄρχοντα καὶ τοὺς περιεστῶτας εἰπόντος, θάνατον εὐθὺς καὶ σφαγὴν ἠπείλησεν αὐτῷ ὁ τῆς ἀσεβείας ἡγεμών, καὶ προστάττει Ἀρχελάῳ τινί, σπασάμενον ξίφος, διαχειρίσασθαι τὸν γενναῖον ἀθλητὴν τοῦ Χριστοῦ· τοῦ δὲ γενναίου μάρτυρος μετὰ πολλῆς σπουδῆς πρὸς τὴν ἐπιφορὰν τοῦ ξίφους ἑαυτὸν ἑτοιμάσαντος, ἡ χεὶρ τοῦ δημίου παρελύθη, καὶ ἐπὶ τὴν γῆν καταπεσὼν ὁ στρατιώτης μετὰ τοῦ ξίφους εὐθέως διεφώνησεν. Ταῦτα ὁρῶν ὁ Φλαβιανὸς καὶ ὥσπερ ἐν ἐκστάσει γενόμενος ἔφη· "Σιδηρώσαντες αὐτοῦ χεῖράς τε καὶ πόδας φυλάττετε ἐν τῷ δεσμωτηρίῳ". Ὁ δὲ μακάριος Προκόπιος καρτερικῶς ὑπομείνας τὰς ἀφορήτους βασάνους, πεφορτωμένος σιδήροις, ἐφυλάττετο ἐν τῷ δεσμωτηρίῳ, καὶ κατακείμενος εἰς τὸ ἔδαφος προσηύχετο λέγων· "Ὁ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ φωτίσας τὰ πρὶν ἐσκοτισμένα, ὁ ἐκ τοῦ μὴ ὄντος τὴν ὁρωμένην καὶ ἀόρατον κτίσιν συστησάμενος, ὁ τὰ σὰ πλάσματα πρὸς ἑαυτὸν ἐπιστρέψας, ὁ μὴ ἐάσας ἡμᾶς ἐν τῇ ἀφροσύνῃ διάγειν, εὐχαριστοῦμέν σοι καὶ τῇ ἁγίᾳ δυνάμει σου καὶ σοφίᾳ, τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, δι' οὗ τοὺς αἰῶνας ἐποίησας καὶ πεσόντας ἡμᾶς ἀνέστησας, καὶ ἀναστήσασιν ἡμῖν συνέγνως, πλανηθέντας ἐπανήγαγες, αἰχμαλωτισθέντας ἐλυτρώσω, κειμένους ἀνήγειρας, τεθνηκότας ἐζωοποίησας. Σοὶ χάρις, δέσποτα, τῷ οὕτως ὑπὲρ ἀξίαν ἡμᾶς ἀγαπήσαντι· εὐχαριστοῦμέν σοι, ὅτι καὶ προσκαλῇ καὶ προσάγεις ἡμᾶς πρὸς ἑαυτόν, στερεῶν ἐν πίστει, βεβαιῶν ἐν ἐλπίδι, ἀγάπῃ φωτίζων, οὐ κατὰ τὰς ἁμαρτίας κολάζων, ἀλλὰ κατὰ

4 κῶδ. *ὀδίνας λύσει.* — 9 *τουσπεριεστῶτας.* — 14 *καταπεσῶν.*—17 *φυλάττεται.* — 18 *ἀφορίτους* β. *πεφορτομένος.* — 23 *μηεάσας.*

Digitized by Google

χρηστότητα χαριζόμενος καὶ εὐσπλαγχνίᾳ καὶ ἀνοχῇ τὴν κρίσιν ὑπερτιθέμενος καὶ διὰ τῆς μακροθυμίας ἐπὶ τὸ βέλτιον ἡμᾶς ὁδηγῶν. Σὲ οὖν ἐπικαλοῦμαι καὶ τὸν μονογενῆ σου υἱὸν καὶ τὸ πνεῦμά σου τὸ ἅγιον· ἐπάκουσόν μου καὶ ἐνίσχυσόν με καὶ τελείωσον τὸν δρόμον μου· βεβαίωσον τὴν διαθήκην σου καὶ ἐν ἐμοὶ τῷ ἀναξίῳ, καὶ ἐξελοῦ με τῆς ἐπηρείας τοῦ Διαβόλου, τῇ σοφίᾳ τοῦ ἁγίου σου πνεύματος φυλάσσων ἡμᾶς ἐκ τῆς ἀπάτης τοῦ πονηροῦ ἄρχοντος, καὶ δίδαξον ἡμᾶς τὰ θελήματά σου καὶ τὰς ἁγίας ὁδούς σου, καὶ τὴν βοήθειάν σου μὴ ἀφέλῃς ἀφ' ἡμῶν, μηδὲ βαρυτέρας τῆς ἡμετέρας δυνάμεως τὰς παιδείας ἐπαγάγοις· ἡμεῖς γὰρ οὐχ ἱκανοί ἐσμεν πρὸς τὸ νικᾶν τὰ ἀντιπίπτοντα, σὺ δὲ δύνασαι τοῦ σῴζειν ἡμᾶς ἐκ πάντων τῶν ἀνθισταμένων ἡμῖν, διαφυλάττων ἡμᾶς εἰς αἰωνίαν καὶ μακαρίαν ζωὴν τὴν ἐν πληρώσει πνεύματος ἁγίου καὶ ἀφθαρσίᾳ καὶ βασιλείᾳ τῆς σῆς θεότητος, ἵνα οἰκεῖοι καὶ μέτοχοι καὶ κληρονόμοι εὑρεθῶμεν τῶν ἐπαγγελιῶν τοῦ Χριστοῦ σου". Καὶ προσευχομένου αὐτοῦ ἦλθεν αὐτῷ φωνὴ λέγουσα· "Προκόπιε, ἴσχυε καὶ ἀνδρίζου".

15. Τῇ δὲ ἕκτῃ ἡμέρᾳ καθεσθεὶς ὁ ἡγεμὼν ἐκέλευσεν προσαχθῆναι τὸν μακάριον, καὶ λέγει αὐτῷ· "Προτοῦ τὰς σάρκας σου ἀναλώσω, θῦσον τοῖς θεοῖς". Ἔφη αὐτῷ ὁ μάρτυς· "Αἴκιζέ μου τὸ σῶμα, ὑπὲρ τῶν ὁμοίων σοι Δαιμόνων ἀγωνιζόμενος". Ὁ δὲ ἡγεμὼν ἔφη· "Οὐ παροξύνεις με τοῖς λόγοις σου, ἵνα σύντομον τὴν ἐπάξιον ἐπενέγκω σοι τιμωρίαν, ἀλλὰ ἀνεχόμενόν με ἕξεις τῆς προπετείας σου, τρισκατάρατε. Εἰ καὶ τῇ μαγγανείᾳ σου τὸ ξίφος ἀπέστρεψας καὶ τὸν σπεκουλάτορα ἐθανάτωσας καὶ ἡμᾶς πάντας ἠμαύρωσας, οὐ παύσομαι κατὰ πᾶν μέλος αἰκίζων σε, ἕως οὗ πράξεις τὰ κελευόμενά σοι. Τείναντες τοίνυν αὐτὸν ἱμᾶσιν λεπτοῖς, καὶ ἐκ τῶν τεσσάρων κρεμάσαντες ἀπὸ τῆς γῆς, νεύροις ὠμοῖς τὰς σάρκας αὐτοῦ καταξάνετε, καὶ ἀνθρακιᾶς ζεούσης τὸν νῶτον αὐτοῦ πληρώσατε· ὄνησις γὰρ ἄφρονι μάστιγες ἀνίατοι". Ταῦτα δὲ πάντα ἀκούσας ὁ γενναῖος ἀθλητὴς εἶπεν· "Πάσης ἀνομίας ἐρ-

6 κῶδ. *ἐξελοῦμαι τῆσἐπειρίας*. — 11 *οὐχϊκανοὶ ἐσμὲν - - νικὰν*. — 12 *ημῖν*. — 14 *οἰκείοι*. — 18 *ἕκτη*. — 26 *παύσωμαι*. — 28 *ὡμοῖς*. — 31 *ἐργάται*.

γάτα καὶ πυρὸς αἰωνίου τροφή, περὶ τὴν ἀλήθειαν ἀστοχῶν ὡς ἀφρονοῦντά με τιμωρεῖς· ἐγὼ δὲ ὑπὲρ εὐσεβείας ἀγωνιζόμενος πάντα πόνον ἡδέως ὑπομένω διὰ τὰς ἀμοιβὰς τῶν αἰωνίων ἀγαθῶν, τὰς ὑπερβαινούσας πάντα νοῦν ἀνθρώπου". Φλαβιανὸς εἶπεν· "Οὐ φείσομαί σου παραφρονοῦντος, μιαρώτατε πάντων ἀνθρώπων". Προκόπιος ἔφη· "Οὐδὲ ἐγὼ παύσομαι μαρτυρῶν τῇ ἀληθείᾳ, παρανομώτατε καὶ τῆς οὐρανίου δίκης ἐχθρέ, Δαιμόνων συνήγορε καὶ δυσσεβῶν βασιλέων ὑπέρμαχε". Φλαβιανὸς ἔφη· "Πυρώσαντες τοὺς ὀβελίσκους τὰ τραύματα αὐτοῦ καταφλέξατε, ἅμα καὶ διακεντοῦντες αὐτόν, ὅπως ἐκ τῆς τιμωρίας νήψας παύσηται βλασφημῶν τοὺς θεοὺς καὶ τοὺς σεβαστούς". Ὁ δὲ μακάριος καυτηριαζόμενος λέγει· "Θηριωδέστατε καὶ πάσης ἀνομίας μεστέ, ἣν νομίζεις τιμωρίαν, διὰ ταύτης ἡττῶ σε, βασανίζων σε τῇ ὑπομονῇ". Ὁ δὲ ἡγεμὼν λέγει· "Ἐνέγκατε ἅλας κατὰ τῶν καυτηριασθέντων αὐτοῦ μελῶν, καὶ ἔτι πυρώσαντες τοὺς ὀβελίσκους πρόσθετε, ἵνα, τῶν παθῶν ἐπικινηθέντων καὶ τῆς ψυχῆς ἐπαλγεστέροις πόνοις λιποτακτησάσης, παύσηται βλασφημῶν τοὺς θεούς, οὓς οἱ βασιλεῖς ὑπὲρ τῆς κοινῆς ἁπάντων σωτηρίας θεραπεύουσιν ἐπιμελῶς". Ὁ δὲ γενναῖος ἀθλητὴς τοῦ Χριστοῦ, κατακεντούμενος τοὺς μώλωπας τῶν τραυμάτων, ἔφη· "Λυσιτέλειαν λέγεις τὴν λύμην, ἣν ἐπήγαγον οἱ αἱμοβόροι βασιλεῖς τῇ ἀνθρωπότητι, τὸ κράτος τῶν Δαιμόνων αὐξήσαντες, οὓς ἀμείψεται διατάχους ὁ Θεός, φειδόμενος τῆς ἀνθρωπότητος";

16. Ὁ δὲ Φλαβιανὸς θυμομαχήσας ἐπενόησεν ξένην καὶ ἀπάνθρωπον τιμωρίαν· ἐκέλευσεν γὰρ βωμὸν εἰσενεχθῆναι, καὶ ἐξαπλώσαντας τοὺς δημίους τὴν χεῖρα τοῦ μάρτυρος ἐπάνω αὐτοῦ τὴν δεξιάν, ταύτην ἀνθράκων ἐκκεκαυμένων πληρῶσαι καὶ λίβανον ἐπιτεθῆναι ἐπάνω τῶν ἀνθράκων τῆς χειρός· καὶ εἶπεν πρὸς τὸν μάρτυρα· "Μὰ τοὺς θεοὺς ἅπαντας, ἐὰν στρέψας τὴν χεῖρα ῥίψῃς τὸν λίβανον ἐπάνω τοῦ βωμοῦ, συγκατέθου τοῖς θεοῖς καὶ τὴν σπονδὴν ἐπλήρωσας". Καὶ ὁ μὲν βωμὸς ὑπέκειτο, ἡ δὲ χεὶρ τοῦ μάρτυρος ἥπλωτο, ὁ δὲ λίβανος μετὰ πυρὸς ἐπέκειτο καὶ ὁ ἀθλητὴς

7 κῶδ. *παρανομότατε*. — 10 τιμωρίας] *μωρίας*. — 12 *ἢν* || τιμωρίαν] *μωρίαν*. — 20 *ἢν*. — 28 *ματούς*.

Digitized by Google

τοῦ Χριστοῦ γενναίως ἔφερεν, ἐπὶ δύο ὥρας ἱστάμενος· ἐπελάθετο δὲ ὅτι χεῖρα εἶχεν· ἡ γὰρ διάνοια τοῦ μάρτυρος ἦν πρὸς τὸν Θεὸν στηριζομένη καὶ τῇ ἀγάπῃ τοῦ Χριστοῦ φαιδρυνομένη καὶ τῇ εὐσεβείᾳ εἰς οὐρανὸν ἀνιπταμένη· ὁ ἀγωνοθέτης Θεὸς ἔχαιρεν, [ὁ] Χριστὸς ἐκηρύσσετο, τὸ ἅγιον πνεῦμα ἐδοξάζετο. Ἔκειτο μάτην [ὁ] βωμός, προσεῖχεν ὁ ἄρχων, ἐξεπλήσσοντο οἱ περιεστῶτες, ὁ δὲ μακάριος εἰς τὸν ἑαυτοῦ σταδιάρχην Χριστὸν ἀναβλέψας, στενάζων ἔλεγεν· "Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύϊ· ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθρούς· δεξιὰ Κυρίου ἐποίησεν δύναμιν· δεξιὰ Κυρίου ὕψωσέν με". Ὁ δὲ Φλαβιανὸς ἐκ πάντων ἀστοχήσας λέγει· "Ἀνοσιώτατε, λέγεις ἀπαθῶς διακεῖσθαι περὶ τὰς βασάνους· διατὶ στενάζων κλαίεις"; Προκόπιος ἔφη· "Μή σοι καλῶς ἵνα ἐγὼ κλαύσω μου τὴν ψυχήν; τοῦτο γὰρ τὸ σῶμα πηλός ἐστιν· πηλὸς δὲ ὅταν πυρὶ προσομιλεῖ, πάντως τὸ ὑγρὸν ἀποστάζει· ἅμα δὲ καὶ κλαίω τὴν σὴν ψυχήν, ὅτι ὑπηρέτης γέγονας δυσσεβῶν βασιλέων, σὺν τοῖς Δαίμοσιν πίνων αἵματα ἀνθρώπων". Ὁ δὲ Φλαβιανὸς ἐκέλευσεν ἀπενεχθῆναι αὐτὸν ἐν τῇ φυλακῇ, καὶ τῇ ἐπαύριον ἐνεχθῆναι δύο λίθους παμμεγέθεις προσέταξεν καὶ τρυπηθῆναι αὐτοὺς καὶ ἐνεχθῆναι τὸν μακάριον καὶ τὰς χεῖρας αὐτοῦ δεθῆναι καὶ κρεμασθῆναι αὐτόν, ἵνα διὰ τοῦ βάρους λυθῶσιν οἱ ἁρμοὶ αὐτοῦ.

17. Ὡς δὲ ἐπλήρωσεν ταῦτα καὶ τοὺς λίθους ὑποκάτω τῶν ποδῶν αὐτοῦ ἀπεκρέμασεν καὶ εἶδεν, ὅτι οὐχ ἅπτεται αὐτοῦ βάσανος, κελεύει γενέσθαι κλίβανον καὶ πυρωθῆναι αὐτὸν σφοδρῶς, κἀκεῖ ἐμβληθῆναι τὸν ἀθλητὴν τοῦ Χριστοῦ, καὶ μετά τινας ἡμέρας ἐκέλευσεν ἀχθέντα αὐτὸν βληθῆναι ἐν αὐτῷ. Εἰσερχόμενος δὲ ὁ ἀθλητὴς τοῦ Χριστοῦ ἐποίησεν τὸ ὅπλον τοῦ σταυροῦ ἐφ' αὐτὸν καὶ ηὔχετο λέγων· "Κύριε Ἰησοῦ Χριστὲ ὑπερένδοξε εἰς τοὺς αἰῶνας, εὐχαριστῶ σοι, ὅτι κατηξίωσάς με ἐλθεῖν καὶ ἐν τῇ καμίνῳ ταύτῃ διὰ τὸ ἅγιον ὄνομά σου· αὐτὸς γὰρ εἶπας διὰ τοῦ προφήτου,

1 κῶδ. *γενναῖος*. — 2 *ηγάρ*. — 4 *ἀνηπταμένη*. — 5/6 *ἐκετοματηνβωμὸς*. *προσείχεν*. — 8 *δεξιᾶ* ‖ *ἴσχύει* — 8/10 Ἐξόδ. ιε', 6. Ψαλμ. ριζ', 16. — 10 *δεξιᾶ*. — 16 *οδεφλαβιανὸς*. — 21 *ἁρμοί*. — 23 *οὐχάπτεταιαυτοῦ*. — 27 *ἐπαυτὸν*.

Digitized by Google

ὅτι ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασα αὐτοὺς καὶ ὡς ὁλοκαύτωμα θυσίας προσεδεξάμην αὐτούς· καὶ ἐμὲ δὲ τὸν δοῦλόν σου καταξίωσον εἰς τὸ ὁλοκαύτωμα ἐκεῖνο φθάσαι· πλήρωσον καὶ ἐπ' ἐμοὶ τὸν προφητικόν σου λόγον τὸν λέγοντα· Ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον· εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα· ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν· διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. Καὶ νῦν ἐξάγαγέ με ἐκ τῆς παγίδος ταύτης. Κύριε ὁ ἐπακούσας Μωσέως καὶ Ἀαρὼν καὶ σώσας τὸν λαόν σου, καὶ νῦν σῶσόν με ἐκ τῆς παγίδος ταύτης· ὁ ἐπακούσας τῶν τριῶν παίδων ἐκ τῆς καμίνου καὶ ἐξαποστείλας τὸν Ἄγγελόν σου καὶ ἐκτινάξας τὴν φλόγα ἐκ τῆς καμίνου, καὶ ἐμὲ διάσωσον, ὅπως ἴδωσιν πάντα τὰ ἔθνη καὶ δοξάσωσιν τὸ ὄνομά σου τὸ φοβερόν".

18. Καὶ ἔτι αὐτοῦ προσευχομένου ἡ φλὸξ ἐσκορπίσθη καὶ τοὺς τῆς ἀσεβείας ὑπηρέτας ἐν κύκλῳ κατέκαυσεν, καί τινες τῆς πόλεως ἰδόντες τὸ γενόμενον θαῦμα ἐβόων τῷ ἡγεμόνι, λέγοντες· "Ἀνάλωσον αὐτὸν ἐν τάχει." Ὁ οὖν ἡγεμὼν φόβῳ συνεχόμενος ἔδωκεν αὐτὸν εἰς τὸ πραιτώριον, καὶ μετά τινας ἡμέρας καθίσας ἐπὶ τοῦ βήματος ἔδωκεν κατ' αὐτοῦ ἀπόφασιν, ὥστε ξίφει τὴν κεφαλὴν αὐτοῦ ἀποτμηθῆναι, ὑπογράψας οὕτως· "Προκόπιος ἀπειθήσας τοῖς θεοῖς, καὶ τὸν αὐτοκράτορα παρυβρίσας καὶ διὰ τῆς μαγείας αὐτοῦ πλήθη ἱκανὰ ἀναλώσας, ξίφει τὸν βίον πληρώσει". Λαβὼν δὲ τὴν ἀπόφασιν ἦλθεν ἐπὶ τὸν προκείμενον τόπον καὶ λέγει τῷ σπεκουλάτορι· "Ἀδελφέ, ἓν αἴτημα αἰτοῦμαι παρὰ σοῦ". Ὁ δὲ λέγει "Τί θέλεις"; Λέγει αὐτῷ ὁ μάρτυς "Ἔνδος μοι μίαν ὥραν, ἵνα προσεύξωμαι". Ὁ δὲ ἐνέδωκεν αὐτῷ, καὶ ἀναβλέψας εἰς τὸν οὐρανόν, ἄρας τὰς χεῖρας, προσηύξατο λέγων· "Ὁ δεδοξασμένος ἐν βουλαῖς ἁγίων, ὁ Θεὸς ὁ πρὸ τῶν αἰώνων ἐκ κόλπων σου ἁγίων ἀφράστως καὶ ἀνεκδιηγήτως τὸν σωτῆρα Θεὸν

1/2 Σοφ. Σολομ. γ', 6 || κῶδ. *ἐδοκήμασα* || ὁλοκαύτωμα] οὕτως ἐν τῷ κώδικι ἀντὶ τοῦ *ὁλοκάρπωμα*. — 4 Ψαλμ. ξε', 10-11. — 6 *διήλθωμεν*. — 8 *ἀαρῶν*. — 26 *προσεύξομαι*. — 28 δεδοξ. - ἁγίων] Ψαλμ. πη', 7. — 29 *ἀνεκδιγήτως*.

Digitized by Google

γεννήσας καὶ ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐκ παρθενικῆς μήτρας προελθεῖν καὶ τεχθῆναι ὁρίσας, δίκαιε ζωοποιέ, ἀνακαινιστὰ κτίσεως καὶ ἁγιαστὰ κόσμου, δοτὴρ τοῦ ἀληθινοῦ σου φωτός, ὁ δοὺς ἡμῖν ἐπιφάνειαν τοῦ Χριστοῦ σου καὶ χαρισάμενος ἐπιδημίαν τοῦ ἁγίου πνεύματος· ὁ ποιήσας ἡμᾶς υἱοὺς ἐν υἱοθεσίᾳ, ὁ μέλλων τὸ μέγα κῆτος χειροῦσθαι καὶ τὸν ποιμένα τῶν λογικῶν προβάτων ἀναστήσας, ὁ κτίστης καὶ δημιουργὸς πάσης κτίσεως, ἐπάκουσόν μου δεομένου σου καὶ παράσχου μοι τὸ αἴτημα καὶ διαφύλαξον τὴν πόλιν ταύτην, ὅπως μὴ ἔσται ἐν αὐτῇ κνίσσα εἰδώλων, μήτε πλάνη Διαβόλου· ἀλλὰ κατασφάλισαι αὐτὴν διὰ τῶν ἁγίων σου Ἀγγέλων καὶ μνήσθητι, ὁ Θεός, παντὸς τοῦ λαοῦ σου· ἴασαι τοὺς ἀρρώστους, ἐξελοῦ τοὺς καταπονουμένους· χηρῶν, γυναικῶν καὶ παίδων ὀρφανῶν ἀναπλήρωσον τὰ ὑστερήματα· πηρώσεις παραμύθησαι, τοὺς ἐν φυλακαῖς ἐπίσκεψαι, πλέουσιν κύβερνος γενοῦ, ὁδοιποροῦσιν ἀκίνδυνον τὴν πορείαν ποίησον, ἐπηρεαζομένοις ἄνεσιν δός, τῶν καταπονουμένων καταφυγὴ γενοῦ, τοὺς σκιαζομένους ἐλευθέρωσον, τοὺς ὑπὸ πονηρῶν πνευμάτων ἐνοχλουμένους θεράπευσον, ἑστῶτας στήριξον, κατηρραγμένους ἀνόρθωσον, πεπλανημένους ἐπίστρεψον· θραῦσον ἰσχὺν Διαβόλου, διασκέδασον αὐτοῦ τὰς πολυτρόπους ἐπιβουλάς, τὰς τῆς δικαιοσύνης, εἰρήνην τῷ κόσμῳ σου δωρούμενος· καὶ ἐμοῦ δὲ αὐτοῦ, ἐάν τις ποιήσῃ οἶκον ἀναπαύσεως καὶ καταξιωθῇ βραχύ τι τοῦ σώματός μου λαβεῖν, μὴ ἐπέλθῃ ἐπ' αὐτὸν διαβολικὴ πεῖρα, μήτε θλῖψις, μήτε νόσημα, μήτε ὄχλησις πνευμάτων ἀκαθάρτων, ἢ ἀνθρώπων πονηρῶν περιεργία. Κύριε ὁ Θεός μου, καὶ ὅστις μέμνηται τοῦ ὀνόματός μου, οἰκῶν ἐν πόλει ἢ ἐν χώρᾳ, τοῦτον διαφύλαξον ἀπὸ πάσης θλίψεως, ὅπως δοξασθῇ τὸ ὄνομά σου ἐν πάσαις ταῖς γενεαῖς, καὶ πρόσδεξαι ἐν εἰρήνῃ τὴν ψυχήν μου χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Χριστοῦ σου, μεθ' οὗ σοι δόξα σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν".

9 κῶδ. *ἔστω ἐναυτῆ κνίσα*. — 15 *πορίαν* || *ἐπερεαζομένοις*. — 16 *καταφυγῆ γ. τοὺσκιαζ*. — 21 *τὶς ποιήσει*. — 23 *διαβολικῆ πείρα μ. θλίψις*. — 25 *περιεργεία*. — 26 *θλήψεως*. — 29 *μεθου*.

Digitized by Google

19. Καὶ ἐγένετο φωνὴ ἐξ οὐρανοῦ λέγουσα· "Προκόπιε, ἠνεῴγησάν σοι οἱ οὐρανοί· ὁ χορὸς τῶν Ἀγγέλων περιμένει σε, οὓς παρέθου μοι στρατιώτας καὶ αἱ ἀνδρεῖαι γυναῖκες ἐκδέχονταί σε· περὶ δὲ ὧν ᾐτήσω, ἰδοὺ δέδοταί σοι". Τότε λέγει τῷ σπεκουλάτορι ὁ ἅγιος Προκόπιος· "Ποίησον τὸ προσταχθέν σοι". Καὶ σφραγίσας τὸ σῶμα ἑαυτοῦ, προτείνας τὸν τράχηλον, ἀπετμήθη τὴν κεφαλήν, ἔτι τῆς τοῦ ὕμνου πρὸς τὸν Θεὸν φωνῆς ἐν τῷ στόματι αὐτοῦ οὔσης· καὶ ἐλθόντες οἱ χριστιανοὶ ἔλαβον αὐτοῦ τὰ ἅγια λείψανα, δοξάζοντες πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα. Ἐτελειώθη δὲ ὁ ἅγιος Προκόπιος μηνὶ ἰουλίῳ η', ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ τοῦ ἀσεβεστάτου, καθ' ἡμᾶς δὲ βασιλεύοντος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

3 κῶδ. *αἱανδρεῖαι.*

Digitized by Google

II.

ΜΑΡΤΥΡΙΟΝ

ΤΟΥ ΑΓΙΟΥ ΠΡΩΤΟΜΑΡΤΥΡΟΣ ΣΤΕΦΑΝΟΥ

καὶ ἡ εὕρεσις τῶν λειψάνων αὐτοῦ [1].

(Cod. Sabait. 224, f. 172β—182).

---

1. «Στέφανος πλήρης χάριτος καὶ δυνάμεως ἐποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ· ἀνέστησαν δέ τινες τῶν ἐκ τῆς συναγωγῆς, τῆς λεγομένης Λιβερτίνων καὶ Κυρηναίων καὶ Ἀλεξανδρέων καὶ τῶν ἀπὸ Κιλικίας, συζητοῦντες τῷ Στεφάνῳ, καὶ οὐκ ἴσχυον ἀντιστῆ-

[1] Ἐκ τοῦ 224-ου κώδικος τῆς λαύρας τοῦ ἁγίου Σάβα· ὅρα Ἱεροσολ. Βιβλιοθ. τ. II, σ. 337-339. Ὁ κῶδιξ οὗτος ἐγράφη περὶ τὸ μέσον τῆς ιδ′ ἑκατονταετηρίδος· ὀνομάζω δὲ τοῦτον ἐν ταῖς κριτικαῖς ὑποσημειώσεσιν ἁπλῶς A, τῷ δὲ γράμματι B δηλῶ τἀναγνώσματα τοῦ 18-ου κώδικος τῆς αὐτῆς λαύρας τοῦ ἁγίου Σάβα (Ἱεροσ. Βιβλιοθ. II, σ. 29-34)· οὗτος δὲ ὁ κῶδιξ ἐστι διμερής, καὶ τὸ μὲν πρῶτον αὐτοῦ μέρος ἐγράφη περὶ τὴν ἀρχὴν τῆς ἑνδεκάτης, τὸ δ᾽ ἕτερον ὑπερμεσούσης τῆς δεκάτης ἑκατονταετηρίδος· ἀλλὰ τὸ ἐν αὐτῷ περὶ τοῦ Στεφάνου κείμενον, ὃ προσήκει τῷ δευτέρῳ τοῦ κώδικος μέρει (φ. 406-419), ἐπιγραφὴν ἔχει τὸ «Ἡ εὕρεσις τοῦ τιμίου λειψάνου τοῦ πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου» καὶ τὴν ἀρχὴν ποιεῖται ἀπὸ τῶν λέξεων τούτων· «Ὁ δὲ ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ἔτι μᾶλλον ὑψῶσαι βουλόμενος» κτλ. Τοῦτο μὲν οὖν τὸ κείμενον, τὸ B, ἔστιν ἀτελὲς ἐν τῷ κώδικι· μέρος ὅμως αὐτοῦ, φύλλον ἓν ἀποτελοῦν, ἔσωσεν ὁ 209-ος κῶδιξ τῆς λαύρας ἐκείνης. Σημειωτέον ὧδε καὶ τοῦτο, ὅτι ὁ 18-ος κῶδιξ ἀριθμεῖ φύλλα μεμβράνινα 404 καὶ ἕτερα πεντεκαίδεκα χάρτινα φύλλα, ὡς εἶναι πάντα αὐτοῦ τὰ φύλλα οὐχὶ 406, ὡς ἐν τῇ Ἱεροσολυμιτικῇ Βιβλιοθήκῃ σεσημείωται, ἀλλὰ 419· τῶν μέντοι χαρτίνων τέσσαρα μόνον ἐστὶ γεγραμμένα (φ. 188, 189, 264 καὶ 265), τὰ δὲ λοιπὰ πάντα παντάπασιν ἄγραφα.

1 Τὸ μαρτύριον τοῦ ἁγίου Στεφάνου, ὡς ἐν τῷ κειμένῳ τούτῳ ὑπάρχει (A) ἐλήφθη κατὰ λέξιν ἐκ τῶν Πράξεων τῶν Ἀποστόλων (κεφ. ζ′ 8-ή 2), τοῦ συντάκτου ποιήσαντος ἐν αὐτῷ μεταλλαγάς τινας· ἐγὼ δὲ κατ᾽ ἐξαίρεσιν μέρος ἐκ τῆς ἀρχῆς καὶ τοῦ τέλους ἐνταῦθα καταχωρίζω || *χάριτος* A, *πίστεως* Πρ.

Digitized by Google

ναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι, ᾧ ἐλάλει. Τότε ὑπέβαλον ἄνδρας λέγοντας, ὅτι Ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα- -κατὰ τοῦ τόπου τοῦ ἁγίου τούτου καὶ τοῦ νόμου· ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος, ὅτι Ἰησοῦς ὁ Ναζωραῖος οὗτος καταλύσει τὸν τόπον τοῦτον καὶ ἀλλάξει τὰ ἔθη, ἃ παρέδωκεν ἡμῖν Μωσῆς. Καὶ ἀτενίσαντες εἰς αὐτὸν πάντες οἱ καθεζόμενοι ἐν τῷ συνεδρίῳ, εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον Ἀγγέλου. Εἶπεν δὲ ὁ ἀρχιερεύς, Εἰ ἄρα ταῦτα οὕτως ἔχει; Ὁ δὲ πρωτομάρτυς Στέφανος ἔφη· "Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε. Ὁ Θεὸς [καὶ τὰ ἑξῆς ἄχρι τοῦ] Κράξαντες δὲ φωνῇ μεγάλῃ συνέσχον τὰ ὦτα αὐτῶν, καὶ εἶπεν αὐτοῖς ὁ ἅγιος Στέφανος· Οὐχ ὑμεῖς εἴπατε Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν, καθὼς αὐτοὶ εἴπατε; Ἀκούοντες δὲ ταῦτα διεπρίοντο τῇ ψυχῇ καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ' αὐτόν, καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως ἐλιθοβόλουν. Καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεανίου καλουμένου Σαύλου, καὶ ἐλιθοβόλουν τὸν Στέφανον, ἐπικαλούμενον καὶ λέγοντα, Κύριε Ἰησοῦ, δέξαι τὸ πνεῦμά μου. Θεὶς δὲ τὰ γόνατα ἔκραξε φωνῇ μεγάλῃ· Κύριε, μὴ στήσῃς αὐτοῖς ταύτην τὴν ἁμαρτίαν. Καὶ τοῦτο εἰπὼν ἐκοιμήθη. Σαῦλος δὲ ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ. Ἐγένετο δὲ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διωγμὸς μέγας ἐπὶ τὴν ἐκκλησίαν τὴν ἐν Ἱεροσολύμοις, πάντες τε διεσπάρησαν κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας, πλὴν τῶν ἀποστόλων· συνεκόμισαν δὲ τὸν ἅγιον πρωτομάρτυρα Στέφανον ἄνδρες εὐλαβεῖς» καὶ ἐποίησαν γλωσσόκομον περσεινὸν καὶ κατέθεντο αὐτὸν ἐκ πλαγίας τοῦ βουνοῦ, γράψαντες καὶ τίτλον ἑβραϊκοῖς γράμμασι "Χιλιὴλ" ἀπὸ τῆς συριακῆς Βίβλου· καὶ ἐποιήσαντο κοπετὸν μέγαν ἐπ' αὐτῷ, καὶ τύπτοντες ἑαυτῶν τὰ στήθη ὑπέστρεφον εἰς Ἱερουσαλήμ.

2. Γαμαλιὴλ δέ τις ἰδὼν τὴν ἀρετὴν τοῦ ἀνδρὸς καὶ ἐλπίζων ἔχειν μέρος μετ' αὐτοῦ ἐν τῇ ἀναστάσει, ἐγερθεὶς διὰ τῆς νυκτὸς καὶ προσπεσὼν τοῖς ἀποστόλοις ἐν τῷ καιρῷ ἐκείνῳ, ἐπὶ τῆς θλίψεως τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου, προτρεψάμενος αὐτοὺς παντὶ τρόπῳ συνεβούλευεν, ὥστε συνελθεῖν αὐτοὺς καὶ

6 *ἅπαντες* Πρ ‖ *ἴδον* Α. — 24 περσεινὸν] οὕτως ἐν τῷ κώδικι.

Digitized by Google

συγκομίσαι τὸ ἅγιον αὐτοῦ σῶμα τῷ ἑαυτοῦ κινδύνῳ καὶ ἀπενέγκαι εἰς τὸ ἴδιον χωρίον, τὸ ἐπ' ὀνόματι αὐτοῦ κληθέν. Καὶ κατὰ τὸ εἰθισμένον αὐτοῖς τοῦ νόμου ἐπετέλεσαν ἡμέρας τεσσαράκοντα, καὶ τὰ ὑπὲρ τοῦ κοπετοῦ ἀναλισκόμενα ἐκ τῆς τοῦ Γαμαλιὴλ δαπάνης ἐδόθη, καὶ οὕτως αὐτὸ κατέθεντο ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ τῷ μηδέπω τελειωθέντι, ἐκ διαστήματος ὄντι τῆς πόλεως ἀπὸ εἰκοστοῦ σημείου. Ἀκούσας δὲ Νικόδημος ὁ τοῦ Γαμαλιὴλ ἀνεψιός, ὁ κατηχηθείς ὑπὸ Ἰησοῦ τοῦ σωτῆρος ἡμῶν, ὥστε νυκτὸς ἐξ ὕδατος καὶ πνεύματος ἀνεγεννηθῆναι, ἀπελθὼν ἐφωτίσθη ὑπὸ Πέτρου καὶ Ἰωάννου τῶν μαθητῶν τοῦ Κυρίου. Ἀκούσαντες δὲ οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι ἠγανάκτησαν κατ' αὐτοῦ λίαν καὶ ἐσκευάσαντο ἀνελεῖν αὐτόν, καθὼς καὶ τὸν πρωτομάρτυρα Στέφανον ἀνεῖλαν· διὰ δὲ τὸν Γαμαλιὴλ τοῦτο οὐκ ἐποίησαν, ἀλλ' ἀναθεματίσαντες αὐτὸν καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ ἁρπάσαντες εἰς ὄνομα τοῦ ναοῦ τῆς πόλεως ἐξώρισαν αὐτόν, [καὶ] πληγαῖς οὐ ταῖς τυχούσαις αἰκίσαντες ἡμιθανῆ κατέλιπον αὐτόν. Ὁ δὲ Γαμαλιὴλ καὶ τοῦτον κρυφῇ προσλαβόμενος ἐν τῷ αὐτῷ χωρίῳ, ἐν ᾧ Λουκιανὸς ἐπλήρωσε τὸ πρεσβυτέριον, ἐποίησεν αὐτὸν διατρέφεσθαι καὶ ἐνδύσασθαι ἐκ τῆς αὐτοῦ οὐσίας, ἕως οὗ καὶ αὐτὸς μετ' ὀλίγον χρόνον κοιμηθεὶς ὡς ὁμολογητὴς Χριστοῦ ἐτελειώθη, καὶ ἐποίησεν αὐτὸν κατατεθῆναι πλησίον τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου· ὁ δὲ τρίτος σὺν αὐτοῖς κείμενος, οὗ τὸ ὄνομα Ἀβελβούς, ὑπάρχει νομοθέτης ὑπὲρ αὐτὸν δεύτερος τῆς τοῦ Θεοῦ Γραφῆς, ὃς [ἦν] σὺν αὐτῷ πιστεύσας τῷ τοῦ Θεοῦ κηρύγματι καὶ ἐν μιᾷ ἡμέρᾳ σὺν αὐτῷ φωτισθεὶς ἐν τῷ ἁγίῳ λουτρῷ ὑπὸ τῶν αὐτοῦ μαθητῶν.

3. Ὁ δὲ ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ἔτι μᾶλλον ὑψῶσαι βουλόμενος τὸ κέρας τοῦ Χριστοῦ αὐτοῦ, τουτέστιν τὸ κήρυγμα τοῦ Εὐαγγελίου, εὐδόκησεν διὰ τῆς ἐμῆς ἀνικανότητος ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἀποκαλύψαι τοὺς ἁγίους αὐτοῦ δούλους, λέγω δὴ

3 *πετέλεσαν* Α. — 5 αὐτὸ] *αὐτῷ* Α.—7/9 Ἰωάν. γ', 1-21. — 15 *ἐξώρησαν* Α. — 22 *ὑπάρχων* Α. — 23 προσέθηκα τὸ *ἦν*. — 26 ὁ δὲ ἀγαθὸς κτλ.] ἐντεῦθεν ἄρχεται τὸ Β, φ. 406β· πλὴν ἀλλὰ μετὰ τὴν λέξιν *οὐρανῶν* (σ. 32, 2) ἐλλείπει τῷ Β φύλλον ἕν· τοῦτο μέντοι τὸ φύλλον εὗρον ἐν τῷ 209-ῳ κώδικι τῆς λαύρας τοῦ ἁγίου Σάβα. — 28 ἐσχάτων] *ἐσχάτον* Α.

Digitized by Google

τὸν μακάριον καὶ ἔνδοξον Στέφανον τὸν πρωτοδιάκονον καὶ πρωτομάρτυρα καὶ αὐτόπτην τῆς οὐρανῶν βασιλείας, ἔτι δὲ καὶ Νικόδημον τὸν ἐν τοῖς Εὐαγγελίοις ἐπὶ ἀγαθῇ μνήμῃ μακαριζόμενον, Γαμαλιήλ τε τὸν ἐν ταῖς πράξεσι τῶν Ἀποστόλων ἐπὶ ἀγαθαῖς συμβουλίαις εὐχαριστούμενον, καὶ Ἄβιβον τὸν υἱὸν αὐτοῦ, τὸν ἐν τῇ Γραφῇ μὲν οὐκ ἐμφερόμενον, ἐν δὲ τοῖς ἀγράφοις μετὰ τῶν ἁγίων συναριθμούμενον, καθὼς καὶ ἡ δηλωθεῖσα τῇ ἐμῇ ἀναξιότητι ὅρασις ἐκ τρίτου ἐσήμανεν· ἥσπερ ἀκούσαντες συνεργήσατε ἡμῖν ἐν ταῖς ἁγίαις ὑμῶν προσευχαῖς, δοξάζοντες τὸν τὰ τοιαῦτα γνωρίζοντα ἁμαρτωλοῖς ἀνθρώποις, ὧν πρῶτός εἰμι ἐγώ.

4. Ὁ δὲ τρόπος τῆς πρώτης ὁράσεως οὗτός ἐστιν. Συνέβη μοι καθεύδοντι ἐν τῷ ἀφιερωμένῳ οἴκῳ τοῦ φωτιστηρίου, ἔνθα οἱ πυργίσκοι τῶν ἁγίων κειμηλίων ἀπόκεινται, ἡμέρας Παρασκευῆς διαφανείσης, ἥτις ἐστὶν τρίτη μηνὸς δεκεμβρίου, δεκάτης ἰνδικτιῶνος, ἐν ὑπατείᾳ Ὁνωρίου τὸ δέκατον καὶ Θεοδοσίου τὸ ἕκτον, τῶν αὐτοκρατόρων αὐγούστων, περὶ τρίτην ὥραν τῆς νυκτὸς ἔτι γρηγοροῦντι καὶ ὡς ἐν ἐκστάσει γενομένῳ τεθεᾶσθαι ἄνδρα γηραιὸν μὲν τὴν ὄψιν, μακρὸν δὲ τῇ ἡλικίᾳ, ἱεροπρεπῆ τῇ ἰδέᾳ, πωγωνιαῖον, στολὴν ἠμφιεσμένον, ἧς τὰ γαμμάτια ὑπῆρχον χρυσᾶ καὶ ἔνδον αὐτῶν σημειόχριστα, καὶ σανδάλια χρυσολώρινα ὑποδεδεμένον, καὶ ῥάβδον ἐπιφερόμενον τῇ δεξιᾷ χειρί, ἐλθόντα καὶ νύξαντά με τῇ ῥάβδῳ καὶ τὸ ὄνομά μου ἐπὶ τρίτον καλέσαντα, ἐμὲ δὲ εἰπεῖν "Τί ἐστιν, κύριε"; Ὁ δὲ λέγει· "Ἄνελθε καὶ εἰπὲ τῷ ἐπισκόπῳ Ἱεροσολύμων Ἰωάννῃ Ἕως πότε οὐκ ἀνοίγεις ἡμῖν, καὶ μάλιστα ὅτι ἐν τοῖς χρόνοις σου δεῖ ἡμᾶς ἀποκαλυφθῆναι; ἄνοιξον

4 *καὶ γαμαλιὴλ τε* B. — 5 *αὐτοῦ υἱὸν* B. — 6 *ταῖς* B. — 8 *ἐσίμανεν ἥνπερ* B. — 9 *συνεργίσαται* B || *προσευχαῖς* A, *γραφαῖς* B. — 11 Ὁ δὲ τρόπος τῆς πρώτης ὁράσεως] ἐκ τοῦ B. ἐλλείπει δὲ ταῦτα τῷ A || *οὕτως* B || *συνέβει* B. — 12 *μοι* B, *με* A || *καθεύδοντα* AB || *φωτηστηρίου* B. — 13 *ὑπόργεῖσκοι* B || *κειμιλίων* A, *κιμιλίων ἀπόκιντε* B || ἡμέρας] ἐλλείπει τῷ A. — 14 *διαφανούσης* B, *διαφανούσης* A || *ἰνδικτιόνος* B. — 15 *ὑπατία* AB || *ὀνορίου* B. — 17 *γρηγοροῦντα* AB || *γενόμενος* B, *γενόμενον* A || *γειραιὸν* B. — 18 *τῇ ὄψει* B || *ἱεροπρεπεῖ* B. — 19 *πογονιαῖον* B || *γαμάτια* B, *γαμμία* A. — 20 *ἔνδων* B || *σημιώχριστα* B, *σημεία χριστὰ* A || *χρυσολώρηνα* A, *χρυσολόρινα* B. — 22 *τρίτου* B. — 24 *ἀνύγης* B, *ἀνοίγης* A. — 25 ὅτι] ἐλλείπει τῷ B || *ἄνοιξον* A, *ὤρυξαν* B.

Digitized by Google

ἡμῖν ταχέως, ἵνα δι' ἡμῶν ἀνοίξῃ ὁ Θεὸς θύραν φιλανθρωπίας τῷ κόσμῳ, κινδυνεύοντι ὑπὸ τῶν πολλῶν ἀνομιῶν τῶν ἐν αὐτῷ γινομένων ἐφ' ἑκάστης ἡμέρας". Εἶτα φησίν· "Οὐ τοσοῦτον μέλει μοι δι' ἐμέ, ὅσον διὰ τοὺς σὺν ἐμοὶ κειμένους ἁγίους, οἵτινες πολλῆς τιμῆς καὶ δόξης ἄξιοί εἰσιν· ἅμα δὲ καὶ ὁ τόπος, ἔνθα κείμεθα, ἠμέληται". Ἐγὼ οὖν ὁ ταπεινὸς Λουκιανὸς ἠρώτησα αὐτὸν λέγων· "Σὺ γὰρ τίς εἶ, κύριε; ἢ τίνες οἱ σὺν σοί εἰσιν, δέσποτα"; Ἀποκριθεὶς δὲ εἶπέν μοι· "Ἐγὼ μέν εἰμι Γαμαλιὴλ ὁ τὸν Παῦλον ἀναθρεψάμενος καὶ τὸν νόμον διδάξας ἐν Ἱεροσολύμοις, ὁ δὲ σὺν ἐμοὶ κείμενος αὐτός ἐστιν ὁ κῦρις Στέφανος, ὁ λιθοβοληθεὶς ὑπὸ τῶν Ἰουδαίων ἐν Ἱερουσαλὴμ καὶ ποιήσας νυχθήμερον ἐρριμμένος εἰς τὰ Ἐξώπυλα τῆς πόλεως, ὡς ἐπὶ τὸν Κηδὰρ ἀπερχόμεθα, μὴ θαπτόμενος κατὰ τὴν κέλευσιν τῶν τηνικαῦτα ἀρχιερέων, διαταξαμένων καταβρωθῆναι αὐτὸν ὑπὸ τῶν ὀρνέων καὶ ὑπὸ τῶν θηρίων. Ἐγὼ δέ", φησὶν ὁ Γαμαλιήλ, "ἰδὼν τὴν ἀρετὴν τοῦ ἀνδρός, ἅμα δὲ καὶ ἐλπίζων ἕξειν μέρος μετ' αὐτοῦ ἐν τῇ ἀναστάσει, ἠγέρθην καὶ λαθραίως μετεστειλάμην ἄνδρας εὐλαβεῖς καὶ πιστοὺς ἤδη σὺν ἐμοὶ γεγονότας ἐν Χριστῷ, καὶ προτρεψάμενος αὐτοὺς παντὶ τρόπῳ συνεβούλευσα αὐτούς, εἰπών· "Ἀνέλθατε τῷ ἐμῷ κινδύνῳ· κομίσατε αὐτοῦ τὸ σῶμα καὶ κατενέγκατε εἰς τὸ ἐμὸν χωρίον τὸ ἐπ' ὀνόματί μου κληθέν, λέγω δὴ εἰς Καπαργαμαλά, ἔνθα ὁ Λουκιανὸς ἐκληρώθη πρεσβύτερος, καὶ καταθέμενοι αὐτὸν ἐν τῷ ἐμῷ μνημείῳ τελέσατε τὰ ὅσια αὐτοῦ ἐπὶ ἡμέρας τεσσαράκοντα ἐν ταύτῃ τῇ κώμῃ, ὡς ἀπὸ διαστήματος τῆς πόλεως εἴκοσι καὶ δύο σημείων, καὶ τὰ ἀναλισκόμενα ὑπὲρ τοῦ κοπετοῦ αὐτοῦ ἐκέλευσα δίδοσθαι ἐκ τῆς ἐμῆς οὐσίας. Ὁ δὲ δεύτερος, ὁ ἐν τῷ μνημείῳ κείμενος, οὗτός ἐστιν Νικόδημος, ἀνεψιὸς ἐμοῦ τοῦ Γαμαλιήλ, ὁ κατηχηθεὶς νυκτὸς ὑπὸ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὥστε

[1] *διὰ ἡμᾶς ἀνύξῃ* B. — 3 *τὸν ἐ. α. γινομένον* B. — 4 *μέλλῃ* B || μοι] ἐλλείπει τῷ B. — 12 *ἐξώπιλα* A, *ἐξώποιλα* B. — 15 *καὶ* A, *ἢ* B. — 17 *ἕξειν* A, *ἔχειν* B || *ἠγέρθην νυκτὸς* B. — 20 *κομίσαται αὐτῶν τὰ σώματα* B || *κατενέγκαται* B. — 22 *καπαργάμαλα ἔνθα σοι λουκ. ἐκληρώθης* B.—24 *αὐτοῦ λείψανα* B.— 25 *κώμῃ* A, *πόλει* B.—28 *οὕτως* B.

Digitized by Google

ἀναγεννηθῆναι ἐξ ὕδατος καὶ πνεύματος ἁγίου· ὅστις ἀπελθὼν ἐβαπτίσθη ὑπὸ Πέτρου καὶ Ἰωάννου τῶν μαθητῶν τοῦ Κυρίου· περὶ οὗ βαπτίσματος ἀκούσαντες οἱ ἀρχιερεῖς ἠγανάκτησαν κατ' αὐτοῦ, σκεψάμενοι ἀνελεῖν αὐτόν· διὰ δὲ τὴν πρὸς ἐμὲ τιμὴν εἰδότες ὅτι συγγενής μού ἐστιν, τοῦτο μὲν οὐκ ἐποίησαν, πληγαῖς δὲ οὐ ταῖς τυχούσαις περιβαλόντες αὐτὸν ἡμιθανῆ κατέλιπον, ἀναθεματίσαντες αὐτὸν καὶ ἐξορίσαντες τῆς πόλεως καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ διαρπάσαντες εἰς ὄνομα τοῦ Ἱεροῦ. Ἐγὼ τοίνυν ὁ Γαμαλιὴλ καὶ τοῦτον λάθρα συλλαβόμενος, ἔτι περιόντα, ἐξαπέστειλα εἰς αὐτὴν τὴν κώμην, παραγγείλας τῷ ἐμῷ οἰκονόμῳ διατρέφειν αὐτὸν καὶ ἀμφιάζειν τὸν χρόνον τῆς ζωῆς αὐτοῦ· ὃς καὶ μετ' ὀλίγον χρόνον ἐκοιμήθη ἰδίᾳ ἀναπαύσει. Παρεσκεύασα οὖν ἀποτεθῆναι αὐτὸν παρὰ τοὺς πόδας τοῦ ἁγίου Στεφάνου, ὡς ὁμολογητὴν τοῦ Χριστοῦ ὄντα. Ὁ δὲ τρίτος, ὁ σὺν ἐμοὶ κείμενος, οὗτός ἐστιν Ἄβιβος ὁ ἠγαπημένος γνήσιός μου υἱός, ὁ μικρότερος, ἅμα ἐμοὶ πιστεύσας τῷ τοῦ Χριστοῦ κηρύγματι καὶ σὺν ἐμοὶ βαπτισθεὶς ἐν μιᾷ ἡμέρᾳ ὑπὸ τῶν μνημονευθέντων μαθητῶν τοῦ Κυρίου, καὶ αὐτὸς νομοθέτης ὑπάρχων ἤδη ὑπὲρ ἐμὲ καὶ δεύτερος τῶν θείων Γραφῶν ἐξηγητής· ἡ δὲ σύμβιός μου Ἔδνα καὶ ὁ πρωτότοκος μου υἱὸς Ἐλεμίας οὐκ ἠνέσχοντο γενέσθαι τῆς πίστεως τοῦ Χριστοῦ, ἀλλὰ κακομαχήσαντες μεθ' ἡμῶν, ὡς εἰληφότων τὸ ἅγιον βάπτισμα, καὶ πολλὰς ἀηδίας καθ' ἡμῶν κεκινηκότες ἀπεχωρίσθησαν ἀφ' ἡμῶν, καὶ ἀπελθοντες εἰς τὴν πατρικὴν αὐτῶν κώμην Καπαρκταμὴν ἀπέθανον ἐκεῖσε κατορυγέντες, ὥστε μὴ καταξιωθῆναι αὐτοὺς σὺν ἡμῖν ταφῆναι ἐν τῷ ἰδίῳ ἡμῶν μνημείῳ. "Ὅταν δὲ τὸν τόπον", φησίν, "εὕρῃς, ἡμᾶς ἐκεῖσε ὁμοίως εὑρίσκεις καὶ τὴν ἡτοιμασμένην θήκην αὐτῇ τε καὶ τῷ υἱῷ αὐτῆς ἀργὴν καὶ σχολάζουσαν". Ἐξ ὧν καὶ οὕτως εὕρομεν. Ἐγὼ μὲν οὖν ὁ ταπεινὸς Λουκιανὸς πάλιν ἠρώτησα αὐτὸν λέγων· "Κύριε, ποῦ ὑμᾶς εὑρίσκομεν, ἢ ἐν ποίῳ τόπῳ ἐστέ"; Ὁ δὲ απο-

7 κῶδ. ἐξωρήσαντες B. — 9 φησὶν ὁ γαμαλιὴλ B.—12 ἀναπαύσῃ. παρασκεύασα B.—16 κηρύγματι A, ὄνομα B || ἐμοὶ A, αὐτῷ B. — 22 ἀϊδίας A, ἀειδίας B.— 27 αὐτήν τε καὶ τὸ B. — 28 ηὕραμεν B. — 30 εὑρίσκωμεν A || ἐσταὶ B.

κριθεὶς λέγει μοι· "Ζήτησον ἡμᾶς ἐν τῷ ἐμῷ χωρίῳ Δελεγαβριά, ἤτοι Δαματαλία, ὅπερ ἐστὶ μεθερμηνευόμενον τῶν τοῦ Θεοῦ ἀνδρῶν, ἤτοι τῶν ἀνδραγάθων".

5. Καὶ οὕτως ἐγὼ ὁ Λουκιανὸς διεγερθεὶς εὐχαρίστησα τῷ Κυρίῳ· δεηθεὶς δὲ τὸ ἐπίλοιπον τῆς νυκτὸς εἶπον· "Κύριε, δέσποτα τῶν αἰώνων, εἰ παρὰ τῆς σῆς εὐσπλαγχνίας ἀπεστάλη μοι ἡ ὅρασις αὕτη, κέλευσον ἵνα δεύτερον καὶ τρίτον μοι φανερωθῇ". Καὶ τότε ἠρξάμην νηστεύειν καὶ ξηροφαγεῖν, καθὼς ἐν ταῖς νηστείαις, μηδενὶ ἐκφαίνων τὸ ὅραμα· τῇ δὲ ἄλλῃ Παρασκευῇ κατ' αὐτὴν τὴν ὥραν παρέστη μοι ὁ αὐτὸς κῦρις Γαμαλιὴλ τῷ αὐτῷ χρήματι καὶ τῇ ἰδέᾳ, λέγων οὕτως· "Διατί ἠμέλησας καὶ οὐκ ἀνῆλθες καὶ ἐξηγήσω τῷ ἐπισκόπῳ Ἰωάννῃ τὰ λεχθέντα σοι; ἢ οὐκ οἶδας πόση ἀβροχία καὶ οἵα θλῖψις κατέχει τὸν κόσμον καὶ οὐκ ἀνῆλθες καὶ εἶπες αὐτῷ, ἵνα ἡμῖν ἀνοίξῃ, ὅπως ὁ Κύριος δι' ἡμῶν ἐλεήσῃ τὸν κόσμον αὐτοῦ"; Ἐγὼ δὲ εἶπον· "Σύγγνωθί μοι κύριε, ἀπὸ μιᾶς ὁράσεως μὴ δυνηθέντι τοιοῦτον ἀρχιερέα Θεοῦ κινῆσαι καὶ τοσοῦτον λαὸν θορυβῆσαι· ἀκούω γὰρ τῆς θείας Γραφῆς πανταχοῦ λεγούσης: ἐπὶ δυσὶν ἢ τρισὶν μάρτυσιν σταθήσεται πᾶν ῥῆμα. Ἀλλὰ τοῦτο ἐδεήθην τοῦ Κυρίου, ὥστε τὴν ὑπ' αὐτοῦ ὅρασιν ἀποσταλεῖσάν μοι δισσεῦσαι καὶ τρισσεῦσαι. Λοιπὸν οὖν, κύριε, ἐχαροποίησάς με ἐν τῇ δευτέρᾳ σου παρουσίᾳ· ἐὰν δὲ καὶ τρισσεύσῃς, καλῶς ποιήσας". Ὁ δὲ τοιαύτην φωνὴν ἀφῆκεν, τὴν χεῖρα κατασείσας, λέγων "Συγγνώμην"! Ὡς δὲ ἐκ τῆς θύρας ἐξῄει, πάλιν ἐπανῆλθε λέγων· "Πρεσβύτερε, ἄλλο τι ἔχω σοι εἰπεῖν". Κἀγὼ εἶπον· "Λάλει, κύριε". Ὁ δὲ λέγει· "Οἶδα, ὅτι ἀμφιβάλλεις ἐν τῇ διανοίᾳ σου, ὡς ὅτι Ἐὰν εὕρω αὐτούς, ἄρα τοὺς τέσσαρας ἔχω εὑρεῖν συγκειμένους ἐν μιᾷ θήκῃ, καὶ πῶς δύναμαι εἰδέναι ποῖά εἰσιν τὰ λείψανα τοῦ ἁγίου Στεφάνου; Οὐ ταῦτα", φησίν, "ἀμφιβάλλεις"; Λέγω αὐτῷ "Ναί,

2 *δεματαλία* B. — 5 *εἰπών* B. — 7 *ταύτῃ* A. — 16 *μιᾶς* A, *πρώτης* B. — 17 θεοῦ] ἐλλείπει τῷ B. — 18 *γραφῆς* A, *φωνῆς* B || Κορινθ. 2, ιγ', 1. — 21 *κύριέ μου* B || *με* A, *μοι* B. — 24 *ἐξίει* AB || *λέγων μοι* B. 27 *αὐτούς, τέσσαρις ἔ. εὑρεῖν ἐν μ. θ. συγκειμένους* B.

χύρις". Ὁ δὲ λέγει μοι· "Οὐχ, ἐσμὲν ἐν μιᾷ θήκῃ, καθὼς σὺ ὑπανοεῖς, ἀλλ' ἕκαστος ἡμῶν ἰδίαν θήκην ἔχει φανεράν". Ἐγὼ δὲ εἶπον· "Πῶς, κύριε"; Ὁ δὲ λέγει μοι· "Θές σου τὸν νοῦν καὶ δείκνυμί σοι". Καὶ ταῦτα εἰπών, ἐκτείνας τὴν χεῖρα αὐτοῦ εἰς τὸν ἀέρα, εὑρέθη βαστάζων καλάθους τέσσαρας, τρεῖς μὲν χρυσέους, ἕνα δὲ ἀργύρεον, καὶ οἱ μὲν χρυσέοι δύο κάλαθοι ἔγεμον ῥόδων λευκῶν, ὁ δὲ ἄλλος ῥόδων πυρρῶν ὡς αἷμα, ὁ δὲ ἀργύρεος κρόκων εὐωδεστάτων· συνεκόλλητο δὲ ὁ ἀργυροῦς κάλαθος ἑνὶ τῶν χρυσέων, καὶ ἦσαν ὡς δίδυμοι, φαινόμενοι τῶν ἄλλων καλάθων ὑψηλότεροι. Ἔστησε δὲ τοὺς καλάθους τὸν μὲν τῶν πυρρῶν ῥόδων ἐκ δεξιῶν μου, πρὸς ἀνατολάς, τὸν δὲ τῶν λευκῶν πρὸς βορρᾶν, τοὺς δὲ ἄλλους, ὡς διδύμους, ποιήσας κρεμαστοὺς ἀνέδειξεν ἐπάνω τοῦ βορεινοῦ καλάθου, ὡς ἀπὸ πήχεων τριῶν, λέγων οὕτως· "Εἶδες τοὺς καλάθους τούτους"; Λέγω αὐτῷ "Ναί, κύριε". Ὁ δὲ φησίν· "Οἱ κάλαθοι οὗτοι αἱ θῆκαι ἡμῶν εἰσιν καὶ τὰ ῥόδα τὰ λείψανα ἡμῶν, καὶ ὁ μὲν κάλαθος ὁ τὰ πυρρὰ ῥόδα ἔχων οὗτός ἐστιν ὁ κῦρις Στέφανος, ὁ δὲ ἄντικρος τοῦ προσώπου σου ὁ κῦρις Νικόδημός ἐστιν, ὁ τοῦ Κυρίου ὁμολογητής· ἐγὼ δὲ καὶ ὁ υἱός μου οἱ τὸν κρεμαστὸν τόπον ἔχοντες". Πάλιν οὖν ἐγὼ ἀποτολμήσας εἶπον· "Ἵνα τί, κύριέ μου, ὁ μὲν εἷς κάλαθος χρυσοῦς, ὁ δὲ ἕτερος ἀργυροῦς; καὶ ἵνα τί ὁ μὲν εἷς γέμει ῥόδων, ὁ δὲ ἕτερος κρόκων"; Ὁ δὲ ἀποκριθεὶς εἶπέν μοι· "Ὁ ἀργυροῦς κάλαθός ἐστιν τοῦ υἱοῦ μου, ἐπειδὴ καθαρὸς τῷ σώματι ἦν καὶ λαμπρὸς τῇ ψυχῇ, ὥσπερ ὁ ἄργυρος, ἐν τῷ ναῷ τοῦ Θεοῦ τεθραμμένος, γυναῖκα μὴ ὁρῶν, καὶ διὰ τοῦτο κρόκων γέμει, εὐωδίας πεπληρωμένων".

6. Εἶθ' οὕτως ἐξαναστὰς ηὐχαρίστησα τῷ ἁγίῳ καὶ πανελεήμονι Θεῷ, προσκαρτερῶν τῇ νηστείᾳ, ὥστε δὴ αὐτῆς τῆς τρίτης ὁράσεως καταξιωθῆναι, καὶ τῇ μετὰ ταύτην ἄλλῃ Παρασκευῇ

7 *ῥώδων* A. — 8 *κρόκον εὐωδέστατον* AB. — 10 *τοῦ καλάθου ἔστιν, τῶν μὲν τῶν πυρῶν* B. — 11 *πρὸς* A, *κατὰ* B. — 13 *βορινοῦ* AB || *πηχέων* A, *πηχαίων* B || *ἴδες* A. — 19 *ἐπέχοντες* B. — 20/21 *μὲν χρυσέω, κάλαθος γέμει ῥόδων* B. — 22 *κρόκον* AB || *εἶπεν* A, *λέγει* B. — 25 *κρόκον γέμη ε. πεπληρωμένον* AB. — 28 *δὴ αὐτῆς* A, *διὰ τῆς* B. — 29 *καίτοι μεταταῦτα· τῇ ἄλλει* B.

Digitized by Google

τῇ αὐτῇ ὥρᾳ, κατὰ τὸ πρότερον, παρέστη μοι ὁ κῦρις Γαμαλιὴλ ὁ θαυμάσιος, ἀπειλῶν καὶ ἐμβριμώμενος καὶ λέγων· "Ἵνα τί ἐρραθύμησας ἕως τούτου καὶ οὐκ ἀνῆλθες καὶ εἶπες τῷ ἐπισκόπῳ τὰς ὁράσεις; Πίστευσον, ἐὰν μὴ ἀπέλθῃς, ἔχεις παθεῖν ὃ οὐ προσδοκᾷς". Ἐγὼ δὲ ὁ ταπεινὸς Λουκιανὸς εἶπον· "Κύριε, ὅτι δεηθεὶς τοῦ Κυρίου ἐξεδεχόμην τὴν τρίτην σου παρουσίαν, ἵνα οὕτως πληροφορηθεὶς ἀόκνως κηρύξω τὴν ἀποκάλυψιν ὑμῶν". Αὐτοῦ δὲ ἔτι ἑστῶτος καὶ ἐπαπειλοῦντός μοι εἶδον ἐμαυτὸν ὡς ἁρπαγέντα ἐν τῇ πόλει καὶ πάσας τὰς ὀπτασίας ἐξηγούμενον τῷ αὐτῷ ἐπισκόπῳ· ὃς ἐν αὐτῇ τῇ ὁράσει λέγει μοι· "Εἰ ταῦτα οὕτως ἑώρακας ἐν τοῖς χρόνοις ἡμῶν, ἐμὲ δεῖ λαβεῖν τὸν βοῦν τὸν μέγαν, τὸν ἀροτῆρα, τὸν ἁμαξικόν, τὸν ἐργάτην, καὶ ἔσται σοι τὸ χωρίον μετὰ τῶν ἐνόντων καρπῶν". Ἀπεκρίθην δὲ ἐγὼ ἐν αὐτῇ τῇ ὁράσει· "Ἵνα τί μοι τὸ χωρίον, κύριε, μὴ ἔχοντι τὸν βοῦν τὸν κάμνοντα"; Ὁ δὲ λέγει μοι· "Οὕτως ἔδοξεν, ἐπειδὴ ἡ πόλις ἡμῶν δι' ἁμαξίων ὑπηρετεῖται, λείπει δὲ τῷ μεγάλῳ ἁμαξίῳ εἷς βοῦς, λέγεται δὲ τρέφεσθαι παρὰ σοί. Δίκαιόν ἐστιν μᾶλλον τὴν πόλιν αὐτὸν ἔχειν· ἀρκοῦσίν σοι οἱ δύο βόες μετὰ τοῦ δαμαλίου καὶ ἡ κατασκευὴ τοῦ μεγάλου βοός, πρὸς καλλιεργίαν τοῦ χωρίου". Καὶ ταῦτα εἰπόντος τοῦ ἐπισκόπου ἐν τῇ ὁράσει, εἶδον τὸν κῦριν Γαμαλιὴλ ἐλθόντα καὶ κατασχόντα μου τῆς χειρός, καὶ ἀπενέγκαντά με πάλιν εἰς τὴν αὐτὴν κώμην καὶ λέγοντά μοι· "Βούλει ἡμᾶς εὑρεῖν; ζήτησον ἐν τῷ χωρίῳ τῷ λεγομένῳ συριστὶ Δελεγαβριά, ἤτοι Δαματαλιὰ ἀνδρῶν, ἤτοι τῶν Ἀνδραγάθων".

7. Καὶ οὕτως τὸ τρίτον ἐξυπνισθεὶς καὶ ἐρωτήσας ποῖόν ἐστι

1 *παρέστι* A || *κῦρις* A, *αὐτὸς* B. — 2 *ἱνατί ἐραθύμησας* A || *ἂν ἦλθες* AB. — 6 *πληροφορηθῶ* A. — 7 *καὶ αὐτοῦ* B. — 8 *ἴδων* A. — 9 *ἐξηγησάμενος* B. — 11 δεῖ] *δὴ* AB. — 13 *ἐνόντων* A, *ὄντων* B. — 13/14 *ἀπεκρίθη δὲ καὶ εἶπεν· τί δε ἔστιν μοι τὸ χ. κ., ἂν μὴ ἔχω* B. — 15 *ἔδοξεν* A, *ἐστιν* B. — 17 *λέγηται* A, *λέγεις δὲ αὐτὸν* B || *σοῦ* B || *ἡ πόλις* B. — 18 *δύο* A, *ἄλλοι* B || *δαμ. τοῦ ἄλλου τὴν κατασκευὴν* B. — 19 *καλλιεργείαν* AB. — 20 *εἰπὼν ὁ ἐπίσκ. εἶδεν τὸν ἅγιον στέφανον* B || *ἴδων* A. — 21 *κατ. αὐτοῦ τὴν χεῖρα* B. — 22 *με* A, *αὐτὸν* B || *λέγοντά μοι* A, *λέγει αὐτὸ ὁ ἅγιος στέφανος, εἰ* B. — 23/24 *ζήτ. ἡμᾶς* B || *σηριστὴ* A, *συρ. λαγαγαβραὰμ ὅπερ ἑρμηνεύεται ἀνώριον. καὶ οὕτως* B.

Digitized by Google

τὸ χωρίον, μηδενὶ δηλῶν τὸ ὅραμα, ἀπῆλθον καθ' ἑαυτὸν στοχασόμενος, καὶ ἰδοὺ ὁρῶ τὸ χωρίον παμμεγεθές, ἰσόπεδον, εὐθαλέστατον, καὶ μέσον αὐτοῦ βουνὸν μέγαν χαλίκων, ἐφ' ὃν ἐνόμιζον εὑρίσκειν αὐτούς· καὶ τότε ἀνῆλθον εἰς τὴν πόλιν, γνώμης γενόμενος πρῶτον τῶν ἀξιοπίστων πρεσβυτέρων, ἵνα συμβουλεύσωσίν μοι τί ὀφείλω πρᾶξαι· οἳ δὲ εἶπον πρός με· "Ὁρᾷς τοὺς συνεχεῖς σεισμούς, τοὺς καθ' ἡμέραν γινομένους, καὶ τὴν τοσαύτην ἀβροχίαν, καὶ βούλει κρύψαι τὴν ἀποκαλυφθεῖσάν σοι ὅρασιν, πρὸς φιλανθρωπίαν τοῦ κόσμου γεγενημένην; Μὴ ἀναμείνῃς τοῦ εἰπεῖν τῷ ἐπισκόπῳ Ἰωάννῃ". Καὶ παραχρῆμα αὐτὸν προσλαβόντες εἰσῆλθον μηνύοντες τῷ ἐπισκόπῳ περὶ ἐμοῦ· ὅστις μεταστειλάμενός με εἰς τὸ ἴδιον ταμιεῖον ἐπυνθάνετο παρ' ἐμοῦ, εἰ ταῦτα οὕτως ἔχει. Ἐγὼ δὲ ἐξηγησάμην αὐτῷ τὴν πρώτην καὶ τὴν δευτέραν ὅρασιν ἄχρι τοῦ μέσου καὶ τῆς τρίτης ὁράσεως· ἐφύλασσον γὰρ τὸν διάλογον τοῦ βοός, ἀναμένων ἀκοῦσαί τι παρ' αὐτοῦ. Ὁ δὲ εὐθέως τοιοῦτο πρόφθεγμα ἀφῆκε λέγων· "Εὐλογητὸς Κύριος, εἰ ὅλως τοιαῦτα ἐθεάσω, ἀγαπητέ, καὶ ἐν τοῖς χρόνοις ἡμῶν ηὐδόκησεν ὁ Θεὸς τοὺς ἁγίους αὐτοῦ ἀποκαλύψαι ἡμῖν· ἡμᾶς δὲ δεῖ λαβεῖν ἐκεῖθεν τὰ λείψανα τοῦ ἁγίου Στεφάνου τοῦ πρωτοδιακόνου καὶ πρωτομάρτυρος Χριστοῦ, τοῦ ἀθλητοῦ τῆς εὐσεβείας καὶ αὐτόπτου τῆς τῶν οὐρανῶν βασιλείας". Καὶ μετὰ ταῦτα ἐξηγησάμην αὐτῷ τὸ λοιπὸν τῆς ὁράσεως, μαθὼν ὡς τὰ μέλλοντα ἤδη προεμηνύθην, καὶ οὕτως χαίρων ἐπὶ τὴν τοιαύτην ἀγγελίαν ἐπέτρεψέν μοι

2 *στοχαζόμενος καὶ ἰδὼν παμμέγεθος* B || παμμεγεθὲς] οὕτως ἐν τῷ A.—3 *κατὰ μέσον* B || *βουνὸς μέγας ἐνόμιζεν* B.—4 *τότε ἀνῆλθον* A, *οὕτως ἀνελθὼν* B || *πόλ. ἐγένετο πρὸς τοὺς ἀξιοπίστους πρεσβυτέρους* B. — 5/6 *συμβ. τὸ τί ὀφείλει* B. — 6 *με* A, *αὐτὸν* B || συνεχεῖς] ἐλλείπει τῷ B. — 7 *καθ' ὥραν* B. — 9 γεγενημένην] ἐλλείπει τῷ B. — 10 τῷ ἐπ. Ἰωάννῃ] ἐλλείπει ταῦτα τῷ A || *καὶ τότε αὐτὸν προσλαβόντες ἦλθον καὶ ἐμήνυσαν* B. — 11 *περὶ αὐτοῦ* B || με] *αὐτὸν* B. — 12 ἐμοῦ] *αὐτοῦ* B. — 13 *καὶ οὕτως ἐξηγήσατω αὐτὸν* B. — 14 ἄχρι - ὁράσεως] ἐλλείπει ταῦτα τῷ B || ἐφύλασσον γὰρ] *φυλάξας* B. — 18 Θεὸς] *κύριος* B || *ἀποκ. ἡμᾶς. δεῖ* A, *ἀποκ. ἡμῖν. ἐμὲ δὲ* B. — 19 *τὸ λείψανον* B. — 20 *ἀληθινοῦ ἀθλητοῦ* B. — 21 *τῆς οὐρανίου* B || καὶ μετὰ - - προεμηνύθην] ἐλλείπει ταῦτα τῷ B. — 23 *χαίρειν* A, *χαιρόμενος* B || *ἐπέστρεψεν* A, *ἐπέτρ. αὐτὸν κατελθεῖν καὶ* B.

Digitized by Google

κατελθόντι ὀρύξαι ἐν τῷ βουνῷ καί, ἐπὰν εὕρω, φρουρῆσαι τὸν τόπον αὐτὸν δι' ἑαυτοῦ, δηλῶσαι δὲ διά τινος πιστοῦ γραμματοφόρου.

8. Ἐγὼ δὲ τὴν τοιαύτην παραγγελίαν λαβών, ὁρμήσας εἰς τὴν κώμην ἔβαλον κήρυκας, ὥστε πάντας ὀρθρίσαι ἐπὶ τὴν τοῦ βουνοῦ σκαφήν· ἐν αὐτῇ δὲ τῇ νυκτὶ φαίνεταί μοι ὁ κῦρις Γαμαλιὴλ λέγων· "Πρεσβύτερε, μὴ θελήσῃς εἰς τὸν βουνὸν καμεῖν· οὐ γάρ ἐσμεν ἐκεῖ, ἀλλὰ μόνον ὁ βουνὸς ἐτέθη ἐπὶ μαρτυρίᾳ τοῦ ἐκεῖσε συντελεσθέντος ἡμῖν κοπετοῦ· ἀλλὰ πρὸς βορρᾶν τοῦ χωρίου ζήτησον ἡμᾶς, ἀπὸ τῆς ὁδοῦ καταμετρήσας ἕως τοῦ βουνοῦ πήχεις τετρακοσίους ἑβδομήκοντα πέντε. Ὁμοίως δὲ καὶ ἄλλῳ τινὶ ἀπεκαλύφθη νεωτέρῳ, Μεγεθίῳ λεγομένῳ, ἐν αὐτῇ τῇ νυκτὶ ὁ αὐτὸς κῦρις Γαμαλιήλ, λέγων· "Μὴ ματαίως μοχθήσῃς ζητῶν ἡμᾶς ἐν τῷ βουνῷ· οὐ γάρ ἐσμεν ἐκεῖ, ἀλλὰ πρὸς βορρᾶν τοῦ χωρίου", ὑποδείξας αὐτῷ τὸν τόπον, ὃν καὶ τῇ ἐμῇ σμικρότητι ὑπέδειξεν, [ἔχοντα] κλίνας χρυσᾶς τρεῖς, δύο μὲν χαμαί, μίαν δὲ ὑψηλήν· ἡ δὲ μία δύο ἄνδρας εἶχεν, ἕνα πρεσβύτην καὶ ἕνα νεώτερον. Ἦσαν δὲ αἱ στρωμναὶ οὕτως· ἡ μὲν μία ὑψηλή, ἡ δὲ ἄλλη ὑποκάτω αὐτῆς ἦν, ὡς ἀπὸ λαμπρᾶς ἐσθῆτος ἐστρωμένη καὶ ὡς νεοφωτίστων ὄντων τῶν ἐν αὐτῇ ἀνακειμένων, ἡ δὲ ἄλλη ὑπὸ χρυσοῦφων καὶ βασιλικῶν κεκοσμημένη. Ὀρθρίσαντες οὖν ἠβουλήθημεν εἰς τὸν βουνὸν ἀπελθεῖν, ὁ δὲ μονάζων διεκώλυεν λέγων· "Τάδε καὶ τάδε καὶ τάδε ἐν ὁράματι παρηγγέλθην εἰπεῖν σοι σήμερον". Ἐγὼ δὲ ἀκούσας ἔγνων, ὡς ἀληθὴς αὐτοῦ ἐστιν ἡ ὅρασις· ὅμως δὲ πρῶτον εἰς τὸν βουνὸν ὡρμήσαμεν, καὶ ἕως τρίτης ὥρας

1 *εἰς τὸν βουνὸν* B || *εὕρεις φρούρισον αὐτοὺς δι' ἑαυτοῦ. δήλωσον δὲ διά τινος γράμματα φέροντα* B || *αὐτὸν φρουρήσω* A. — 4 *ὡρμήσας* A, *καὶ οὕτως ὅρμησεν* B. — 5 *ἔβαλλον* A, *λαβὼν* B || *ὀρθρίσαντας ἐπὶ τὸν βουνόν· αὐτῇ δ. τ. ν. παραφαίνεται αὐτῷ ὁ ἅγιος Στέφανος, καὶ λέγει αὐτῷ* B. — 7 *θελήσεις* A. — 8 *ἐσμὲν* A, *εἰμὶ* B || *εἰς μαρτύριον* B. — 10 ἕως] *εἰς* A, *καὶ ἀπὸ* B. — 11 *τετρακοσίους* A, *δέκα πέντε* B || ἑβδομήκοντα - κεκοσμημένη] ἐλλείπει ταῦτα τῷ B. — 16 προσέθηκα τὸ *ἔχοντα*. — 18 *στρομναὶ* A. — 21 ὀρθρ. οὖν] *ὁρμίσαντες δὲ* B. — 22 ἀπελθεῖν] *ἐξελθεῖν· μονάζον δέ τις διεκόλυσεν ἡμᾶς* B. — 23 *τάδε καὶ τάδε προσέταττεν ἐν ὁράσει εἰπεῖν σοι· ἐγὼ* B. — 24 *ὡς* A, *ὅτι* B. — 25 *ὅμως* B, *ὁμοίως* A || *ὅρμησεν* B.

Digitized by Google

ὀρύξαντες εὕρομεν στήλην μίαν μονόλιθον, ἑβραϊκοῖς γεγραμμένην στοιχείοις. Ἑβραῖον δέ τινα μετεστειλάμην, ὅστις ἀναγνοὺς τὰ γράμματα λέγει· "Ἡ γραφὴ τοιαῦτα διαγορεύει· Τοῦτο τὸ χωρίον κοπετοῦ δίκαιον". Καὶ οὕτως ἀφέντες παρεγενόμεθα, ἔνθα αὕτη τῇ νυκτὶ ὤφθη ὁ κῦρις Γαμαλιήλ, καὶ ὀρύξαντες πάντα τὸν τόπον ηὕραμεν κατὰ τὰ ὁραθέντα ἡμῖν καὶ τὸ ἐπίγραμμα αὐτῶν, ἔχον οὕτως· "Χιλιήλ, Νασόμ, Γαμαλιὴλ καὶ Ἄβιβος ὁ υἱὸς αὐτοῦ"· ἑρμηνεύεται δὲ ὁ Χιλιὴλ ἐκ τῆς συριατικῆς Στέφανος, καὶ ὁ Νασὸμ Νικόδημος. Καὶ ταύτην δὲ τὴν ὥραν σεισμὸς ἐγεγόνει μέγας, ὥστε τὰ λείψανα τοῦ ἁγίου Στεφάνου σκιρτῆσαι καὶ ἀναθάλαι· εὐωδία δὲ μεγάλη ἐξελήλυθεν ἐκ τῆς θήκης αὐτοῦ, ἥτις ἡμᾶς εἰς ὕπνον πάντας ἐφείλκυσεν, [ὡς] καὶ ἕως δεκάτου σημείου ἐκ περικύκλου φθάσαι. Ἰάσεις δὲ καὶ θεραπεῖαι γεγόνασιν ἐν αὐτῇ τῇ ἡμέρᾳ ἐν τοῖς παρατυχοῦσιν, καὶ ἐθεραπεύθησαν ψυχαὶ ἑβδομήκοντα τρεῖς ἐκ διαφόρων παθημάτων καὶ ἀκαθάρτων πνευμάτων, ἄλλοι ἀπὸ συρίγγων, ἄλλοι ἀπὸ χυρεάδων, οἱ δὲ ἀπὸ αἱμορροίας, ἄλλοι ἀπὸ καρκίνων καὶ διαφόρων παθῶν, ἀποκρύφων τε καὶ φανερῶν.

9. Τότε παραχρῆμα ἐδήλωσα τῷ ἐπισκόπῳ, ὃς ἐξ αὐτῆς ἧκεν μετὰ καὶ ἑτέρων δύο ἐπισκόπων· οἵτινες εἰσελθόντες, Ἰωάννης ὁ Ἱεροσολύμων καὶ Εὐτόνιος ὁ Σεβαστῆς καὶ Ἐλευθέριος ὁ Ἱερι-

1 *εὕρωμεν* B || *μονόλιθον* A, *ληθίνην* B || *στοιχείοις* A, *γράμμασιν* B. — 2 μετεστειλάμην] *μεταστειλάμενος* A, *μεταστειλάμενοι ἐποίησαν ἀναγνῶσαι τὸ γράμμα. καὶ λέγει ἡμῖν ἡ γραφὴ αὕτη τὸ χωρίον τοῦτο οὕτως ὀνομάζετε κοπετὸς δικαίων θρῆνος ἁγίων, καὶ οὕτως ἐάσαντες ἀπήλθομεν* B. — 5 *κῦρις Γαμαλιὴλ* A, *ὁ ἅγιος Στέφανος* B. — 6 *αὐτῶν* A, *αὐτοῦ* B. — 7 *ἔχον* A, *ηὕραμεν* B || *χιλιήλ· ἀβελβοὺς δὲ υἱός. ἑρμηνεύετε ὁ χιλιὴλ ἀπὸ τῆς συριακῆς ὁ πρωτομάρτυς χριστοῦ* B. — 9 *ταύτην δὲ τὴν ὥραν* A, *ἐν αὐτῇ δὲ τῇ νυκτὶ* B || *ἐγεγόνει* A, *ὤφθη* B. — 10 *ὥστε σαλευθῆναι πάντα τὰ θεμέλια τῆς γῆς καὶ τὸ λείψανον τ. ἁ. στ. σκιρτήσαν καὶ ἀναθάλλειν* B.—12 *ἥτις ἡμᾶς* A, *ὥστε εἰς ὕπ. ἡμᾶς πάντας ἀφελκυσθῆναι. ἄγγελοι δὲ ὑμνῶδουν· δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία, ὅτι ἀπεκάλυψας τὸ λείψανον τοῦ ἁγίου στεφάνου τοῦ πρωτομάρτυρος τοῖς ἀνθρώποις. καὶ ἕως σημείων δέκα περικύκλω φθάσαι καὶ εἰς πάντα τὸν λαόν* B || *ἐφέλκυσεν* A. — 14 *παρατυχ. ὄχλοις* B || καὶ ἐθεραπεύθησαν - - παραχρῆμα] ἐλλείπει ταῦτα τῷ B. — 19 *καὶ οὕτως ἐδήλωσαν τῷ ἐπ. καὶ ἐπανῆλθεν μετὰ δύο ἐπισκόπους, καὶ θεασάμενοι ἠγαλλιάσαντο καὶ ἐκέλευσαν ἐνεχθῆναι τὸ λείψανον τοῦ ἁγίου στεφ. ἐν Ἱεροσολύμοις ἐν τῇ ἁγία σιών* B.

Digitized by Google

χούντων, ἀμφότεροι ἐπίσκοποι μεταξὺ πάντων τῶν κληρικῶν, ἀνέλαβον τὰ ἑπτὰ λείψανα τοῦ ἁγίου Στεφάνου, ἀποκομίσαντες ἐν τῷ διακονικῷ τῆς ἁγίας Σιών, συνθεμένου τὸ μαρτύριον κτίζειν Ἀλεξάνδρου τοῦ συγκλητικοῦ. Κτίζων δὲ τὸ αὐτὸ μαρτύριον Ἀλέξανδρος ὁ συγκλητικός, πολλὰ ἐδεήθη τοῦ ἐπισκόπου Ἰωάννου, ἵνα κατατεθῇ τὸ λείψανον τοῦ ἁγίου Στεφάνου. Τότε ὁ ἐπίσκοπος κατέθετο τὸ γλωσσόκομον, καὶ τὸν τίτλον ἡλώσαντες ἔξωθεν ἀπέθεντο τὸν ἅγιον Στέφανον τὸν πρωτομάρτυρα τοῦ Χριστοῦ μετὰ πολλῆς ἀσφαλείας μηνὶ δεκεμβρίῳ τεσσαρεσκαιδεκάτῃ, ἰνδικτιῶνος πέμπτης, [ἐπὶ] ὑπατείας τοῦ δεσπότου ἡμῶν Κωνσταντίνου, τὸ δέκατον αὐτοκράτορος αὐγούστου· καὶ μετὰ πέντε ἔτη ἀρρωστίᾳ μεταπεσὼν Ἀλέξανδρος ὁ συγκλητικός, διαθήκην διαθέμενος εἰς τὴν ἐκκλησίαν καὶ εἰς τὴν ἑαυτοῦ σύμβιον καὶ εἰς τοὺς πτωχούς, ἐνώρκισε λέγων τὸν Θεὸν ἡμῖν· "Ἐὰν ἀποθάνω, ποιήσατε γλωσσόκομον περσεϊνὸν καὶ θέτε με πλησίον τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου, ἐπειδὴ τὸν οἶκον ἐγὼ ᾠκοδόμησα ἐκ τῆς ἐμῆς οὐσίας". Καὶ τοῦτο εἰπὼν ἐκοιμήθη, τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ παρὼν ὁ ἐπίσκοπος ἅμα τῷ πλήθει τοῦ λαοῦ συνεκόμισεν καὶ αὐτὸν καὶ ἀπέθετο πλησίον τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου.

10. Μετὰ δὲ ἔτη ὀκτὼ ἡ γυνὴ Ἀλεξάνδρου τοῦ συγκλητικοῦ ἐνθυμηθεῖσα τοῦ ἀνδρὸς αὐτῆς τὸ λείψανον ἀπαγαγεῖν εἰς τὸ Βυζάντιον, εἰς τὸ ἴδιον κτῆμα, καὶ τοῦτο ποιήσασα, μετακαλεσαμένη Κύριλλον τὸν ἐπίσκοπον Ἱεροσολύμων καὶ [τῆς] γνώμης αὐτοῦ γενομένη, εἶπεν ὅτι "Τοῦ ἀνδρός μου τὸ λείψανον χρή με ἀπαγαγεῖν εἰς τὸ Βυζάντιον, εἰς τὸ ἐμὸν κτῆμα". Ὁ δὲ ἐπίσκοπος Κύριλλος εἶπεν· "Οὐ δύναμαι τοῦτο ποιῆσαι καὶ τὸν λαὸν θορυ-

4/5 *μαρτ. πολλὰ δεηθεις.* B. — 6 *ἁγίου* A, *πρωτομάρτυρος* B. — 7 *τίτ. καὶ ἔξωθεν* B. — 9 *ὑπατείας* A, *ἐν ὑπατίᾳ* B. — 10 αὐτοκ. αὐγούστου] ἐλλείπει ταῦτα τῷ B. — 11 *ἔτη πέντε* B. — 13 *καὶ εἰς τοὺς πτωχοὺς καὶ εἰς τὴν ἑ. σύμβιον* B. — 14 *ἡμῖν τὸν θεόν* B ‖ *περσέϊνον* B. — 15 *πλησίον* A, *ἐγγὺς τοῦ λειψάνου* B. — 18 *αὐτὸν ἐγγὺς τοῦ ἁγίου* B. — 20 *γυνὴ αὐτοῦ ἐνθυμ. μόνη ἐν ἑαυτῇ καὶ καλὸν ἡγησαμένη τὸ λείψ. ἐπαγαγεῖν ἐν Κωνσταντινουπόλει* B. — 23 *τὸν ἐπίσκοπον Κύριλλον τὸν ἐν Ἱεροσολύμοις, γνώμης γενομένη αὐτοῦ εἶπεν* B. — 24 *εἶπα* A ‖ *χρῄμαι* B. — 25 *εἰς Κωνσταντινούπολιν* B. — 26 *οὐ δύνη.*

Digitized by Google

βῆσαι". Ἀκούσασα δὲ ἡ ἐλευθέρα εἶπεν τῷ ἐπισκόπῳ· "Οὐ θέλεις δοῦναί μοι τοῦ ἀνδρός μου τὸ λείψανον"; Ὁ δὲ ἐπίσκοπος εἶπεν "Οὔ". Τότε ἡ ἐλευθέρα κλαίουσα ἀπῆλθεν εἰς τὸν οἶκον αὐτῆς, καὶ ἀπέστειλεν γράμματα πρὸς τὸν ἑαυτῆς πατέρα, γράψασά οὕτως· "Ἡ γνησία σου θυγάτηρ Ἰουλιανὴ τῷ ἐμῷ πατρὶ ἐν Κυρίῳ χαίρειν. Τὰς προσούσας τιμὰς προσάγω σοι παρακαλοῦσα ὑποδέξασθαι κἀμοὶ παρασχεῖν, οὐ λόγων κολακείᾳ πεπληρωμένας, ἀλλ' ἐπουρανίων μυστηρίων μηνυτικάς, οὐδὲ συνθέτων λόγων ῥητορικὴν πιθανότητα περιεχούσας, ἀλλὰ παράκλησιν πρὸς τὸν ἐμὸν πατέρα καὶ δεσπότην. Ἐπειδὴ βίᾳ πάσχω παρὰ τῶν ἀρχόντων ὡς χήρα χάριν γάμου, σπούδασον ἵνα ἔλθω κἀγὼ καὶ ἀγάγω τοῦ ἀνδρός μου τὸ λείψανον εἰς τὸ Βυζάντιον, εἰς τὸ ἐμὸν κτῆμα. Σπεῦσον οὖν, πάτερ, καὶ λαβὼν σάκραν παρὰ τοῦ βασιλέως Κωνσταντίνου πέμψον τῷ ἐπισκόπῳ Κυρίλλῳ ἐν Ἱεροσολύμοις". Ὁ δὲ λαβὼν τὴν σάκραν παρὰ Κωνσταντίνου τοῦ βασιλέως μηνὶ ἰανουαρίῳ τεσσαρεσκαιδεκάτῃ, ἰνδικτιῶνος τρίτης, κατέπλευσεν ἐν τοῖς Ἱεροσολύμοις, καὶ ἀπενεχθείσης τῆς σάκρας καὶ δοθείσης τῷ ἐπισκόπῳ Κυρίλλῳ, ἰδιάσας ὁ ἐπίσκοπος καὶ ἀναγνοὺς καὶ μὴ δυνάμενος ἀντειπεῖν εἶπεν τῇ ἐλευθέρᾳ· "Πῶς δυνάμεθα τοῦτο ποιῆσαι; ἐπειδὴ οὐκ οἶδα ποῖόν ἐστιν τὸ γλωσσόκομον τοῦ ἁγίου Στεφάνου, ἢ τοῦ ἀνδρός σου· καὶ τί ποιήσω; Ὕπαγε εὐτρέπισον τὰ ἐν τῇ ὁδῷ καὶ μήνυσόν μοι, καὶ νυκτὸς ἐγὼ αὐτὸ δώσω σοι". Ἡ δὲ ἐλευθέρα εὐτρεπίσασα τὰ ἐν τῇ ὁδῷ ἦλθεν πρὸς τὸν ἐπίσκοπον ἐν τῇ ἐκκλησίᾳ· ὀψίας δὲ γενομένης βαθείας κατῆλθεν εἰς τὸ εὐκτήριον, ἔνθα κατέκειτο τὸ λείψανον τοῦ ἁγίου Στεφάνου. Ἀνοίξαντες δὲ τὴν θέσιν εὗρον γλωσσόκομα

1 *θορυβῆσαι. ἡ δὲ* B. — 4/5 *γράφοντα* B. — 6 σοι] ἐλλείπει τῷ A. — 7 *λόγω* B. — 9 *ῥητορικοῖς πιθανότητας* B ‖ *παρακλήση* B. — 10 *πάσχουσα* B. — 11 *ἔλθω ἐγὼ* B. — 12 *λείψ. ἐν Κωνσταντινουπόλει* B. — 13 *σπεῦσον σπ. λαβεῖν σάκραν καὶ ἀπόστειλον τῷ ἐπισκόπω* B. — 16/17 μηνὶ - Ἱεροσολύμοις] ἐλλείπει ταῦτα τῷ B. — 19 *ἀντειπεῖν, πέμψας πρὸς τὴν ἐλευθέραν εἶπεν* B. — 20/21 *ποῖον ἐστὶν τοῦ ἀνδρός σου ἢ τοῦ ἁγίου Στεφάνου; ἐγὼ οὐκ οἶδα καὶ τί* B. — 22 *μήνυ με, καὶ νυκαὶ ἐγὼ δώσω σοι τὸ γλωσσόκομον του ἀνδρός σου· ἡ δὲ εὐτρεπ. τὰ ἐν τῇ ὁδῶ ἀπῆλθεν* B. — 23 *αὐτῶ* A ‖ *εὐτρεπήσασα* A. — 25 βαθείας] ἐλλείπει τῷ B.

Digitized by Google

δύο· ὁ δὲ ἐπίσκοπος λέγει τῇ ἐλευθέρᾳ· "Οὐκ οἶδα ποῖόν ἐστιν τὸ γλωσσόκομον τοῦ ἁγίου Στεφάνου, ἢ τοῦ ἀνδρός σου". Ἡ δὲ ἐλευθέρα λέγει· "Ἐγὼ οἶδα ποῖόν ἐστιν τὸ γλωσσόκομον τοῦ ἀνδρός μου, ἐπειδὴ ἐγὼ ἐποίησα αὐτό".

11. Τότε ἀκούσας ὁ ἐπίσκοπος ἐκέλευσεν αὐτῇ ἆραι, ὃ ᾔδει γλωσσόκομον, καὶ ὁρμήσασα περιεπλάκη τῷ γλωσσοκόμῳ τοῦ ἁγίου Στεφάνου καὶ ἀπέθετο ἐν τῷ λεκτικίῳ· καὶ συνταξαμένη τῷ ἐπισκόπῳ ἀπῄει χαίρουσα ἐν τῇ ὁδῷ, καὶ δι' ὅλης τῆς νυκτὸς ὕμνος Ἀγγέλων ἠκούετο ἐν τῇ ὁδῷ καὶ ὀσμὴ μύρου εὐωδίας ἐγίνετο, τὰ δὲ πνεύματα τὰ ἀκάθαρτα ἔκραζον· "Οὐαὶ ἡμῖν πάλιν, ὅτι ὁ πρωτομάρτυς Στέφανος διέρχεται, δεινῶς ἡμᾶς μαστίζων πυρί". Ἡ δὲ ἐλευθέρα εἰς τὸ λεκτίκιον αὐτῆς ἐκάθητο· οἱ δὲ παῖδες περιπατοῦντες ἔμπροσθεν τοῦ λεκτικίου ἐδειλίασαν, λέγοντες· "Τί τοῦτο τὸ συμβὰν ἡμῖν, ὅτι τὰ πνεύματα κράζουσιν ἔμπροσθεν ἡμῶν περὶ τοῦ ἁγίου Στεφάνου; μὴ ἄρα αὐτός ἐστιν καὶ οὐκ οἴδαμεν, ὅτι πλῆθος Ἀγγέλων ἔμπροσθεν ἡμῶν ἐστιν; Εἴδαμεν, δέσποινα, καὶ φόβῳ συνεχόμεθα. Κυρία ἡμῶν, τί ποιοῦμεν, εἰ οὐκ ἔστιν τοῦ ἀνδρός [σου] τὸ λείψανον, ἀλλὰ τοῦ ἁγίου Στεφάνου ἐστὶ τὸ λείψανον"; Ἡ δὲ ἐλευθέρα ἀκούσασα, κλαίουσα ἡσύχασεν καὶ παρήγγειλε τοῖς παισὶν μηδενὶ λαλῆσαι τὸν φόβον ἐν τῇ ὁδῷ καὶ τὰ ὁραθέντα ἡμῖν· "ἀλλ' ἐάν τις ἐρωτᾷ, ἢ ἐν χώρᾳ ἢ ἐν πόλει, Τίνος ἐστὶν τὸ λεκτίκιον, εἴπατε Τῆς ἐλευθέρας ἐστὶν καὶ ἀπέρχεται εἰς τὸ Βυζάντιον". Ἐν αὐτῇ δὲ τῇ νυκτὶ ἤλθομεν μονὰς τρεῖς· τὴν δὲ ἡμέραν ἡσυχάσαντες, πάλιν ἑσπέρας βαθείας ὁδευόντων ἡμῶν, Ἄγγελοι συνεπορεύοντο ἡμῖν καὶ ἔλεγον· "Δόξα

1 *οἶδα ἐγὼ ὁ ταλαίπωρος ποῖον* B. — 2 ἢ τοῦ ἀνδρός σου] ἐλλείπει ταῦτα τῷ B. — 3 *λέγει* A, *εἶπεν* B. — 5 *ὃ ᾔδη* A, *οἷον οἶδε* B. — 6 *περιεπ. τῷ λειψάνω* B. — 7 *ὑπέθετο εἰς τὸ λεκτήκην* B. — 8 *ἀπείη* AB || *ὕμνον* B. — 9 *ἠκουων* B || *εὐωδία μεγίστη ἐγένετο καὶ τὰ πν. ἔκραζον* B. — 10 πάλιν] ἐλλείπει τῷ A. — 11 πυρὶ] ἐλλ. τῷ B. — 12 *λεκτίκιον* A, *βαστέρνιον* B || οἱ δὲ] *καὶ οἱ* B. — 13 *ἐδειλ. σφόδρα* B. — 16 ἡμῶν] *τοῦ λεκτικίου* B. — 18 *τοῦ ἀνδρὸς τὸ λείψανον, ἀλλὰ ἐστὶ τοῦ ἁγίου στεφάνου; τί ποιοῦμεν κυρία δέσποινα ἡμῶν* B.— 20 *παισὶν ἑαυτῆς λέγουσα μηδ. λέγεται τ. φόβ. καὶ τα ὁρ. ἐν τῇ ὁδῷ* B. — 22 *πόλει* A, *τόπω* B || *λεκτ. τοῦτο, λέγεται* B. — 23 *ἀπέρ. ἐν Κωνσταντινουπόλει* B || *εἰσήλθομεν* B. -- 24 *τῇ δὲ ἡμέρα* B.

Digitized by Google

ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ὅτι ὁ Θεὸς ἀπεκάλυψεν ἐν τῇ ὁδῷ τοῖς παισὶν τοὺς Ἀγγέλους αὐτοῦ, τοῦ διαφυλάττειν αὐτοὺς ἐν τῇ ὁδῷ". Τῷ δὲ μεσονυκτίῳ τὰ πνεύματα ἔκραζον· "Τίς διέρχεται μαστίζων ἡμᾶς; οὐ φέρομεν τὴν δύναμιν τοῦ ἁγίου λειψάνου, ὅτι πῦρ ἐστι καὶ κατακαίει ἡμᾶς δεινῶς". Ἰάσεις δὲ καὶ θεραπεῖαι ἐγίνοντο ἐν τῇ ὁδῷ· ἀγγελικῇ δὲ δυνάμει ἔτρεχον τὰ ζῷα, μὴ φέροντα τὴν δύναμιν τοῦ ἁγίου λειψάνου.

12. Ἐφθάσαμεν δὲ εἰς Ἀσκάλωνα τὴν παραθαλασσίαν, καὶ εὑρόντες πλοῖον ἐρχόμενον ἐν Κωνσταντινουπόλει, μετακαλεσαμένη ἡ ἐλευθέρα τὸν ναύκληρον ἔδωκεν αὐτῷ χρυσίνους πεντήκοντα, εἰποῦσα ὅτι "Μυστήριον ἔχω σοι εἰπεῖν καὶ μὴ ἀντείπῃς μοι· γλωσσόκομον ἔχω ἀπαγαγεῖν εἰς τὸ Βυζάντιον· ἀλλὰ ἔχεις τὸν μισθὸν παρὰ τοῦ παντοκράτορος Θεοῦ". Ὁ δὲ ναύκληρος εἶπεν· "Κυρία δέσποινα· ἄνελθε εἰς τὸ ἴδιόν σου πλοῖον· οὐ γὰρ δύναμαι ἀντειπεῖν τῇ ἐμῇ κυρίᾳ, ὅτι μέγας σύν σοί ἐστιν ὁ πρωτομάρτυς Στέφανος, καὶ ἐν αὐτῷ ἡ ζωή μου καὶ ἐν αὐτῷ ἡ ἐλπίς μου, ὅτι εἶδον οἱ ὀφθαλμοί μου παράδοξα σήμερον. Δεῦρο, κυρία, ἄνελθε εἰς τὸ ἴδιόν σου πλοῖον, ἵνα ἀπολύσω αὐτό, καὶ μέλλομεν πλέειν τῇ τοῦ Θεοῦ δυνάμει καὶ τοῦ ἁγίου λειψάνου, ὅτι συνέχει ἡμᾶς". Τότε εἰσελθόντων πάντων εἰς τὸ πλοῖον, ἀπέλυσεν ὁ ναύκληρος τὸ πλοῖον ἀπὸ τῆς γῆς ἰδίῳ ἀνέμῳ, καὶ ἐλθόντες μέσον τοῦ πελάγους ἐπλέομεν· ἄφνω δὲ σεισμὸς ἐγένετο μέγας, ὥστε τὰ κύματα ὑψωθῆναι παρὰ τὸν ἱστὸν τοῦ πλοίου· καὶ τῆς θαλάσσης κυματιζομένης δεινῶς, φόβῳ συσχεθέντες, ἀναστάντες προσεκυνήσαμεν τῷ ἁγίῳ λειψάνῳ. Κλαιόντων δὲ ἡμῶν καὶ ὀδυρομένων, ἄφνω εὐωδία μεγίστη γέγονεν ἐν τῷ πλοίῳ καὶ ὤφθη ἡμῖν ὁ

2 τοῦ] ἐλλείπει τῷ B. — 3 *τῇ δὲ μέσῃ τῆς νυκτὸς* B. — 6 *θερ. ἐγίνοντο* A, *καὶ δυνάμεις γίνονται* B || *ἔτρεχον ἐν τῇ ὁδῷ* B. —7 *δύναμιν* A, *βίαν* B || *λειψάνου* A; *στεφάνου* B. —9 ἐρχ. ἐν Κωνσταντινουπόλει] ἐλλ. ταῦτα τῷ B. —10 *χρυσίου* A. — 11 *σοι ἔχω* B || *ἀντείπεις* A. — 12 *ἀπαγ. ἐν Κωνσταντινουπόλει* B. — 14 σου] ἐλλ. τῷ B. — 16 ἡ ζωή μου καὶ ἐν αὐτῷ] ἐλλ.. ταῦτα τῷ B. — 18 *ἀνάβηθι* B || ἴδιόν σου] ἐλλ. τῷ B || *ἀπολύσομεν* B. — 20 *ἡμᾶς δεινῶς. τότε ἐλθόντων π. ἐν τῷ πλοίῳ ἀπὸ τῆς γῆς* B. — 22 *ἄφνως* A || *δὲ ζάλη γέγωνεν, ὥστε* B. — 23 *ὑψώθη π. τὸ ἱστείο* B. — 24 *κυματιζούσης δ. καὶ φ. συνεχόμενοι* B. — 25 *κλεόντων* A, *κλαίοντες δὲ καὶ αὐτῶν ὀδ.* B. — 26 *ἐγένετο* B || ἡμῖν] *αὐτοῖς* A.

Digitized by Google

ἅγιος Στέφανος καὶ λέγει ἡμῖν· "Μὴ φοβεῖσθε· ἐγώ εἰμι μεθ' ὑμῶν". Καὶ εἰπόντος αὐτοῦ ταῦτα ἐκόπασεν ὁ ἄνεμος καὶ ἐγένετο γαλήνη μεγάλη. Ὀψίας δὲ γενομένης ἐπλέομεν ἐν τῷ πελάγει ἰδίῳ ἀνέμῳ· μέσης δὲ νυκτὸς φωνὴ ἐγένετο ἔγγιστα τοῦ ἁγίου λειψάνου, καὶ ἀτενίσαντες εἴδομεν χορὸν ὡς μυρίων Ἀγγέλων, ὑμνούντων καὶ λεγόντων· "Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ὅτι ηὐδόκησας ἐπὶ τὸν ἅγιον Στέφανον, τὸν μαρτυρήσαντα ἐπὶ τοῦ ὀνόματός σου". Ἦλθεν φωνὴ Κυρίου τοῖς Ἀγγέλοις· "Παραμείνατε τῷ ἁγίῳ λειψάνῳ αὐτοῦ· αὐτὸς γὰρ ἀναφέρει τὴν θυσίαν τῷ ὀνόματί μου". Πρωΐας δὲ γενομένης ἤλθομεν εἰς τὰ Στενὰ Χαλάσαν, διὰ τὸν ἄρχοντα τῶν Στενῶν· ἄφνω δὲ σεισμὸς ἐγένετο ἐν τῷ τόπῳ ἐκείνῳ, ὥστε σαλευθῆναι τὰ θεμέλια τῆς γῆς, ἕως οὗ παρῆλθεν τὸ πλοῖον τοῦ ἁγίου Στεφάνου τοῦ πρωτομάρτυρος, καὶ τότε ἐκόπασεν ἡ γῆ σειομένη. Οἱ δὲ Δαίμονες ἔκραζον τῷ ἄρχοντι· "Ἀσεβέστατε ἄρχων, διατί οὐκ ἔκλασες τὸ πλοῖον τὸ παρελθὸν ἐκεῖνο; αὐτὸ γὰρ τὸ πλοῖον ἐποίησε γενέσθαι τὸν σεισμόν". Ὁ δὲ ἄρχων ἀκούσας ἀπέστειλεν δρόμονας πέντε τοῦ φθάσαι τὸ πλοῖον καὶ κλάσαι αὐτό. Μελλόντων δὲ αὐτῶν φθάσαι τὸ πλοῖον, Ἄγγελος ἐξελθὼν ἐκ τοῦ πλοίου ἐπάταξεν τοὺς δρόμονας καὶ ἐβύθισεν αὐτούς, καὶ ἐγένετο χαρὰ μεγάλη ἐν τῷ πλοίῳ, ὅτι ὁ Θεὸς ἦν μετ' αὐτῶν.

13. Πλεύσαντες δὲ νυχθήμερα τρία, ἤλθομεν εἰς Καλχηδόνα καὶ παρέβαλεν τὸ πλοῖον εἰς τὸν λιμένα, καὶ ποιησάντων ἡμῶν ἡμέρας πέντε, ὅσοι εἶχον Δαιμόνια, ἤρχοντο παρὰ θάλασσαν δεινῶς βασανιζόμενοι καὶ ἔκραζον λέγοντες· "Ὁ δοῦλος τοῦ Κυρίου ἦλθεν

1 *εἶπεν μὴ* B. — 2 *ἡμῶν, καὶ τοῦτο εἰπ. α. ἐκόπασεν* B. — 3 *γεναμένης* B. — 4 *φωνὴ* A, *φῶς ἐγ. μέγα ἐγγὺς* B. — 5 *ἀτεν. πάντες ἴδ. τὸν ἡμέτερον Ἰησοῦν Χριστὸν μετὰ τῶν ἀγγέλων* B || *ἴδωμεν* A. — 7 *ἅγιόν σου* B. — 8 *τὸ ὀνόματί σου· ὁ δὲ κύριος εἶπεν τοῖς ἀγγέλοις παραμένεται* B. — 10 *τοῦ ὀνόματός μου. καὶ τοῦτο εἰπὼν ἀνελήφθη εἰς τὸν οὐρανὸν μετὰ τῶν ἀγγέλων αὐτοῦ. πρωΐας* B || *ἦλθ. ἐπὶ χαλάσαν* B. — 11 *σεισμὸς μέγας* B. — 12 *σαλ. πάντα* B. — 15 *ἔκρ. τὸν ἄρχοντα* A || *ἔκλασες* A, *ἔκαυσας* B. — 16 *παρελθόντα* B || *ἐκ. ἀλλ' ἔασας αὐτὸ παρελθεῖν καθ' ἡμῶν* B. — 17 *ἀκούσας ἡδέως* B. — *κλάσαι* A, *καῦσαι* B. — 19 *ἄγγ. κυρίου* B. — 21 *μετ' αὐτῶν εἰ* B. — 23 *ἡμῶν ἐκεῖ* B. — 24 *εἰσήρχοντο* B || δεινῶς] ἐλλείπει τῷ B. — 25 *κυρίου* A, *θεοῦ* B.

Digitized by Google

ὁ λιθοβοληθεὶς ὑπὸ τῶν Ἰουδαίων, δεινῶς ἡμᾶς βασανίζων". Τῇ δὲ χάριτι τοῦ ἁγίου λειψάνου αὐτὰ τὰ πνεύματα ἔκραζον· "Οὐαὶ ἡμῖν, ὅτι κατακαίει ἡμᾶς δεινῶς! ποῦ φύγωμεν τὴν ἀπειλὴν αὐτοῦ τὴν φοβεράν"; ἐξήρχοντο δὲ ἀπὸ τῶν ἀνθρώπων δεινῶς ἐλαυνόμενα ὡς ἀπὸ πυρός, οἱ δὲ ἔχοντες ἀσθενεῖς ἔφερον αὐτοὺς παρὰ θάλασσαν καὶ πάντες ὑγιεῖς ἐγίνοντο τῇ δυνάμει τοῦ ἁγίου λειψάνου.

14. Κἀκεῖθεν ἀποκινήσαντες ἤλθομεν ἐν Συκαῖς· ἀκούσασα δὲ πᾶσα ἡ πόλις συνέτρεχεν, ἀντιπερνούντων μὲν τῶν χριστιανῶν καὶ χαιρομένων, τῶν δὲ Ἑλλήνων λυπουμένων. Κἀκεῖθεν πάλιν μεθορμήσαντες, διὰ τὸν ὄχλον τὸν ἀντιπερνοῦντα ἐν Συκαῖς, ἤλθομεν ἀντιπεράσαντες ἐν τῷ Ζεύγματι, εἰς τὸ Σταυρίον· ἔμαθεν δὲ ὁ μακάριος Μητροφάνης, ὁ ἐπίσκοπος Κωνσταντινουπόλεως, περὶ τοῦ λειψάνου τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου καὶ ὅτι τὸ πλῆθος ἐκινήθη τῶν Χριστιανῶν ἰδεῖν τὴν δύναμιν τοῦ ἁγίου λειψάνου, καὶ εἰσελθὼν δρομαῖος πρὸς τὸν βασιλέα Κωνσταντῖνον ἀνήγαγεν αὐτῷ περὶ τοῦ λειψάνου τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου· ὁ δὲ βασιλεὺς ἐπυνθάνετο· "Πῶς ἦλθεν ἀπὸ Ἱεροσολύμων τὸ λείψανον τοῦ ἁγίου Στεφάνου καὶ τίς ὁ ἀγαγών; μηνύσατέ μοι". Οἱ δὲ προσήνεγκαν αὐτῷ τὴν ἐλευθέραν καὶ εἶπον· "Δέσποτα αὐτοκράτορ, αὕτη ἐστίν, ἡ ἐλευθέρα, ἡ ἀγαγοῦσα τὸ λείψανον τοῦ πρωτομάρτυρος Στεφάνου". Ὁ δὲ βασιλεὺς εἶπεν· "Πῶς ἤνεγκας τὸ λείψανον τοῦ ἁγίου Στεφάνου; εἰπέ μοι τὸ ἀληθές". Ἡ δὲ εἶπεν· "Δέσποτα αὐτοκράτορ, ὁ μακάριος ἀνήρ μου, ὁ Ἀλέξανδρος ὁ συγκλητικός, αὐτὸς ᾠκοδόμησεν τὸ εὐκτήριον τοῦ ἁγίου Στεφάνου, καὶ αὐτὸς ἅμα τῷ ἐπισκόπῳ Ἰωάννῃ κατέθετο τὸ λείψανον τοῦ ἁγίου Στεφάνου· μετὰ δὲ ἔτη ὀκτὼ ἀπέθανεν ὁ ἀνήρ μου, διαθήκην διαθέμενος καὶ λέγων: Ἐὰν ἀποθάνω, θέτε με πλησίον τοῦ ἁγίου

1 ὁ λιθοβοληθεὶς] ἐλλ. τῷ A || *ὑπὸ* A, *παρὰ* B. — 4 *ἐλαυνόμενοι ὑπὸ τοῦ πυρός, καὶ ὅσοι εἶχον* B. — 7 *συκὲς* B. — 8 *σχεδὸν πᾶσα* B || *ἔτρεχον, ἀντιπερῶσα, τῶν μὲν χρ. χαιρομένων* B. — 10 *ὄχλον τὸν παρόντα ἤλθομεν ἐν τῇ πόλει ἐν τῷ σταυρῷ* B. — 12 Κωνσταντινουπόλεως] ἐλλ. τῷ B. — 13 τοῦ ἁγ. πρ. Στεφάνου] ἐλλείπει ταῦτα τῷ B. — 14 *ἰδεῖν* A, *τοῦ θεάσασθαι* B. — 15 *ἀπελθὼν δρομαίως* B || *ἀνίγαγον αὐτὸν* B. — 18 *ἁγ. πρωτομάρτυρος* B || μοι] *με* B. — 19 *δέσπ. παντοκράτωρ* B. — 25 *κατέθετο τὸν ἅγιον στέφανον. μετὰ δὲ ἔτη τινὶ* B. — 27 *διαθέμ. τῷ ἐπισκόπῳ λέγων, ἡ* [=εἰ] B || *πλησίον* A, *ἐγγὺς* B.

Digitized by Google

Στεφάνου. Οὕτως καὶ ἐγένετο, δέσποτα". Ὁ δὲ βασιλεὺς λέγει αὐτῇ· "Πῶς ἤνεγκας τὸ λείψανον τοῦ ἁγίου Στεφάνου; εἰπέ μοι τὸ ἀληθές". Ἡ δὲ εἶπεν· "Δέσποτα αὐτοκράτορ, βίαν παθοῦσα παρὰ τῶν ἀρχόντων ὡς χήρα, καὶ μὴ θέλουσα γαμῆσαι, ἐδήλωσα τῷ πατρί μου, ὅτι θέλω αὐτοῦ ἐλθεῖν καὶ ἀγαγεῖν τοῦ ἀνδρός μου τὸ λείψανον εἰς τὸ ἐμὸν κτῆμα. Ταῦτα ἀκούσας ὁ πατήρ μου, ὁ ἐμὸς δεσπότης, λαβὼν σάκραν παρὰ τοῦ ὑμετέρου κράτους ἀπέστειλέν μοι καὶ τῷ ἐπισκόπῳ Κυρίλλῳ, ἵνα ἄρω τοῦ ἀνδρός μου τὸ λείψανον. Κατελθόντες δὲ νυκτὸς μετὰ τοῦ ἐπισκόπου Κυρίλλου, νομίσασα αἴρειν τοῦ ἀνδρός μου τὸ λείψανον, τὸ τοῦ ἁγίου Στεφάνου ἦρα". Καὶ ἐπέδωκεν ἡ ἐλευθέρα τὴν σάκραν τῷ βασιλεῖ· ὁ δὲ βασιλεὺς ἀναγνοὺς ἐγνώρισεν τὴν ἑαυτοῦ χεῖρα· ἡ δὲ ἐλευθέρα εἶπεν· "Δέσποτα αὐτοκράτορ, ἐξουσίαν ἔχεις τοῦ σώματός μου, τῆς δὲ ψυχῆς μου ὁ Θεός, ὁ ποιῶν θαυμάσια ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς. Δέσποτα, ἐὰν ἀπιστῇς, πέμψον Ἑβραῖον εἰς τὸ πλοῖον, ἔνθα κατάκειται τὸ γλωσσόκομον· τίτλος προσήλωται γράφων ἑβραϊκὰ γράμματα, καὶ ἀνάγνωθι αὐτὰ καὶ γνῶθι τὴν δύναμιν". Ὁ δὲ βασιλεὺς καλέσας Ἑβραῖον ὥρκισεν αὐτὸν κατὰ τοῦ νόμου, λέγων· "Ἄπελθε καὶ ἴδε τί γράφει". Ἀπελθὼν δὲ ὁ Ἑβραῖος μετὰ δύο προτικτόρων καὶ ἀναγνοὺς εἶπεν· "Μέγα θέαμά ἐστιν". Οἱ δὲ προτίκτορες εἶπον· "Τί τὸ θέαμα; εἰπὲ ἡμῖν". Ὁ δὲ Ἑβραῖος εἶπεν, ὅτι "Ὁ πρωτομάρτυς Στέφανός ἐστιν [καὶ ἐν αὐτῷ ἡ ζωή μου καὶ ἐν αὐτῷ ἡ ἐλπίς μου, ὅτι εἶδον οἱ ὀφθαλμοί μου παράδοξα σήμερον". Τότε ἀπελθόντες ἀνήγγειλαν τῷ βασιλεῖ, ὅτι ὁ πρωτομάρτυς Στέφανος ἐστίν].

1 καὶ] ἐλλείπει τῷ B || *λέγει αὐτῇ* B, *εἶπεν* B. — 3 *βία πάσχουσα* B — 6 *ταῦτα* A, *τότε* B. — 8 *ἐμοὶ* B || Κυρίλλῳ] ἐλλ. τῷ B || *τὸ λείψ. τοῦ ἀνδρός μου* B. — 9 *διὰ νυκτὸς* B. — 10 *αἴρειν* μετὰ *τὸ λείψανον* ἐν τῷ B. — 11 *ἡ δὲ ἐλευθέρα ἀπέδωκεν* B. — 12 *ἐγν. αὐτοῦ τὴν* B. — 13/15 *εἶπεν. καὶ ἡ ἀπιστῇς δέσποτα πέμψον ἑβραῖον* B. — 15 *ἀπιστεῖς* A. — 16 *κατάκ. τὸ λείψανον τοῦ ἁγίου στεφάνου καὶ τίτλον πρ. γράφον ἑβρραϊκῶς γρ. καὶ ἀναγινώσκῃ* B. — 18 *βασ. κωνσταντῖνος*. — 19 *γράφουσιν* B. — 20 *πρωτικτόρων* B || καὶ] ἐλλ. τῷ B || *θέαμα* A, *θαῦμα* B. — 22/25 καὶ - - Στέφανός ἐστιν] ἔλαβον ταῦτα ἐκ τοῦ B.

Digitized by Google

15. Καὶ ἐχάρη ὁ δεσπότης τῆς οἰκουμένης, καὶ μετακαλεσάμενος τὸν ἐπίσκοπον Μητροφάνην εἶπεν· "Ἄπελθε εἰς τὸ πλοῖον μετὰ τοῦ πλήθους τοῦ λαοῦ [κἀγὼ ἀποστέλλω βουριχάλιον καὶ φέρει μοι τὸ γλωσσόκομον τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου εἰς τὸ παλάτιον". Τότε ἀπῆλθεν ὁ ἐπίσκοπος Μητροφάνης καὶ πᾶς ὁ λαὸς μετὰ τῶν κηρῶν συνέδραμεν· ὁ δὲ ἐπίσκοπος κατελθὼν εἰς τὸ πλοῖον] καὶ λαβὼν ἐκεῖθεν τὸ γλωσσόκομον [καὶ] ἐπιθεὶς εἰς τὴν καροῦχαν ἐσπούδασεν ἐλθεῖν εἰς τὸ παλάτιον. Αἱ δὲ μοῦλαι ἀνίησαν ἑλκόμεναι ὑπὸ Ἀγγέλων βιαίως, καὶ ἐλθόντες ἐν τόπῳ λεγομένῳ Ἐν Κωνσταντιαναῖς ἔστησαν καὶ οὐκέτι μεταβῆναι ἴσχυον, ἀλλ' ἐψόφουν τὰ ζῷα· ἡ δὲ μία αὐτῶν ἀγγελικῇ δυνάμει ἀνθρωπιστὶ ἐλάλησεν ἐπὶ παντὸς τοῦ λαοῦ, λέγουσα· "Τί τύπτετε τὰς ὄψεις ἡμῶν; ὧδε γὰρ αὐτὸν δεῖ κατατεθῆναι καὶ μὴ κάμητε ὅλως· εἰ δὲ μή, σημεῖα καὶ τέρατα ἔχετε ἰδεῖν". Ὁ δὲ ἐπίσκοπος ἔμφοβος γενόμενος, καὶ μὴ φέρων τὸν φόβον, ἐδήλωσεν τῷ βασιλεῖ, ὅτι "Οὐ δύναμαι ἐνεγκεῖν τὸ λείψανον τοῦ ἁγίου Στεφάνου εἰς τὸ παλάτιον". Ὁ δὲ βασιλεὺς ἀκούσας ἐλυπήθη καὶ ἔπεμψεν ἄλλα δώδεκα ζῷα, ὅπως σύρουσι τὴν καροῦχαν· καὶ αὐταὶ δὲ ὁμοίως ἔστησαν τῇ βίᾳ τῶν Ἀγγέλων καὶ οὐκ ἴσχυσαν κινῆσαι τὴν καροῦχαν. Τότε ὁ λαὸς ἐβόησεν· "Εἷς Θεός, ὁ παντοκράτωρ, ὁ ποιήσας θαυμάσια μόνος ἐπὶ τὸν ἅγιόν σου πρωτοάμρτυρα Στέφανον, τὸν μαρτυρήσαντα ἐπὶ τῷ ὀνόματί σου, Κύριε. Δὸς καὶ ἡμῖν ἔλεος εὐχαῖς καὶ πρεσβείας τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου". Τότε ὁ ἐπίσκοπος ἦρεν τὸ γλωσσόκομον ἀπὸ τῆς καρούχας καὶ κατέθετο αὐτό, ποιήσας τὸ εὐκτήριον ἐπὶ μῆνας πέντε, παραμείναντος τοῦ λαοῦ, καὶ μετὰ πολλῆς ἀσφαλείας κατέθετο αὐτὸ ὁ μακάριος ἐπίσκοπος Μητροφάνης· ἰάσεις δὲ καὶ δυνάμεις ἐγίνοντο ἐπὶ τῶν

1 *τότε ἐχάρη ὁ βασιλεὺς καὶ* B. — 2 *εἶπεν* A, *λέγει αὐτὸ* B. — 3/5 κἀγὼ - - εἰς τὸ πλοῖον] ἔλαβον ταῦτα ἐκ τοῦ B. — 8 *εἰς τὴν* A, *ἐπὶ τὴν* B || *τὸ παλάτιον* A, *τὴν κουρτην* B. — 9 *ὑπὸ τῶν* B. — 10 *λεγ. κωνσταντιανὲς* B || *ἴσχυσαν* B. — 11 *ἐψώφουν* AB || *ἐξ αὐτῶν* B || *ἀνθρωπιστὶ* A, *ἀνθρωπίνως ἐλάλει* B. — 12 *λέγουσα* A, *οὕτως* B || *τύπτε ται* A. — 13 *κατατ. ἐν τῷ τόπῳ τούτῳ* B. — 15 *ἔμφοβος* A, *σύντρομος* B || *τὸν φόβον* A, *τὴν βάσανον* B. — 17 εἰς τὸ παλάττιν] ἐλλ. τῷ B || *καὶ πέμψας* B. — 18 δώδεκα] ἐλλ. τῷ B || ὅπως] ὧδε λήγει τὸ B.

Digitized by Google

ἀσθενούντων ἐν ταῖς ἡμέραις ἐκείναις ἐπὶ τὸν λαὸν παραμένοντα ἐπὶ τὸν ἅγιον Στέφανον τὸν πρωτομάρτυρα.

16. Ὁ δὲ ἐπίσκοπος Μητροφάνης εἶπεν πρὸς τὸν λαόν· "Ἀκούετε καὶ σύνετε πάντες οἱ παραμένοντες ἐπὶ τὸν ἅγιον πρωτομάρτυρα Στέφανον! Ἐν παντὶ καιρῷ τῶν μαρτυρικῶν ἀγώνων οἱ πόνοι νεάζουσι καὶ τὰς ἐπιφαινομένας ἐν ῥήμασι γλώσσας λαλεῖν ἀναγκάζουσιν· ἐκτήσαντο γὰρ [οἱ μάρτυρες] πολιτείαν μετὰ θάνατον λάμπουσαν, καὶ κεχωσμένοι τοῖς μνήμασιν, τοῖς κατορθώμασι πρὸς ἡμᾶς διαλέγονται· καὶ χερσὶν ὡς ἐπὶ θρόνον Θεὸς καθεζόμενος* δικαίων γὰρ ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ὅθεν καὶ Λουκᾶς ἐγκωμιάζων τὸν πρωτομάρτυρα Στέφανον δείκνυσιν τὴν ὑπ' αὐτοῦ γενομένην χάριν τῆς ἀρρήτου δυνάμεως· τί γὰρ φησίν; "Στέφανος πλήρης χάριτος καὶ δυνάμεως ἐποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ", καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτῷ. Ὅλος ἦν ὁ παμμακαριώτατος Στέφανος ὥσπερ εὐένθηκος ὁλκὰς πεπληρωμένη καλοῦ σίτου· τοῦ γὰρ ἁγίου πνεύματος αὐτὸν περιέσκεπεν μεγαλειότης· ἡ τῆς δυνάμεως τοῦ Θεοῦ ἁγιότης αὐτὸν περιήστραπτεν, ἡ τοῦ Χριστοῦ αὐτὸν κατεφώτιζε χάρις, τὸ τῶν θαυμάτων αὐτὸν περιέσκεπεν φέγγος, ἡ τῆς θείας χάριτος αὐτὸν περιεκύκλου μεγαλοπρέπεια πανταχόθεν. Ἐκεῖθεν φῶς τυφλοῖς προσέρριπτεν· ἀλλαχόθεν ἀρρώστων ἀπεδίωκεν νόσους· τὰ τῶν δαιμονιώντων ἑτέρωθεν ἐκαθάριζεν μέλη· παραλελυμένων συνεδέσμει τὰ νεῦρα· τῆς θεραπείας τῶν πτωχῶν προυνοεῖτο· ταῖς χήραις ἦν ὡς ἀνὴρ καὶ τῶν ὀρφανῶν ὡς πατὴρ ἐπεμελεῖτο. Ὁ λόγος ἀπαγγέλλει τὰ τοῦ πρωτομάρτυρος Στεφάνου θαύματα, ἡ παναγία τὰ κατ' αὐτὸν ἐμεγάλυνεν Βίβλος· "ἐποίει γάρ", φησί, "τέρατα καὶ σημεῖα ἐν τῷ λαῷ μεγάλα". Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὴν πρὸς Ἰουδαίους ἐπεδείκνυτο ἔχθραν καὶ τὰ ὑπὲρ Χριστοῦ πρὸς αὐτοὺς διελέγετο, καὶ συνέχυνεν τοὺς Ἰουδαίους καὶ εἰς σκότος αὐτῶν ἦν, καὶ ὁ τῆς τῶν ἀνθρώπων βασκαίνων σωτηρίας τοιοῦτον αὐτῷ παρὰ τῶν χριστοκτόνων προητρέπισεν τέλος, οἷον ὁ

7 προσέθηκα τὸ *οἱ μάρτυρες*. — 9 καὶ - - καθεζόμενος] ἡ φράσις ἀσαφής. — 13 Πράξ. ϛ', 8. — 16 *καλωσσίτου* A. — 22 *ἐκαθέριζεν* A.

Digitized by Google

λόγος ἡμῖν ἐφανέρωσεν, οὐκ εἰδὼς ὁ παμμίαρος, ὅτι καὶ Θεοῦ ὀπτασίας αὐτῷ γενήσεται πρόξενος καὶ φωνῆς αὐτῷ πολεμίας τῆς τὸν ὑπ' αὐτοῦ σταυρωθέντα, τῆς θείας ἐκ δεξιῶν ἑστῶτα δυνάμεως, ἐπὶ πάντων βοώσης, καὶ [ὅτι] δι' αὐτοῦ ἀνοίξει τῆς εὐσεβείας τὸ στάδιον καὶ πάντας αὐτοὺς ἐρεθίσει βαδίζειν· ὡς γὰρ εἶδεν αὐτὸν τηλικαύτην τῆς χάριτος περικείμενον δόξαν καὶ τὰς τῶν θαυμάτων ἀποστίλβοντα ἀκτῖνας, καὶ τῇ τοῦ ἁγίου πνεύματος ἐνεργείᾳ θεοπρεπῶς φωτιζόμενον καὶ τὸ ὑπὲρ τῆς χάριτος ἄξιον κειμήλιον καὶ πρῶτον τῶν ἑπτὰ κληθέντα ὑπὸ τῶν ἀποστόλων ἐν χάριτι καὶ γνήσιον τῶν μαθητῶν μαθητήν, καὶ τὸ πρὸς τὴν τοῦ σταυροῦ νωτοφορίαν γοργόν, τὸν τῶν Ἰουδαίων ἀνερρίπισεν δῆμον· καὶ μάρτυρας παρασκευάσας ψευδεῖς ἐκίνει κατ' αὐτοῦ τὰς κατηγορίας—"ἠκούσαμεν γὰρ αὐτοῦ ῥήματα βλάσφημα λαλοῦντος εἰς Μωσῆν καὶ τὸν Θεὸν" καὶ τὰ ἑξῆς—, καὶ ὅλον αὐτῷ τὸ τῶν δυσσεβῶν ἐπεκύλιεν πλῆθος καὶ ταῖς τῶν ψευδομαρτύρων αὐτὸν κατηγορίαις ἐτόξευεν. Οὐ γέγονεν δῆλος ἐπὶ πᾶσιν ὁ Στέφανος τὰς θείας αὐτοῖς ὑπαναγινώσκων Γραφάς; καὶ τοὺς ἐξ Ἀβραὰμ ὑφηγεῖτο καιροὺς καὶ ἐφανέρου τὰ περὶ τοὺς προφήτας αὐτῶν καὶ τοὺς δικαίους, καὶ τὸν περὶ τὸν νόμον αὐτῶν οὐκ ἀπέκρυψεν φθόνον. Ἐφ' οἷς καὶ πάντες κοινῇ πυρὶ τρωθέντες, πρὸς τὸν κατ' αὐτοῦ κατέδραμον θάνατον, καὶ τῆς πόλεως ἔξω βαλόντες—οὐ γὰρ ἦσαν ἄξιοι τοιούτου κάλλους ἀρετῶν ἀπολαύειν—ταῖς τῶν λίθων βολαῖς κατετόξευον, ἐπικαλούμενον καὶ λέγοντα· "Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην". Ἔδειξεν καὶ διὰ τούτων ἑαυτὸν τοῦ Χριστοῦ μαθητὴν δοκιμώτατον ὁ Στέφανος, κατόπιν τῆς ἐκείνου μακροθυμίας ἐλθών· ὡς γὰρ ὁ τῶν ὅλων δεσπότης ἑκουσίως ἐπὶ τὸ πάθος ἑλκόμενος κατέλαβεν τοὺς εἰς αὐτὸν ἁμαρτάνοντας τῷ πατρὶ λέγων "Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν", οὕτως ὁ παμμακαριώτατος Στέφανος, τὸ τῆς καθοσιώσεως φυλάττων ὡς δοῦλος, τὰς ὑπὲρ τῶν τιμωρουμένων αὐτὸν πρεσβείας εἰς Χριστὸν προεβάλλετο

5 *αἱρεθίσῃ* A ‖ *ἴδεν* A. — 7 *ἐνεργίᾳ* A. — 10 *γεωργὸν* A. — 11 *ἀνερρίπησεν* A. — 12 *ἐκίνῃ* A. — 13 Πράξ. ς', 11. — 23 Πραξ. ή, 60. — 25 *κατόπην* A. — 28 Λουκ. κγ', 34.

Digitized by Google

λέγων· "Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην". Αὐτὸς γὰρ ὢν διὰ παντὸς τοῖς πιστοῖς τῆς εὐσεβείας διδάσκαλος, ὁ πρῶτος ἀνοίξας τῆς εὐσεβείας τὸ στάδιον, ὁ πλήρης χάριτος καὶ δυνάμεως Θεοῦ, ὁ διὰ πάντα ἀγορευόμενος Στέφανος, ὁ τῆς κλήσεως ἄξιος, ὁ καὶ τὸ ὄνομα κοσμῶν καὶ ὑπὸ τῆς προσωνυμίας αὐτοῦ λαμπρυνόμενος, ὁ τὸν βασιλέα Χριστὸν καταξιωθεὶς ἰδεῖν, ὁ πρωτομάρτυς Στέφανος, καθὼς καὶ ὁ προφήτης, φησί· "ἐγὼ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι· ἐπ' ἐμὲ ἐλογίσαντο βουλὴν πονηράν", πρᾶγμα φρικῶδες καὶ τόλμαν φανερὰν κατὰ τοῦ ἁγίου. Ὦ Ἰουδαῖοι ἄνομοι, διατί ἠτιμάσατε τὸν τιμήσαντα ὑμᾶς καὶ ὑβρίσατε τὸν δοξάσαντα ὑμᾶς, τὸν δεσπότην ἡμῶν Ἰησοῦν Χριστόν; διατί ἐκρεμάσατε τὸν ὑψώσαντα ὑμᾶς, καὶ ἐσταυρώσατε τὸν φυλάξαντα ὑμᾶς, καὶ ἀπεκτείνατε τὸν ζωοποιήσαντα ὑμᾶς, ὢ Ἰουδαῖοι ἄνομοι, τὸν δεδωκότα ὑμῖν τὰ ἀγαθὰ τῆς γῆς, τὸν ἐντειλάμενον ὑμῖν τὸν λόγον αὐτοῦ τῷ Ἀβραὰμ εἰς χιλίας γενεάς, τὸν τεθεικότα τὸν ὅρκον αὐτοῦ τῷ Ἰσαὰκ ἐν προστάγματι καὶ στήσαντα τῷ Ἰακὼβ καὶ τῷ Ἰσραὴλ εἰς διαθήκην αἰώνιον, τὸν δεδωκότα ὑμῖν τὴν γῆν Χανάαν, τὸν πατάξαντα Αἴγυπτον σὺν τοῖς πρωτοτόκοις αὐτοῦ; ὢ Ἰουδαῖοι ἄνομοι, τὸν διαστήσαντα τὴν Ἐρυθρὰν Θάλασσαν εἰς διαιρέσεις καὶ διαγαγόντα ὑμᾶς διὰ μέσου αὐτῆς ὡς διὰ ξηρᾶς, τὸν ἐκτινάξαντα Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ εἰς Θάλασσαν Ἐρυθράν, τὸν φωτίσαντα ὑμᾶς ἐν στύλῳ πυρὸς ὅλην τὴν νύκτα καὶ ἐπισκιάσαντα ὑμᾶς ἐν νεφέλῃ ὅλην τὴν ἡμέραν, τὸν δεδωκότα προπορεύεσθαι Μωσῇ καὶ Ἀαρὼν πρὸ προσώπου ὑμῶν, τὸν νομοθετήσαντα ὑμᾶς καὶ ὕδωρ ἐκ πέτρας ποτίσαντα ὑμᾶς; τὸν ἀποκτείναντα βασιλεῖς κραταιοὺς δι' ὑμᾶς, τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων καὶ τὸν Ὢγ βασιλέα τῆς Βασὰν καὶ πάσας τὰς βασιλείας Χαναάν, τὸν ἐξολοθρεύσαντα ἔθνη ἑπτὰ δι' ὑμᾶς καὶ τοὺς βασιλεῖς αὐτῶν, ὢ Ἰουδαῖοι ἄνομοι, καὶ δόντα ὑμῖν τὴν γῆν αὐτῶν κληρονομίαν, τὸν καταστρέψαντα πόλεις ὀχυράς, τὸν καταβαλόντα τείχη καὶ καταστρέψαντα πύργους δι' ὑμᾶς, ὢ Ἰουδαῖοι

8 Ἱερεμ. ια', 19. — 9 φρικτῶδες A. — 15/18 Ψαλμ. ρδ', 8-11. — 18/30 Ψαλμ. ρλδ', 10-12. ρλε', 10-21.

Digitized by Google

ἄνομοι, καὶ κατακληροδοτήσαντα ὑμᾶς εἰς τὴν γῆν αὐτῶν, τὸν ἄραντα ὑμᾶς ἐξ Αἰγύπτου καὶ φυτεύσαντα ὑμᾶς εἰς ἄμπελον καρποφόρον πᾶσιν καὶ ἐκτείναντα κλήματα ὑμῶν ἕως θαλάσσης καὶ ἕως ποταμοῦ τὰς παραφυάδας ὑμῶν; Ἡ ἄμπελος ἡ ἀληθινή, διατί ἐστράφης εἰς πικρίαν καὶ οὐκ ἐποίησας σπέρμα, ἀλλ' ἐποίησας κραυγὴν καὶ ἀνομίαν κράζουσαν "Ἆρον, ἆρον, σταύρωσον αὐτόν", ὦ ἄνομοι Ἰουδαῖοι, τὸν τὰς νόσους ὑμῶν ἰασάμενον καὶ τὸ ἔθνος ὑμῶν ἰάμασιν ποικίλοις εὐεργετήσαντα; Ἐκεῖνος ὡς δεσπότης κύριος Ἰησοῦς Χριστὸς τοὺς νεκροὺς ὑμῶν ἤγειρεν, καὶ ὑμεῖς θάνατον αὐτῷ κατεσκευάσατε, ὦ Ἰουδαῖοι ἄνομοι, ὁ δὲ ἅγιος Στέφανος ἔλεγε "Κύριε, ἀνταπόδος αὐτοῖς καλὰ ἀντὶ κακῶν". Ὦ Ἰουδαῖοι ἄνομοι, τὸν εὐεργέτην Θεὸν παρωξύνατε ἐν τοῖς ἐπιτηδεύμασιν ὑμῶν· ἐξέβαλεν ὑμᾶς ὁ Θεὸς ἐξ Αἰγύπτου "ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ", καὶ ὑμεῖς παραγενόμενοι παρὰ τὸν αἰγιαλὸν τῆς θαλάσσης, ἐπιλαθόμενοι τῶν θαυμάτων, ἐλέγετε· "Παρὰ τὸ μὴ εἶναι μνήματα ἐν Αἰγύπτῳ ἐξήνεγκας ἡμᾶς ἐν τῇ ἐρήμῳ". Καὶ ὑμεῖς πικρίδας ἐπεθυμήσατε φαγεῖν· ἐνέπλησεν ὑμᾶς ὀρτυγομήτρας, καὶ ὑμεῖς χολὴν ἐποτίσατε αὐτόν. Ὑπομιμνήσκω ὑμᾶς, ὦ Ἰουδαῖοι· ἐγογγύσατε κατὰ Μωϋσῆ καὶ περεπικράνατε τὸ πνεῦμα Ἀαρών· ἀπέστητε ἀπὸ Θεοῦ ἀρχηγοῦ καὶ ἐζητήσατε πάλιν στραφῆναι εἰς Αἴγυπτον· ἀνῆλθεν Μωσῆς εἰς τὸ ὄρος τοῦ ἐνεγκεῖν νόμον, δακτύλῳ Θεοῦ γεγραμμένον, καὶ ὑμεῖς ἐμοσχοποιήσατε ἐν Χωρὴβ καὶ προσεκυνεῖτε τῷ γλυπτῷ καὶ ἀνηγάγετε θυσίαν τῷ εἰδώλῳ! Τότε ὠργίσθη Κύριος καὶ ἐξωλόθρευσεν τὰ ἔθνη, καὶ εἰσήγαγεν ὑμᾶς εἰς τὴν γῆν αὐτῶν καὶ ἐπεμίγητε τοῖς ἔθνεσι καὶ ἐμάθετε τὰ ἔργα αὐτῶν, καὶ προσεκυνήσατε τοῖς ἔργοις τοῦ δεσπότου ἡμῶν! Ἀπέχεσθε τῆς ὕβρεως ἐκείνης τῆς μιαρᾶς!—Πῶς σε μακαρίσω ἢ ἐπαινέσω, ἢ ἄξια ἐγκώμια δυνήσομαι ἐξειπεῖν τῆς σῆς πολιτείας; ποία δέ μοι ὕπαρξις ἀξίως διασαφῆσαι τὴν σὴν ἔνθεον μαρτυρίαν; οὐ γὰρ δύναμαι ἀτενίσαι εἰς τὸν χαρακτῆρα

2/4 Ψαλμ. οθ', 9-12. — 6 Ἰωάν. ιθ', 15. — 12 κῶδ. *παροξύνατε* || Ψαλμ. ρε', 29, — 13 *ἐξέβαλλεν* || Ψαλμ. ρλε', 12.—16 Ἐξόδ. ιδ', 11. — 17 ὀρτυγομήτρας] Ἐξόδ. ις', 13. — 18 χολὴν ἐποτίσατε] Ματθ. κθ', 34. — 19 παρεπικράνατε] Ψαλμ. ρε', 33. — 22 ἐμοσχοποιήσατε] Ἐξόδ. λβ', 1 κέ. — 25 κῶδ. *ἐμάθητε*.

Digitized by Google

σοῦ τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου. Τίνες ἐστὲ ὑμεῖς, ὦ Ἰουδαῖοι; αἰσχύνομαι γὰρ ἐγώ, ἅμα δὲ καὶ λυποῦμαι, ἐπὶ τοῖς πεπραγμένοις κακοῖς, οἷς ἔπραξαν οἱ ἄνομοι Ἰουδαῖοι· οὐ δύναμαι γὰρ ἐγὼ ἀναβλέψαι εἰς τὸ πρόσωπον τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου· ὁ γὰρ χαρακτὴρ αὐτοῦ βασιλικὸς καὶ τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος. Ὥσπερ οὖν οὐκ ἔστιν ἀτενίσαι εἰς τὸν ἥλιον καὶ καταμαθεῖν τὸν χαρακτῆρα αὐτοῦ, οὕτως καὶ ἐγὼ οὐ δύναμαι ἀπιδεῖν εἰς τὸ πρόσωπον τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου· ὅτε γὰρ ἀπεστάλη Στέφανος ὑπὸ τοῦ καθαροῦ καὶ ἀμιάντου Χριστοῦ λάμπων ἐν τῷ κόσμῳ, τὸ λαμπρὸν ἀπεικόνισμα τοῦ μεγάλου Θεοῦ, τὸν βασιλέα Κωνσταντῖνον ἡ πόλις ἐδόξαζεν καὶ ἔχαιρεν ἐπὶ τῷ λειψάνῳ τοῦ πρωτομάρτυρος Στεφάνου, ὁ δὲ βασιλεὺς Κωνσταντῖνος εἰς τὸν κύριον Ἰησοῦν Χριστὸν ἐπίστευσεν. Ὁ δὲ ἅγιος Στέφανος, οὐράνιον δῶρον καὶ κτῆμα ὀχυρὸν καὶ φῶς ἀδιαίρετον καὶ ἀνθρώποις ἴασις καὶ πλεόντων λιμὴν καὶ ἁλιεὺς ὢν τῶν πενήτων, προρρίπτων ἰχθύας ὁ [παρὰ] τοῦ μεγάλου βασιλέως σὺν χαρᾷ αἰτούμενος δοθῆναι παράδεισον, Στέφανος ὁ τῶν λίθων καταφρονήσας καὶ γένος ἐπουρανίων Ἀγγέλων ἀγαπήσας καὶ ὑπὸ κυμάτων μὴ βυθισθείς, ὁ ἐν γῇ διατρίβων καὶ ἐν οὐρανοῖς πολίτης καὶ πρὸς τὸν δεσπότην κύριον Ἰησοῦν Χριστὸν παριστάμενος καὶ μετὰ Ἀγγέλων ἀγαλλιώμενος, ἄνοιξον τοὺς ὀφθαλμούς σου, ἀστὴρ ἡλίου φαεινότερος λάμπων ἐπὶ γῆς! Πρωτομάρτυς Στέφανε, φύλασσέ σου τοὺς πολίτας· μὴ ἐάσῃς τὸν κακοσύμβουλον Διάβολον ἐγγίσαι τινὶ ἀνθρώπῳ, ἀλλὰ φεύξεται ἀπ' αὐτοῦ τῇ δυνάμει τοῦ ἁγίου λειψάνου σου. Στέφανος ὑπὲρ Θεοῦ ἀγωνιζόμενος εἶδεν τοὺς οὐρανοὺς ἀνεῳγμένους καὶ τὸν κύριον Σαβαὼθ καθήμενον ἐπὶ θρόνου Χερουβὶμ καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἑστῶτα ἐκ δεξιῶν τῆς δυνάμεως αὐτοῦ· ὅθεν ἀναδραμὼν Στέφανος πρὸς [τὸν] κύριον Ἰησοῦν Χριστὸν ἔλαβεν τὸν στέφανον, τὸν διὰ ποικίλων μαργαριτῶν πεπλεγμένον· τοῦτον τὸν στέφανον πολλοὶ ἐπόθησαν ἅγιοι, ἐπειδὴ αὐτὸς στρατηλάτης ἐγένετο τοῦ μεγάλου βασιλέως. Ὅθεν αἰτούμενος εἰρήνην τῷ κόσμῳ

8 κώδ. ἀφιδεῖν. — 26/28 Πράξ. ζ', 55, 56.

Digitized by Google

τοὺς πολεμίους πράυνον, τοῖς πολεμουμένοις βοηθῶν, τοὺς ἁλιεῖς ἰχθύων χορτάζων, τὸν καρπὸν τῆς γῆς πληθύνων, τοὺς ἀρρώστους ἰώμενος, τοὺς δαιμονιζομένους καθαρίζων, τοῖς τυφλοῖς τὸ βλέπειν χαριζόμενος, τοὺς παραλυτικοὺς ἀνορθῶν, τῶν χηρῶν φροντίζων, τὰ νήπια τοῦ λαοῦ αὔξων τῇ πίστει, τὸν γάμον στεφανῶν, ὅτι μέγας εἶ, Κύριε, καὶ φοβερὸς ἐπὶ πάντα τὸν λαόν σου· αὐτὸς γὰρ εἶπεν καὶ παρεκάλεσεν· "Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην". Βλέπετε οὖν, ἀδελφοί, μὴ καταφρονήσωμεν αὐτοῦ, ἀλλὰ φυλάξωμεν τὰς παραγγελίας τοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ῥυομένου ἡμᾶς ἀπὸ τοῦ σκότους καὶ καλοῦντος ἡμᾶς εἰς τὴν ἐπουράνιον αὐτοῦ βασιλείαν, ὅτι αὐτοῦ ἐστιν ἡ δόξα [καὶ τὸ] κράτος, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν".

---

6 Ψαλμ. πη', 7. — 7 Πράξ. ζ', 60.

Digitized by Google

III.

ΛΟΓΟΣ ΕΓΚΩΜΙΑΣΤΙΚΟΣ ΑΜΑ ΚΑΙ ΙΣΤΟΡΙΚΟΣ

περὶ τῆς ἐν Κωνσταντινουπόλει ἐλεύσεως τοῦ τιμίου λειψάνου τοῦ ἐν ἁγίοις πρωτομάρτυρος τοῦ Χριστοῦ καὶ ἀρχιδιακόνου

ΣΤΕΦΑΝΟΥ.

(Cod. 7, s. XI, monasterii Κοσινίτζης, f. 36β-47) [1].

1. Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ σωτὴρ "πάντων τῶν ἐλπιζόντων ἐπ' αὐτόν", ἓν ἔργον θέμενος τῆς αὐτοῦ πρὸς ἡμᾶς διὰ σώματος ἐπιφανείας, τὴν ἡμετέραν σωτηρίαν, οὐ δι' ἑαυτοῦ μόνον, ἀλλὰ καὶ διὰ μυρίων ὅσων ἁγίων καὶ ποικίλων τρόπων τὸν οἰκεῖον συντελεῖ σκοπόν· πρῶτος γὰρ αὐτὸς ἀρχὴ καὶ ῥίζα τῆς περὶ ἡμᾶς ἀγαθότητος γεγονώς, καὶ λόγοις θείοις καὶ ἔργοις αὐτὸς τὸ ὄντως "σωτήριον τοῦ Θεοῦ" γνωρισθείς, εἶτα τῷ σταυρῷ τοῦ κόσμου τὴν ἁμαρτίαν ἀνενεγκών, καὶ τῷ θανάτῳ μὲν αὐτοῦ τὸν θάνατον εὐκαταφρόνητον τεθεικώς, τῇ ἀναστάσει δὲ τὴν ἀνάστασιν δεδωρημένος, καὶ τέλος τὴν πρὸς Θεὸν ἄνοδον διὰ τῆς οἰκείας ἡμῖν ἐγκαινίσας ἀναβάσεως, οὐ μέχρι τούτων ἵστησι τὰ

[1] Οὗτος ὁ λόγος ἔν τισιν ἀντιγράφοις ἐπιγέγραπται Νικήτᾳ τῷ Παφλαγόνι [Catal. cod. hagiographorum graecorum bibl. Nationalis Parisiensis. Bruxellis 1896, σ. 82 καὶ 320]· διὸ καὶ οὕτω λατινιστὶ κατεχωρίσθη ἐν τῷ ς' τόμῳ (ια' αὐγ.) τῶν ὑπὸ Λιπομάννου συνηθροισμένων βίων ἁγίων· φέρεται δὲ καὶ ἐπ' ὀνόματι Μιχαὴλ τοῦ Ψελλοῦ [L. Allatii de Symeonum scriptis diatriba. Parisiis 1664, σ. 102]. ἀλλ' ἐν ἑτέροις τισὶν ἀντιγράφοις, ὡς ἐν τῷ 7-ῳ κώδικι τῆς μονῆς Κοσινίτζης καὶ ἐν ἑτέρῳ τινὶ τῆς βιενναίας βιβλιοθήκης [Lambecii liber VIII, 1679, σ. 101], εὑρίσκεται παντάπασιν ἀνώνυμος.

1/2 Ψαλμ. ιζ', 30. — 7 σωτήριον τοῦ Θεοῦ] Λουκᾶ γ', 6.

Digitized by Google

τῆς εὐεργεσίας· τὸ σύνθρονον δὲ πνεῦμα τοῖς μαθηταῖς ἐν εἴδει πυρίνων καταπέμψας γλωσσῶν καὶ πλήρεις αὐτοὺς ἐν αὐτῷ σοφίας καὶ χάριτος τετελεκώς, εἰς τὸν ὅλον ἀποστέλλει κόσμον, τῶν ἔργων αὐτοῦ καὶ λόγων τὸ ὑστέρημα ἀναπληροῦντας, καὶ ὑπὲρ αὐτοῦ μὲν πρεσβεύοντας, ποικίλοις δὲ τρόποις σοφίας καὶ δυνάμεως καταλλάσσοντας τῷ Θεῷ. Τούτων εἷς καὶ ὁ τρισμακάριος Στέφανος ἦν, Στέφανος ὁ πλήρης πνεύματος ἁγίου καὶ χάριτος καὶ δυνάμεως διὰ τοῦ ἁγίου πνεύματος μαρτυρούμενος, ὁ ἐν τοῖς ἀποστόλοις ἀπόστολος καὶ ἐν προφήταις προφήτης καὶ διδάσκαλος ἐν διδασκάλοις, ὁ πρῶτος ἐν διακόνοις, ὡς τῆς ἀποστολικῆς ἀκροθίνιον ἐκλογῆς· πρῶτος ἐν ἀθλοφόροις, ὡς πρῶτος τῆς μαρτυρικῆς ἀγωνίας σταδιοδρόμος καὶ πρῶτος τὸ ποτήριον τοῦ πάθους πιὼν τοῦ Χριστοῦ καὶ ὁδὸν μαρτυρίου τοῖς ὅλοις ἁγίοις ὑποδείξας καὶ τοῖς ἑπομένοις αὐτῷ πᾶσι τὸν ἄβατον βατὸν κατασκευασάμενος.

2. Οὗτος ὁ περιώνυμος στέφανος τῆς ἐκκλησίας—καλὸν γὰρ τῆς αὐτοῦ κοιμήσεως πρότερον ἐπιμνησθέντας καὶ βραχέα τοῖς περὶ αὐτοῦ διηγήμασι καταυγασθέντας, οὕτω καθ' ὁδὸν καὶ τάξιν ἐπὶ τὴν τῶν τιμίων αὐτοῦ λειψάνων φανέρωσιν τὸν λόγον μεταγαγεῖν—, οὗτος τοίνυν τοῦ θεαρχικοῦ πνεύματος, ὥσπερ ἐπὶ τοὺς ἀποστόλους πάντας, οὕτω καὶ ἐπ αὐτὸν ἄνωθεν ἐληλυθότος καὶ τὴν μακαρίαν ψυχὴν πεπληρωκότος, ἐμφύτῳ τινὶ ζήλου θερμότητι καὶ ἀγάπης θείας ὑπερβολῇ καταφλεγόμενος, πάντων μᾶλλον τῶν κατ' αὐτὸν ἁγίων ὑπὲρ τῆς τοῦ Ἰησοῦ δόξης ὡρᾶτο ζηλοτυπῶν. Ὅθεν Ἕλλησι διακατηλέγχετο, Ἰουδαίοις συνεπλέκετο, καὶ πάσαις ἐμπίπτων αἱρέσεσι κατ' αὐτοῦ συρρηγνυμέναις λαμπρὸν ὅτι μάλιστα κατὰ πάντων τρόπαιον ἀνίστη· καὶ καθάπερ τις ἄμαχος ἀριστεὺς μεταξὺ φάλαγγος περιειλημμένος πολεμικῆς, οὐ τῷ πλήθει τῶν περιστοιχούντων αὐτὸν ὠρακιᾷ, οὐ πρὸς τοὺς πόνους ἀνάνδρως μαλακίζεται, οὐδ' αὖ γε τὰ ὅπλα ῥίψας τὸν νῶτον τοῖς παίουσιν ἀγεννῶς καταπροδίδωσιν, ἀλλ' ὡς ἂν οἷός τε ᾖ καὶ ξίφει καὶ δόρατι χρώμενος οὐκ ἀνίησι τοὺς αὐτῷ προσπίπτοντας ἀναιρῶν, πρὶν ἢ παντὸς εἴξαντος δυσμενοῦς τοῖς οἰκείοις ἐκεῖνος τροπαιο-

10 κῶδ. ἀκροθήνιον.

Digitized by Google

φόρος ἀποκαταστῇ,—οὕτω καὶ ὁ τρισαριστεὺς οὗτος Στέφανος οὐχ Ἑλλήνων μόνον, ἀλλὰ καὶ Ἰουδαίων καὶ πάσης τοῦ Διαβόλου τῆς συμμορίας μέσον ἐναπειλημμένος, τοὺς μὲν πνευματοκινήτῳ γλώσσῃ καὶ ταῖς δι' αὐτῆς ἀφιεμέναις τῶν θείων λογίων βολίσι κατετόξευεν, τοὺς δὲ ταῖς παραινέσεσιν ἠμύνετο καὶ ταῖς προσευχαῖς οὐχ ὑπὸ τοῦ κακοῦ νικώμενος, ἀλλὰ νικῶν ἐν τῷ ἀγαθῷ τὸ κακόν. Ἦν τοίνυν ὁρᾶν ἐκεῖ Λιβερτίνους καὶ Ἀλεξανδρεῖς, Ἀσιανούς τε καὶ Κίλικας καὶ Κυρηναίους, φονικοὺς μὲν τὴν πρόθεσιν, φονικωτέρους δὲ τὴν ὁρμήν, καὶ θρασύτατα μὲν τῷ τῆς ἀληθείας κήρυκι συρρηγνυμένους καὶ κατὰ τῆς ἐν τῷ Στεφάνῳ πίστεως μηχανωμένους, ἄρδην δὲ πάντας τῷ αὐτοῦ λόγῳ καταρρηγνυμένους καὶ συγχυνομένους· "οὐ γὰρ ἴσχυον", φησίν, "ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι. ᾧ ἐλάλει". Ἐπειδὴ οὖν οὕτω κατ' ἄκρας ἑαυτοὺς ἑώρων ἡττωμένους, τὴν θεομάχον λοιπὸν ἐξουσίαν ἐπίκουρον ἐπικαλοῦνται, καὶ τοῦτον ἐξαίφνης ἁρπάσαντες τῷ συνεδρίῳ παρεστήσαντο, ἔγκλησιν μὲν οὐδεμίαν ἀξιόλογον ἐπάγοντες, ὅτι δέ, φασίν, Ἰησοῦν τὸν Ναζωραῖον καταλύσειν τὸν τόπον τοῦτον καὶ τὰ ἔθη Μωσέως προειρήκει, ἔνοχον εἶναι θανάτου διετείνοντο. Ὁ δὲ πραΰτητι μὲν τὴν φονῶσαν ἀνακόπτων ὁρμήν, γαληναίῳ δὲ ἤθει καὶ ἐπιεικεῖ τὴν ταραχώδη λύτταν τῆς αὐτῶν ἐπέχων ψυχῆς, καὶ ἀγγελικῷ μὲν προσώπῳ τὸ δαιμονιῶδες καταισχύνων, λόγῳ δὲ θείῳ τὴν ἀλογιστίαν ἀνατρέπων, ἱστορίας ὑπομιμνήσκει πατριαρχῶν τε καὶ προφητῶν, οἷς ἐνόμιζον τίθεσθαι, τούς τε βίους εἰς μέσον παράγει καὶ ταῖς αὐτῶν μαρτυρίαις τὴν ἀμφισβητουμένην ἀλήθειαν πιστοῦται· οἳ δέ, καθάπερ ἀσπίς, τὰ ὦτα συνέχοντες οὐδεμίαν τῇ ἀληθείᾳ πάροδον ἐπὶ τὴν οἰκείαν ἐδίδουν ψυχήν, τοῦτό γε δικαίως μόνον· οὐ γὰρ ἦν ἀξία ψυχὴ βέβηλος οὐρανίων κατακροᾶσθαι λόγων, οὐδὲ νοῦς πάθεσι παντοίοις διεφθορὼς μυστήρια καταδέχεσθαι Θεοῦ. Καὶ ὃ μὲν πατέρας αὐτοὺς ἑαυτοῦ προσηγόρευε καὶ ἀδελφούς, οἳ δὲ διεπρίοντο ταῖς ἑαυτῶν καρδίαις ἐπ' αὐτῷ· κἀκεῖνος μὲν τῆς ἄνω δόξης, ἧς διανοιγομένων αὐτῷ τῶν οὐρανῶν κατηξιοῦτο, ὅσον ἦν ἐπ' αὐτῷ ποιούμενος κοινωνούς "Ἰδού".

12 Πράξ. ς', 10.

Digitized by Google

φησί, "θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγότας καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ Θεοῦ"· οἳ δὲ καρδίᾳ τοῦτον λυττώσῃ καὶ χειρὶ φονώσῃ διαχειριζόμενοι ταῖς τῶν λίθων νιφάσι κατεχώννυον, καὶ οὕτως ὁ μέγας τῆς ἀληθείας πρωταγωνιστὴς τῇ πρὸς τὸν ἀγωνοθέτην μιμήσει καὶ διδάσκαλον τοῖς εἰς αὐτὸν πλημμελοῦσι τὴν ἄφεσιν ἐξαιτησάμενος πρὸς τὸν ἐν αὐτῷ δοξαζόμενον καὶ τῷ πνεύματι θεωρούμενον ἀνέστη. Οἷα δὲ κόσμος τῷ ὄντι βασιλικός, οἷα διάδημα κάλλους τῇ πίστει μὲν ὡς χρυσῷ, ὡς μαργαρίταις δὲ ταῖς θεολογίαις καλλωπιζόμενος, καὶ ὡς λίθοις μὲν τιμίοις τοῖς κατ' αὐτοῦ βαλλομένοις συνυφαινόμενος, ὡς ἁλουργίδι δὲ τῷ οἰκείῳ περιανθιζόμενος αἵματι, εἰς χεῖρας τῷ τῶν οὐρανῶν ἀπὸ τῆς γῆς ἀναδίδοται βασιλεῖ, πᾶσι δὲ τοῖς εἰς οὐρανὸν ἐξ ἐκείνου δι' ἀθλήσεως ἀναγομένοις οὕτω στέφανος δόξης καὶ γίνεται καὶ δείκνυται· ὁ Διάβολος δὲ διὰ πάντων, ὧν κατ' αὐτοῦ κεκίνηκεν, ἡττηθεὶς καὶ τῆς ἐν αὐτῷ πίστεως καὶ δυνάμεως ἀποκρουσθεὶς ᾤχετο.

3. Ἡμᾶς δὲ λοιπὸν ὁ λόγος ἐπὶ τὴν ἱστορίαν καλεῖ καὶ τὴν τῶν ἱερῶν λειψάνων ἀνεύρεσιν καὶ μετὰ πλείστην χρόνων περίοδον πρὸς τὴν Βασιλίδα τῶν πόλεων ἐξ Ἱεροσολύμων ἀνακομιδήν. Ἐπεὶ γὰρ τὸ ἐξαίσιον ἐκεῖνο πτῶμα διὰ τῆς νομισθείσης αὐτοῦ πτώσεως ὁ θεῖος πρωτόμαρτυς τὸν ἀντίπαλον καταβαλὼν τὸν γλυκὺν καὶ μακάριον ὕπνον ἀπεπαύσατο, συγκομίζουσι μὲν τὸ ἱερὸν ἐκεῖνο σκῆνος καὶ τίμιον ἄνδρες εὐλαβεῖς κηδεύοντες εὐλαβῶς, καὶ δὴ γλωσσόκομον ἐκ περσέας—εἶδος δὲ τοῦτο ξύλου—τεκτηνάμενοι καὶ ἐν αὐτῷ κατασφαλισάμενοι, τότε μὲν εὐθὺς ἐκ πλαγίων αὐτὸ κατέθεντο τοῦ ναοῦ· ἀνὴρ δέ τις ἐπίσημος τῷ ἔθνει, τὸ γένος οὐκ ἀγενής, τὴν παιδείαν λόγιος καὶ τῶν νόμων διδάσκαλος ἀκριβής, ὄνομα Γαμαλιήλ, οὗ καὶ ὁ θεῖος ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων ἐμνήσθη Λουκᾶς,—οὗτος γνωστὸς ὢν τῷ μακαρίῳ Στεφάνῳ καὶ τοῦ ἀνδρὸς ἐπιστάμενος τὴν ἀρετήν, προσπίπτει τοῖς ἀποστόλοις πᾶσιν ἐξαιτούμενος τὸ σῶμα λαβεῖν καὶ πρὸς τὴν αὐτοῦ κώμην, ἐγγὺς Ἱερουσαλὴμ οὖσαν, ἀπαγαγεῖν καὶ πρὸς τῷ ἰδίῳ αὐτοῦ καινῷ μνημείῳ καταθῆναι παρακαλεῖ. Οὐκ

1 Πράξ. ζ', 56. — 28 Πράξ. ε', 34 κέ.

ἀντέτειναν πρὸς τὴν αἴτησιν οἱ θεολόγοι· ἐκεῖ δὲ αὐτὸν οἱ ἀπόστολοι μετὰ τοῦ πλήθους τῶν πιστῶν ἐν ψαλμοῖς καὶ ὕμνοις ἐξ Ἱεροσολύμων μεταφέροντες καὶ ἐπὶ τεσσαράκοντα ὅλαις ἡμέραις κοπετὸν μέγαν ἐνστησάμενοι κατέθαψαν. Τούτων οὕτω γενομένων, εὐθὺς καὶ Νικόδημος, ἀνεψιὸς ὢν τοῦ Γαμαλιήλ, οὗτος ἐκεῖνος ὁ πρότερον ἐλθὼν νυκτὸς πρὸς τὸν Ἰησοῦν καὶ λογίων ἀκούσας Θεοῦ,—τότε τοίνυν ὑπὸ τῆς χάριτος κατανυγεὶς προσπίπτει τῷ Πέτρῳ καὶ τοῖς ἀποστόλοις βαπτισθῆναι καταξιῶν. Ἐπειδὴ δὲ τῆς οὐρανίας ἠξίωται δωρεᾶς ὁ ἄνθρωπος, τοῦτο γνόντες ἡ τοῦ Διαβόλου συναγωγή, ἐσκέπτοντο μὲν καὶ αὐτὸν ὥσπερ Στέφανον ἀνελεῖν, αἰδούμενοι δὲ τὸν Γαμαλιήλ, τέως μὲν ἐπεῖχον, μετὰ μικρὸν δὲ τοῦτον ἀναθεματίσαντες καὶ πᾶσαν αὐτοῦ διαρπάσαντες τὴν ὕπαρξιν, καὶ πληγὰς αὐτῷ βαρυτάτας ἐντεινάμενοι, ὑπερορίᾳ κατεδίκασαν· ὃν καὶ αὐτὸν ὁ χρηστὸς ἐκεῖνος ἀναλαβόμενος ἀνὴρ ἐπεμελεῖτο καὶ ταῖς αὐτοῦ χρείαις ἐκ τῶν ἰδίων ἐκοινώνει, ἄχρις οὗ τελειωθέντα ἐχόμενα τοῦ θείου κατέθετο Στεφάνου. Ἐπεὶ δὲ τοῖς ἔργοις τῆς πίστεως τὸν εἰρημένον Γαμαλιὴλ κατακοσμούμενον οὐκ ἦν μὴ κατὰ τὴν πίστιν τελειοῦσθαι, βραχὺς ἐν τῷ μέσῳ χρόνος καὶ αὐτὸς μετὰ τοῦ υἱοῦ Ἀβελβοὺς—εἰκοσαέτης δὲ τότε τὴν ἡλικίαν ἦν, ἀνὴρ μεγαλοφυΐᾳ καὶ συνέσει καὶ τῇ τοῦ νόμου παιδείᾳ τὸν πατέρα διαμιλλώμενος· οὗτοι γοῦν ἐν ἡμέρᾳ μιᾷ τοῦ τῆς ἀθανασίας λουτροῦ διὰ τῶν ὑψηλῶν τοῦ Κυρίου καταξιοῦνται μαθητῶν· μετὰ ταῦτα τὸν δικαίοις ὀφειλόμενον ὕπνον εὐσεβῶς ἀναπαυσάμενοι, ἔγγιστα καὶ αὐτοὶ πρὸς τοῖς λειψάνοις Στεφάνου καὶ Νικοδήμου κατετέθησαν.

4. Χρόνων οὖν πλείστων μετὰ τὴν αὐτῶν κοίμησιν παρῳχηκότων, καὶ πολλῶν μὲν ἤδη τοῖς ἀθλητικοῖς ἀγῶσι τετελειωμένων, τῶν κατὰ τῆς πίστεως δὲ παυσαμένων διωγμῶν, ἐπειδὴ γαλήνη τὴν ταραχὴν καὶ ἔαρ ἤδη καὶ θυμῆρες τὸν βαρὺν ἐκεῖνον χειμῶνα διεδέξατο, καὶ πᾶσαι μὲν φυλακαί, πάντα δὲ δεσμωτήρια καὶ πᾶν κολαστήριον ὄργανον ἀνεῖτο (ὅτε δὴ Κωνσταντῖνος μὲν ὁ μέγας πρῶτος βασιλέων τὸν βασιλέα τῶν ὅλων ἐπιγνοὺς εἰρήνης τε πρύτανις καὶ ἐλευθερίας τῷ λαῷ καθειστήκει τοῦ Χριστοῦ, οἱ

32 κώδ. πρύτανης.

τοῦ Χριστοῦ δὲ μετὰ παρρησίας τὸν οἰκεῖον δεσπότην κατὰ πᾶσαν ἐμεγάλυνον τὴν οἰκουμένην), τότε δὴ τότε καὶ ὁ μέγας Στέφανος διὰ τοῦ σεπτοῦ σώματος αὐτοῦ τὴν οἰκείαν λαμπρότερον ἀνίσχει δόξαν καὶ αὐτὸς οἷόν τι γέρας τῆς πίστεως ἢ ἀμάραντος στέφανος τῇ τε Βασιλίδι τῶν πόλεων καὶ τοῖς πιστοῖς βασιλεῦσι παρὰ τῆς δεξιᾶς ἐχαρίσθη Χριστοῦ. Ὁ δὲ τρόπος τῆς τοῦ λειψάνου φανερώσεως οὗτος. Ἦν ἄνθρωπος κατὰ τὴν κώμην οἰκῶν ἐκείνην, ἐν ᾗ ὁ πολύτιμος οὗτος κατεκέκρυπτο θησαυρός, πρεσβύτερος τὴν ἡλικίαν, πρεσβύτερος τὸ ἀξίωμα, τὸ εἶδος αἰδέσιμος, τὸν βίον αἰδεσιμώτερος καὶ σεμνότερος, τοὔνομα Λουκιλλιανός. Τούτῳ οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ τρὶς ὁ θεῖος πρώταθλος ἐπιφανεὶς ἑαυτὸν καταδηλοῖ· ἔδοξε γάρ ποτε ὁ εὐλαβὴς ἐκεῖνος ἀνὴρ ὥρᾳ τρίτῃ νυκτερινῇ, Παρασκευὴ δὲ ἡ ἡμέρα ἦν, ὡς ἐν ἐκστάσει γενόμενος ἐπιστάντα τινὰ κατιδεῖν ἄνδρα νεώτερον ἐν μεγέθει περικαλλῆ, τὴν κόμην μὲν εὐσταλῶς καθημένον, στολὴν δὲ λευκὴν ἠμφιεσμένον, ἐν ᾗ καὶ γράμματα διὰ χρυσοῦ δέδεικτο τετυπωμένα, ἐν οἷς πρῶτον ἐφαίνετο τὸ σίγμα, πορφύρεον δὲ ἦν, καὶ τῷ ἀνδρὶ σανδάλια ἐπὶ τοὺς πόδας, καὶ ταῦτα χρυσοῖς ἱμᾶσι κατεσφηκωμένα· καὶ ἐν τῇ δεξιᾷ χειρὶ χρυσῆν εἶδε τοῦτον κρατοῦντα βακτηρίαν. Τοῦτον εἶδε τὸν τρόπον ἐπιστάντα καὶ νύξαντα τῇ ῥάβδῳ τρίς, καὶ τρίτον αὐτὸν ἤκουσεν ἐξ ὀνόματος καλέσαντα, πρὸς ὃν ἔδοξεν αὐτὸς πυθέσθαι· "Τίς εἶ, κύριε"; τὸν δὲ "Ἐγώ εἰμι Στέφανος" εἰπεῖν, "ὁ πρῶτος τὸν τοῦ μαρτυρίου στέφανον αναδησάμενος· ἀλλ' ἄνελθε τὸ τάχος εἰς Ἱερουσαλὴμ καὶ τῷ ἐπισκόπῳ τῆς πόλεως πρὸς ἡμᾶς παράγγειλον κατελθεῖν καὶ τὸν τάφον ἀνοῖξαι καὶ εὐωδιάσαι καὶ τὴν ἡμῶν ἄθλησιν ἀνακηρῦξαι, ὅπως δοξασθῇ πάλιν ὁ Θεὸς ἐν ἡμῖν καὶ σπλαγχνισθεὶς ἵλεως γένηται ταῖς ἁμαρτίαις τοῦ λαοῦ· ἠχρειῶσθαι γὰρ τὸν τόπον καὶ παρημελῆσθαι, ἔνθα τὰ ἡμέτερα σώματα κατάκειται". Τὸν δὲ πάλιν ὄναρ ἀνθυπενεγκεῖν καὶ "Τίνες οὗτοι, κύριε, οἱ σὺν τῷ ὑμετέρῳ λειψάνῳ κατατεθειμένοι"; ἀκοῦσαι δὲ παραχρῆμα παρ' αὐτοῦ·

14 κῶδ. *κατ' ἰδεῖν* || *μεγέθη*. — 15 *κώμην*. — 30 *ἀνθ' ὑπηνεγκεῖν*.

Digitized by Google

"Γαμαλιήλ", φησίν, "ἐστὶν ὁ τὸν μέγαν ἀναθρέψας Παῦλον, καὶ Ἀβελβοὺς ὁ τούτου υἱός, καὶ Νικόδημος ὁ ἀνεψιός".

5. Ταῦτ' οὖν ἐκεῖνον εἰπόντα τῶν ὄψεων αὐτίκα μεταστῆναι, εἰς ἑαυτὸν δὲ τὸν πρεσβύτερον γενόμενον ἐκθαμβεῖσθαι μὲν τὴν ὅρασιν, ὡς εἰκός, παρασιωπᾶν δὲ τὸ ῥῆμα τέως τοῦτο διανοηθεὶς καθ' ἑαυτόν, ὡς, εἰ ἄρα τὰ τῆς ὁράσεως αὐτῷ μὴ διέπταισται, καὶ δευτέρας τάχα καὶ τρίτης ἐμφανίσεως ἐπιτύχοι. Τοίνυν τῇ μετ' αὐτὴν Παρασκευῇ, κατὰ τὴν αὐτὴν τῆς νυκτὸς ὥραν, ὁμοίῳ τῷ σχήματι πάλιν ὁ ἅγιος ἐπιστάς, "Ἵνα τί", φησίν, "ἠμέλησας καὶ οὐκ ἀνῆλθες ἐξηγήσασθαι τῷ ἐπισκόπῳ τὰ ἐντεταλμένα σοι"; τὸν δὲ δόξαι πάλιν ἀποκρίνασθαι πρὸς τὴν πεῦσιν καὶ εἰπεῖν "Σύγγνωθι, κύριε· οὐ γάρ μοι ἐδόκει τοῦτο χρηματίζειν ἀρεστὸν ἐκ μιᾶς ὀπτασίας πᾶσαν τὴν πόλιν καὶ τὴν ἐκκλησίαν θορυβεῖν, ἐπὶ δυσὶ δὲ καὶ τρισὶ μάρτυσι πᾶν ῥῆμα σταθήσεσθαι καὶ τῆς Γραφῆς λεγούσης ἀκούω". Ὡς οὖν ταῦτα λέγειν ᾤετο, πρὸς τὸν φανέντα ὁρᾷ, τῆς θύρας ἐξιόντα καὶ πάλιν εὐθὺς ἐπανιόντα, καί γε τοιάδε λέγοντος ἔδοξεν ἀκοῦσαι· "Τί ὅτι", φησίν, "ἀμφέβαλες τῇ διανοίᾳ σου, ὡς εἴ γε ἄρα καὶ εὕροιμι τοὺς τέσσαρας ὁμοῦ, πῶς ἂν ἀπὸ τῶν ἄλλων δυναίμην τὸ τοῦ Στεφάνου διακρῖναι σῶμα; καὶ γὰρ οὐ συγκεχυμένως, ὡς ὑπώπτευσας, τὰ λείψανα κατάκειται, ἕκαστον δὲ τούτων ἰδίαν ἔχει θήκην γράμμασι σεσημασμένην". Ταῦτα εἶπεν· εἶτα ἐξέτεινε τὴν χεῖρα καὶ "Θές σου", φησί, "τὸν νοῦν, ὦ πρεσβύτερε, καὶ ὅρα". Εὐθὺς οὖν ὁρᾷ σκεύη τέσσαρα καλάθοις ἐοικότα καὶ τῶν ἐκείνου χειρῶν ἐξηρτημένα, ὧν τὰ τρία μὲν χρυσᾶ, ἀργυροῦν δὲ διεφαίνετο τὸ ἕν. Οἱ μὲν οὖν δύο χρυσοῖ κάλαθοι πλήρεις ῥόδων ὡρῶντο λευκῶν, οὓς διὰ τῆς ἀριστερᾶς ἀνεῖχε χειρός· ὁ τρίτος δὲ ῥόδων ὦπται μεστός, τρόπον αἵματος μεστός· τούτῳ τέταρτος ὁ ἀργυροῦς συνηρτημένος ὥσπερ δίδυμος ἐφαίνετο, πλήρης καὶ αὐτὸς κρόκων εὐόσμων καθορώμενος. Τούτους δὲ τῆς δεξιᾶς χειρὸς ἐξηρτημένους ἔχων "Ὁρᾷς; ἔφη· "ταῦτά σοι σύμβολα τῶν ζητουμένων· ὁ μὲν τῶν ἐρυθρῶν γέμων ῥόδων τὸ ἐμόν σοι σῶμα παραδείκνυσι· μόνος γὰρ ἐκ τού-

7/8 κῶδ. *μεταυτήν*.— 19 *δυναίμιν*. — 20 *ὑπόπτευσας*. — 26 *πλήρης ῥ. ὀρῶντο*.

Digitized by Google

των ἐγὼ τῷ μαρτυρικῷ αἵματι τοῦ σώματος ἔβαψα τὴν στολήν· ὁ τῶν λευκῶν δὲ τό τε τοῦ Νικοδήμου καὶ τοῦ Γαμαλιὴλ δι' αἰνίγματος ὑποδηλοῦσιν· ὁ ἀργυροῦς δὲ κάλαθος εἰκόνα παραφαίνει τοῦ 'Αβελβούς, διὰ τοῦτο δεικνύμενος ἀργυροῦς, ὅτι καθαρὸς ὢν ἐκεῖνος τὴν σάρκα καὶ ἀμίαντος ἐν τῷ ναῷ τοῦ Θεοῦ περιπολεῖ". Διαστάσης δὲ καὶ ταύτης τῆς ὄψεως, ἀναστὰς ὁ ἄνθρωπος, ἐξεπλήττετο μὲν ἐφ' οἷς ἑωράκει καὶ διηπορεῖτο, ἐσίγησε δὲ ὅμως πάλιν.

6. Πάλιν οὖν κατὰ τὴν ἐπιοῦσαν Παρασκευὴν τῷ ὁμοίῳ τρόπῳ παραστὰς ὁ τρισμακαριώτατος Στέφανος, καὶ σφοδροτέραις ἐπαπειλησάμενος παραγγελίαις, εἰς ἔκστασιν ἐνῆκε μείζω. Ὁρᾷ γοῦν ἑαυτὸν ὁ πρεσβύτης ἁρπαζόμενον καὶ εἰς Ἱερουσαλὴμ ἀνιόντα μετέωρον, καὶ τὴν τοῦ λειψάνου φανέρωσιν τῷ ἐπισκόπῳ καταγγέλλοντα, παρ' οὗ καὶ τοιούτων κατακούειν ἔδοξε φωνῶν· "Εἰ ταῦτα", φησίν, "ὦ ἀγαπητέ, κατὰ τοὺς ἡμετέρους καιροὺς εὐδόκησεν ὁ Θεὸς ἐκφάναι, ἐμὲ δεῖ λαβεῖν ἐκεῖθεν τὸν βοῦν τὸν ἄρρενα, τὸν ἀροτῆρα· καὶ γὰρ ἡ πόλις ἡμῶν δι' ἁμαξῶν ὑπηρετεῖται· λείπει δὲ βοῦς τῇ ἁμάξῃ τῇ μεγάλῃ, ὃν ἔφης τρέφεσθαι παρὰ σοί. Δίκαιον οὖν μᾶλλον αὐτὸν ἔχειν τὴν πόλιν, σοὶ δὲ οἱ λοιποὶ δύο βόες καὶ τὸ δαμάλιον ἀρκέσουσι πρὸς τὴν τοῦ κατὰ σὲ χωρίου ἐργασίαν". Ταῦτα κατ' ἐκείνην τὴν ἔκστασιν ὁ Λουκιλλιανὸς λέγειν τε καὶ ἀκούειν ὑπελάμβανεν· οὐ μάτην, ὡς ἔοικεν· ἐδηλοῦτο δὲ διὰ τούτων, οἶμαι, τῶν μὲν ἄλλων ἡ ἐπὶ χώρας ἄφεσις, τοῦ ἱεροῦ δὲ Στεφάνου ἡ πρὸς τὴν πόλιν ἀνακόμισις. Ἔτι δὲ τῷ ἀνδρὶ τῆς τοιαύτης ἐκστάσεως ἐπικειμένης, ᾤετο τοῖς οἰκείοις ἐξ αὐτῆς ἀποκαθίστασθαι, ἀκούειν δὲ πάλιν πρὸς τοῦ ἀποκαθιστῶντος, "Εἴ γε βούλει", λέγοντος "τὸν ποθούμενον εὑρεῖν, κατ' ἐκεῖνον ζήτει τὸν τόπον, ὃν Σύροι μὲν Λαλαγαβραὰμ καλοῦσιν, Ἑλλὰς δὲ γλῶσσα τοῦτο χωρίον ἑρμηνεύει Θεοῦ".

7. Τρίτην δὲ ταύτην ὅρασιν ὁ εὐλαβὴς ἐκεῖνος πρεσβύτης χρηματισθείς, πυνθάνεται μὲν ἐγερθεὶς τὸ δηλωθὲν αὐτῷ χωρίον, ἐλθὼν δὲ καὶ τὸν τόπον ἡσυχῇ κατασκεψάμενος, ἄνεισιν εἰς τὴν

3 κῶδ. *παραφένει*. — 11 *παραγγελείαις*. — 28 *ζητεῖ*.

πόλιν εὐθύς, καὶ τῷ ἀρχιερεῖ προσελθών, Ἰωάννης δὲ τότε τῆς ἐκκλησίας Ἱεροσολύμων καθηγεῖτο, τούς τε λόγους αὐτῷ πάντας καὶ τοὺς τῶν ὀπτασιῶν τρόπους ἐξηγήσατο· ὃ δὲ χαρᾶς ἀφάτου πλησθεὶς καὶ τῷ τῶν θαυμασίων εὐχαριστήσας Θεῷ προτρέπεται κατὰ τὸν δηλωθέντα διορῦξαι τόπον· "Ἐπειδὰν δέ", φησίν, "εὕρῃς, ἀκουστὸν ὅτι τάχιστα ποίησον ἡμῖν". Αὐτὸς δὲ τοὺς ἐπιτηδείους πρὸς τὴν ὀρυγὴν λαβὼν πρόσεισι τῷ τόπῳ μετὰ σπουδῆς, καὶ δὴ βουνάριόν τι περὶ τὸν χῶρον κατιδὼν ἀνεστώς, ἐκεῖ καταχεχῶσθαι τὸν ζητούμενον ὑπέλαβε θησαυρόν· διὸ καὶ τοῦτο διορύσσειν αὐτίκα βουλῆς γίνεται. Νύκτωρ δὲ αὐτῷ πάλιν ὁ ἅγιος ἐπιφανείς, "Μὴ βουληθῇς", ἔφη, "κατὰ τὸν βουνὸν εἰς κενὸν καμεῖν· οὗτος γὰρ εἰς μαρτύριον ἐτέθη τοῦ ἐκεῖ συντελεσθέντος ἐφ' ἡμῖν κοπετοῦ· ἀπὸ τοῦ βουνοῦ δὲ πρὸς βορρᾶν ὡς ἀπὸ πηχῶν ἑβδομήκοντα πέντε τὸ ὄρυγμα ποιοῦ". Τὰ αὐτὰ δὲ καὶ διά τινος ἄλλου μονάζοντος σημαίνων ἐκώλυε τοῦ βουνοῦ τὴν ὀρυγήν· ἀλλ' ὅμως ἐκεῖνοι μὴ πεισθέντες, δύσπιστον γὰρ ἄνθρωπος, καὶ μόλις ταῖς φωναῖς ἕωθεν δὲ μέχρι τρίτης ὥρας διασκάψαντες καὶ βαθύναντες ἐκεῖ, στήλην εὑρίσκουσιν λιθίνην γράμμασι γεγραμμένην ἑβραϊκοῖς· ἦν δὲ τῶν γεγραμμένων ὁ νοῦς· "Τοῦτο τὸ χωρίον κοπετὸς δικαίων καὶ ἁγίων θρῆνος ὠνόμασται". Ἐκεῖθεν λοιπὸν ἀποστάντες πρὸς τὸν ὑποδεδειγμένον ἀφικνοῦνται χῶρον, ὅπου δὴ σύμμετρον ποιησάμενοι καταγῆς ὀρυγὴν πάντα σαφῶς, κατὰ τὴν ὑποφανεῖσαν ὅρασιν, ἀνεῦρον καὶ ὑπὸ γῆν κεχρυμμένον ἀνίσχει φωστήρ, καὶ ὁ ποθούμενος ἐκπέφανται θησαυρός.

8. Ὁρῶνται γοῦν θῆκαι τέσσαρες, ἀλλήλων ἐγγὺς εὐθημόνως κατακείμεναι, ἑκάστῃ δὲ τίτλος ἐπικείμενος Σύρων γράμμασι τὴν τοῦ ἔνδον ἐναποκειμένου προσηγορίαν κατεδήλου. Ἄφνω δὲ σεισμὸς γίνεται μέγας, ὥστε τὰ θεμέλια τρομᾶσαι τῆς γῆς· ἀνακεκίνηται δὲ και οἷον ἀνέθαλε τοῦ πρωτομάρτυρος ἡ σορός, ναὶ μὴν καὶ εὐωδία ὑπερφυῶς ἡδεῖα πληθυνθεῖσα μικροῦ δεῖν τοὺς παρόντας κατεκοίμιζε· φωναὶ δὲ θεῖαι οὐρανόθεν ῥηγνύμεναι, Ἀγγέλων Θεοῦ δηλαδή, "Δόξα ἐν ὑψίστοις" βοώντων "Θεῷ καὶ ἐπὶ

32 Λουκᾶ β', 14.

γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία", εἰς δέκατον ἐξηκούοντο σημεῖον· καὶ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ θεραπεῖαι παραυτὰ πλεῖσται τοῖς ὑπὸ ποικίλων παθῶν ὀχλουμένοις ἐνεργούμεναι τὴν μεγάλην περὶ ἡμᾶς τοῦ Θεοῦ κηδεμονίαν καὶ τὴν τοῦ πρωτομάρτυρος χάριν ἐκήρυττον σαφέστατα.

9. Αὐτίκα τοίνυν ὁ τῶν Ἱεροσολύμων ἱεράρχης ἅμα δυσὶν ἄλλοις παρατυχοῦσιν ἐπισκόποις καὶ τῷ κλήρῳ παντὶ παραγενόμενος, καὶ πᾶν δὲ τὸ πλήρωμα τῶν πιστῶν ἐν εὐφροσύνῃ καὶ χαρᾷ συνδραμόντες πνευματικῇ, καὶ τὸ σεπτὸν ἐκεῖνο καὶ ἅγιον σῶμα προσκυνήσαντες, καὶ μετὰ φώτων καὶ ὕμνων καὶ θυμιαμάτων καὶ τῆς πρεπούσης δοξολογίας καὶ φαιδρότητος εἰς τὴν ἁγίαν ἀγαγόντες πόλιν, τέως μὲν εἰς τὴν ἁγίαν αὐτὸ κατέθεντο Σιὼν [καὶ] ναὸς τῷ ἁγίῳ σεβάσμιος κατὰ τὴν πόλιν αὐτὴν οἰκοδομεῖται. ὁ δὲ ᾠκοδομηκὼς Ἀλέξανδρος ἐκεῖνος ὁ συγκλητικὸς ἦν, ὃς πολλὰ τοῦ ἀρχιερέως δεηθεὶς ἐν αὐτῷ τὸ τίμιον λείψανον μετὰ πάσης μετέθηκε σεβασμιότητος. Οὔπω πλείους ἢ πέντε μετ' ἐκείνην διῆλθον τὴν μετάθεσιν ἐνιαυτοί, καὶ αὐτὸς ἀρρωστήσας τὴν ἐπὶ θανάτῳ καὶ γλωσσόκομον μὲν ἑαυτῷ περσέϊνον τῷ τοῦ ἁγίου παρόμοιον κατασκευασάμενος, ἔγγιστα δὲ τούτου κατατεθῆναι διαθέμενος, κεκοίμηται.

10. Τούτων οὕτω γενομένων, μετὰ χρόνους ὀκτὼ τῆς Ἀλεξάνδρου τελευτῆς ἡ αὐτοῦ γαμετή, διά τε τὸν αὐτῆς πλοῦτον καὶ τὴν ὥραν τοῦ σώματος πρὸς γάμον αὖθις ἐλθεῖν ὑπὸ πολλῶν ἐνοχλουμένη, ἵνα μὴ τοῦτο πρᾶξαι καταναγκασθῇ, βουλὴν βουλεύεται τὸ σῶμα μὲν τοῦ ἀνδρὸς αὐτῆς ἀναλαβεῖν, πρὸς τὸν πατέρα δὲ καὶ τὴν οἰκείαν πόλιν Κωνσταντινούπολιν ἀναδραμεῖν. Κυρίλλου δὲ τότε τοῦ ἐν ἁγίοις τὸν θρόνον διέποντος τῶν Ἱεροσολύμων, προσελθοῦσα Ἰουλιανὴ—τοῦτο γὰρ ὄνομα τῇ γυναικί—παρῃτεῖτο τοῦ ἀνδρὸς τὸ σκῆνος λαβεῖν καὶ πρὸς τοὺς οἰκείους ἐπανελθεῖν· αὐτοῦ δὲ τοῦτο μὴ ἐπιτρέποντος ποιεῖν, γράμμασι μὲν ἐκείνη τὴν αὐτῆς γνώμην διασημαίνει τῷ πατρί, σάκραν δὲ ἐξαιτεῖται βασιλικήν, ὥστε ἀνυπερθέτως τὸ λείψανον ταύτῃ δοθῆναι τοῦ ἀνδρός. Γενομένου οὖν τούτου καὶ τοῦ Κυρίλλου πρὸς τὴν δεσποτικὴν κέλευσιν ἀντειπεῖν

Digitized by Google

οὐ δυναμένου, πράως οὑτωσὶ καὶ ἠπίως ὁ πατριάρχης αὐτὴν προσκαλούμενος, "Πῶς", φησίν, "ὦ γύναι, τὸ τοῦ ἀνδρὸς λείψανον αἰτεῖς λαβεῖν; ἢ οὐκ οἶδας, ὡς ὁμοῦ τῷ ἁγίῳ κατατέθειται Στεφάνῳ καὶ τὸ σκεῦος ὅμοιον, ὡς καὶ ἡμᾶς ἀγνοεῖν ὁποῖόν ἐστι τὸ ζητούμενον παρὰ σοῦ";—"Ἀλλ' ἐγώ,", φησίν, "ὦ δέσποτα, τὸ τοῦ ἀνδρὸς αὐτὴ κατασκευασαμένη, ἀκριβῶς οἶδα καὶ μόνον, εἰ ἐπιτρέψειας, τὸ οἰκεῖον παρεύσομαι λαβοῦσα".—"Καὶ εἴπερ σαφῶς οἶδας", εἶπεν αὖθις ἐκεῖνος, "εἰσελθοῦσα ἆρον τὸ σὸν καὶ ἴθι εἰς εἰρήνην".

11. Εὐθέως οὖν αὐτῇ τῆς καταθέσεως διανοιγείσης, θείᾳ τινὶ προνοίᾳ περιπλανηθεῖσα Ἰουλιανή, τὸ τοῦ ἀνδρὸς ἀφεῖσα γλωσσόκομον, τῷ τοῦ ἁγίου σφοδρότερον περιεπλέκετο καὶ γοερὰς ἠφίει φωνάς, καὶ δακρύων προέχεε πηγάς, τοῦτο εἶναι τὸ ζητούμενον, τοῦτο τοῦ ἀνδρὸς αὐτῆς καθεστάναι τὸ σκήνωμα λαμπραῖς διισχυριζομένη φωναῖς. Ἀδείας τοίνυν ἐνδοθείσης αὐτῇ, ἀνέλαβε τοῦτο προθυμίᾳ πολλῇ. Εὐθὺς οὖν παρασκευασαμένη, εἶτα τῷ ἀρχιερεῖ καὶ πᾶσι συνταξαμένη τοῖς γνωστοῖς, εἴχετο πάνυ χαίρουσα τῆς ὁδοῦ. Ἡ μὲν οὖν εἰς τὸ οἰκεῖον αὐτῆς ἐκάθητο βαστέρνιον, τὸ ἱερὸν δὲ λείψανον ἐν λεκτικίῳ ἐφ' ἡμιόνου καταθεῖσα, καὶ τοὺς παῖδας αὐτῆς ἔμπροσθέν τε καὶ ὄπισθεν ἕπεσθαι συντάξασα, οὕτω τὴν ὁδοιπορίαν εὐθύμως ἄγαν ἐποιεῖτο. Ἀλλὰ τίς ἂν ἕκαστα τῶν θαυμασίων ὑμνῆσαι τοῦ Θεοῦ; τίς δὲ πάσας αἰνέσειε τὰς κατὰ τὴν ὁδὸν γενομένας διὰ τοῦ πρωτομάρτυρος μεγαλουργίας; δι' ὅλης γὰρ τῆς νυκτὸς ὕμνος Ἀγγέλων κατ' οὐρανὸν καὶ θεοπρεπὴς ἐξηκούετο δοξολογία, ὀσμῆς δὲ ὁ τόπος εὐώδους ὡς μύρου πολλοῦ καταχυθέντος ἐπληροῦτο, καὶ τὰ πονηρὰ δὲ πνεύματα κάτωθεν οἰμώζοντα "Οὐαὶ ἡμῖν" βοαῖς ἔκραγε συχναῖς, "οὐαί, οὐαί, ὅτι Στέφανος μέσον παράγει ἡμῶν, δεινῶς μαστίζων ἡμᾶς". Τούτων ἀκούοντες οἱ ἄνθρωποι τῶν φωνῶν ἐξεθαμβοῦντο καὶ φόβῳ συνείχοντο καὶ τρόμῳ παρελύοντο· ᾔδεσαν γὰρ ἤδη καὶ αὐτοὶ διὰ τῶν τεκμηρίων, ὡς πλάνη περὶ τὴν τοῦ λειψάνου γέγονεν ἀνάληψιν. Ὅμως ἡσυχῇ τὴν ἐπὶ θάλασσαν κατῄεσαν, τῶν ζώων, ὥσπερ τινὸς σφοδρῶς αὐτὰ κατελαύνοντος, ἐπειγομένων.

17 κώδ. *ἐκάθιτο.* — 21 *ἐνέσειε.* — 29 *ἤδεισαν.*

Digitized by Google

12. Φθάνουσι τοίνυν τὴν Ἀσκάλωνα, πόλιν παράλιον, ὅπου δὴ πλοῖον εὗρον εὐθὺς πρὸς τὴν Κωνσταντινούπολιν ἐξορμοῦν. Τοῦτο πεντήκοντα χρυσίνων ἡ γυνὴ μισθωσαμένη καὶ τὸν θεῖον τοῦτον πρῶτον ἐναποθεμένη κοσμίως θησαυρόν, εἶτα καὶ αὐτὴ μετὰ τῶν οἰκείων αὐτῆς πάντων ἐπιβᾶσα, καὶ οὕτως ἀνέμῳ ἐπιτηδείῳ χρώμενοι σὺν εὐθυμίᾳ πάσῃ διήνυον τὸν πλοῦν. Ἐπεὶ δὲ κατὰ μέσον τοῦ πελάγους ἦσαν, ἄφνω περιπίπτουσι τρικυμίᾳ δεινῇ, καὶ δὴ τῆς θαλάσσης αὐτοῖς ἀγριουμένης καὶ αὔτανδρον καταπιεῖν τὸ σκάφος ἐπωρυομένης, φόβῳ δεινῷ περισχεθέντες, τῷ ἁγίῳ πάντες ἅμα πολλοῖς δάκρυσι καὶ ἱκετηρίοις προσέπιπτον βοαῖς. Ἐξαίφνης οὖν αὐτοῖς εὐωδίας ὑπερφυεστάτης ἐκδοθείσης, ὅπερ ἐναργὲς ἦν τεκμήριον τῆς τοῦ ἱκετευομένου παρουσίας, ἀκοῦσαι φωνῆς παρ' αὐτοῦ "Μὴ φοβεῖσθε· ἐγὼ μεθ' ὑμῶν εἰμί". ἅμα δὲ τῷ λόγῳ καὶ ὁ ἄνεμος ἐκόπασε καὶ εἰς μεγάλην κατέστη γαλήνην ἡ ταραχή· πλεονάκις ἑώρων.φῶς μέγα νυκτὸς ἐπιφαῖνον τῷ λειψάνῳ, καὶ Ἀγγέλων ἐπήκουον δοξολογίας, καὶ εὐωδίας πληρούμενοι θάρσους ἅμα καὶ θάμβους ἐπληροῦντο. Ἐπεὶ δὲ πλησίον ἦσαν τῆς Ἀβύδου, ἔδει δὲ τούτους διὰ τῶν καλουμένων Στενῶν παραπλεῖν, χαλῶσι μὲν τὸ ἱστίον, πειρῶνται δὲ λαθεῖν, εἴ γε ἦν δυνατόν, τὸν ἐκεῖ τοὺς παροδεύοντας ἐρευνώμενον. Γίνεται τοίνυν μέγας ἄφνω σεισμὸς καὶ ἡ θάλασσα ἐταράττετο, καὶ ἡ γῆ ἐσείετο, ἕως παρώδευσε τὸ πλοῖον. Τί οὖν; ἐπιβοῶνταί τινες τὸν ἄρχοντα, δαιμονιώδεις ἄνθρωποι δηλαδή, καὶ παροτρύνουσιν, "Οὐκ ἂν φθάνοις" εἰπόντες "τουτὶ τὸ πλοῖον καταδραμεῖν καὶ πυρπολῆσαι; ἢ οὐκ οἶδας, ὡς ταῖς αὐτῶν μαγγανείαις ὁ γενόμενος γέγονε σεισμός"; Αὐτίκα τοίνυν πέντε δρόμωνας ἐκεῖνος παρασκευασάμενος ἐπέταττεν ὅτι τάχιστα φθάσαντας πυρπολεῖν· προσηγγικότες δὲ ἤδη τῷ τοῦ ἁγίου πλοίῳ, ἀγγελικῇ δυνάμει καὶ ἀοράτῳ παρελύθησαν χειρί, καὶ οὕτω προνοίᾳ κρείττονι πάσης ἐπηρείας διασωθέντες οἱ περὶ τὸν ἅγιον, προσορμίζονται τῇ Χαλκηδόνι.

13. Ἐν ἡμέραις δὲ πέντε τοῦ ἁγίου διατρίβοντος ἐκεῖ, πάντες οἱ ὑπὸ πνευμάτων ὀχλούμενοι πονηρῶν ἐγγίζοντες ἐβόων·

2 κῶδ. *ἐξώρμουν.* — 6 *ἐπιτιδείω.* — 7 *καταμέσον.*

"Ὦ, ὤ, Στέφανος [ὁ] ὑπὸ Ἰουδαίων λιθοβοληθεὶς ἐξ Ἱερουσαλὴμ ἧκεν ἄρτι βασανίσων ἡμᾶς"! Οὕτω κράζοντα καὶ ὥσπερ ὑπὸ πυρὸς τὰ Δαιμόνια κατελαυνόμενα τῶν ἀνθρώπων ἐδραπέτευεν· πάντες δέ, ὅσοις ἐνέσκηψε νόσος παντοδαπή, τῇ ἁγίᾳ σορῷ προσπελάζοντες, ὑγιεῖς εὐθέως ἐγίνοντο, δοξάζοντες τὸν Θεόν. Ἐντεῦθεν ἀγαθὴ φήμη τὴν βασιλίδα διατρέχουσα, χαρᾶς μὲν καὶ προθυμίας ἐπλήρου τοὺς χριστιανούς, λύπης δὲ καὶ ἀγανακτήσεως τοὺς ἔτι τῷ Ἑλληνισμῷ προστετηκότας. Ἐντεῦθεν καὶ βασιλεὺς ὁ μέγας διὰ τοῦ τῆς βασιλίδος ἱεράρχου—Μητροφάνης δὲ ὁ μακαριώτατος ἦν—τὴν τοῦ ἁγίου πυθόμενος ἐπιδημίαν ἐξίστατό τε καὶ διηπορεῖτο, πῶς ἂν πιστεῦσαι δύναιτο τῇ αὐτοῦ πόλει τηλικοῦτον παραγεγονέναι ἀγαθόν· ἀνηνέχθη δὲ αὐτῷ καὶ περὶ Ἰουλιανῆς, ἥτις αὐτίκα δὴ παραστᾶσα τῷ βασιλεῖ καὶ τὸν τρόπον τῆς τοῦ σώματος ἀνακομίσεως ἐρωτωμένη πᾶσαν ἑξῆς ὑφηγεῖτο τὴν παρακολουθήσασαν ἀλήθειαν, καὶ ὡς Ἀλεξάνδρου τοῦ συγκλητικοῦ γεγόνει γυνή, καὶ ὅτι οὗτος πρὸ χρόνων ἀποβιούς, ὅτε ναὸν τῷ πρωτομάρτυρι ἐξ οἰκείων ἀναλωμάτων ἐδείματο, ἔγγιστα τούτῳ ταφῆναι ἐν ὁμοιοτάτῳ γλωσσοκόμῳ διετάξατο, καὶ ὡς αὐτὴ παρὰ πολλῶν ὀχλουμένη καὶ μὴ βουλομένη γῆμαι τὸ τοῦ ἀνδρὸς βεβούλευται λείψανον ἀναλαβεῖν καὶ πρὸς τὸν οἰκεῖον πατέρα καὶ τὴν πόλιν ταύτην ἀναδραμεῖν· ὑπεμίμνησκε δὲ καὶ τῆς κελεύσεως, τῆς δι' αὐτὴν τῷ τῶν Ἱεροσολύμων ἀρχιερεῖ καταπεμφθείσης, καὶ ὅτι "οἰκονομίᾳ θείᾳ δηλονότι περιπλανηθεῖσα τὸ τοῦ ἁγίου λείψανον ἀντὶ τοῦ ἀνδρὸς ἥκω φέρουσα· εἰ δέ γε ταῦτα", φησίν, "βεβαιότερον ἡ ὑμετέρα γνῶναι βούλεται θειότης, Ἑβραῖος αὐτίκα νῦν παραγενέσθω καὶ τὸν ἐπὶ τῷ γλωσσοκόμῳ τίτλον ἀναγνώτω, καὶ δι' αὐτοῦ τὸ ἀληθές, ὦ βασιλεῦ, ἀκριβῶς εἴσῃ".

14. Εὐθὺς οὖν τοῦ αὐτοκράτορος ἐπισπουδάσαντος, Ἰουδαῖός τις ἐλθὼν καὶ τὴν ἐπιγραφὴν ἀναγνοὺς ἔφη· "Ἀληθῶς οὗτός ἐστιν ὁ μέγας Στέφανος, κἀγὼ πιστεύω δι' αὐτοῦ Χριστῷ, ὅτι παράδοξα εἶδον οἱ ὀφθαλμοί μου σήμερον". Ταῦτα Κωνσταντῖνος ὁ φιλευσεβὴς βασιλεὺς ἀκηκοώς, καὶ πλείστης ὅσης ἀγαλλιάσεως

18 κῶδ. ὁμοιωτάτω.

Digitized by Google

πληρωθείς, τῷ ἁγίῳ προσέταξεν ἀρχιερεῖ μετὰ παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ προσυπαντὴν γενέσθαι καὶ μετὰ τιμῆς ἁπάσης καὶ ἀμυθήτου σεβάσματος δοξολογοῦντας εἰς τὰ βασίλεια τὸν ἅγιον ἐνεγκεῖν. Προλαβοῦσα τοίνυν Ἰουλιανὴ καὶ διαπεράσασα τοῦτον εἰς τὸ ἐπιλεγόμενον ἤγαγε Σταυρίον· ὅθεν δὴ τὰς ἡμιόνους ὑποζεύξαντες τῷ ἁγίῳ ἐπὶ τοῦ ἅρματος καὶ τὴν ἁγίαν αὐτῷ ἐπιθέμενοι σορόν, ἤλαυνον ὡς ἐπὶ τὰ βασίλεια· ταύτῃ τοι καὶ Ζεῦγμα τὸν τόπον ἐκεῖνον ἔφασαν κατωνομάσθαι.

15. Πάντα μὲν οὖν κατ' εἶδος τὰ τοῦ ἁγίου θαυμάσια, ὅσα κατὰ τὴν εἴσοδον ἐκείνην πεποίηκεν, εἰ καὶ ἡμῖν καταλέγειν οὐ δυνατόν, ἀλλ' οὐ δήπου δίκαιον ἂν εἴη καὶ κατασιγῆσαι πάντα· ὀλίγα δέ τινα, πρὸς τὴν τῆς θείας δυνάμεως ἔνδειξιν, εὔλογον ἐπιτόμως ἐντάξαι τῇ γραφῇ. Ἐν ὅσῳ γὰρ ὁ λαὸς ηὐτρεπίζετο πρὸς τὴν τοῦ ἱεροῦ λειψάνου προπομπήν, γυνή τις ἐν αὐτῷ τῷ τόπῳ λαχοῦσα τὴν οἴκησιν, πνεῦμα πύθωνος ἔχουσα, ἀνακέκραγε βοῶσα· "Ὢ βία! πόθεν ἡμῖν ὁ πρωτόμαρτυς οὗτος Στέφανος ἐπῆλθεν; πόθεν ἡ δεινὴ μάστιξ αὕτη τοῖς ἡμετέροις ἐπεφοίτησε τόποις"; Πολλὰ δὲ κράξαν τὸ πνεῦμα καὶ διασπαραξάμενον ἐξῆλθε, μηδὲν βλάψαν αὐτήν. Ἄλλη δὲ κατὰ τὸν αὐτὸν τόπον οἰκοῦσα, χρόνοις δὲ πολλοῖς τῷ τῆς αἱμορροίας κατεσχημένη πάθει, ἀκούσασα τοῦ ὄχλου, ὡς ὑδάτων θορυβούντων πολλῶν, καὶ ὥσπερ ἐν ἐκστάσει γενομένη, ἀκούειν ἔδοξε φωνῆς, "Ἀνάστα" λεγούσης "καὶ κολλήθητι τῷ ἅρματι Στεφάνου τοῦ ἀπὸ Ἱεροσολύμων νῦν ἐπιδεδημηκότος". Τῆς δὲ ταχὺ διαναστάσης καὶ τοῦ ὀχήματος ἔγγιστα γεγενημένης, παραυτίκα τὸ αἷμα μὲν ἐξηράνθη, αὐτὴ δὲ τελείας αἰσθηθεῖσα τῆς ἰάσεως, ἐβόα χαίρουσα πάνυ καὶ δοξάζουσα τὸν Θεόν. Ἀνὴρ δέ τις τῶν ἐν ἀξιώματι καταλογιζομένων στρατιωτικῷ, καὶ αὐτὸς ἐκεῖ κατὰ τὸ Ζεῦγμα μένων, υἱὸν εἶχε παραλελυμένον ἐκ γενετῆς, ὡς ἑκκαίδεκα χρόνων καθεστῶτα. Οὗτος ἰδὼν τὰ διὰ τοῦ ἁγίου γινόμενα θαυμάσια, τὸν υἱὸν ἐπ' ὤμων ἀναλαβὼν καὶ τῷ ἁγίῳ προσαγαγών, ἔμπροσθεν ῥίπτει τοῦ ὀχήματος· κατ' αὐτὴν δὲ τὴν ὥραν ὁ παράλυτος ἀναστάς, καὶ τοῦ τιμίου σκεύους ἐκείνου περι-

15 πνεῦμα πύθωνος] Πράξ. ιϛ', 16.

*

δεδραγμένος, ἔκραξε φωνῇ ἰσχυρᾷ· "Ὁ τῶν χρονίων με δεσμῶν καὶ τῆς χαλεπῆς κατακλίσεως διὰ τοῦ θείου σου πρωτομάρτυρος ἀνορθωσάμενος, εὐχαριστῶ σοι, δέσποτα κύριε Θεέ, ὅτι ἐπισκεψάμενος ἠλέησάς με". Καὶ πάντες δὲ οἱ λαοὶ τὰ παράδοξα θεώμενοι δόξαν τῷ τῆς δόξης ἐπεκρότουν Θεῷ.

16. Εἷλκον τοιγαροῦν αἱ ἡμίονοι τὸ ἅρμα, τοῦ τε μεγάλου ἀρχιερέως καὶ τοῦ κλήρου παντὸς καὶ τοῦ λαοῦ παντός, ἀρχόντων καὶ ἀρχομένων, νεανίσκων καὶ παρθένων, πρεσβυτέρων καὶ νεωτέρων, καὶ πάσης τῆς πόλεως, τῶν μὲν προηγουμένων, τῶν δὲ παρεπομένων καὶ πάσας ἀγυιάς, ἀμφόδους τε καὶ πάσας στενοχωρούντων ὁδοὺς καὶ τὴν θαυμασίαν ἐκείνην καὶ παναρμόνιον ἀνακρουομένων ὑμνῳδίαν· ἤγοντο δὲ τὰ ζῷα συντόνως, ἕως εἰς τόπον ἦλθον Κωνσταντιανὰς ὀνομαζόμενον. Ἐκεῖ δὴ γενόμεναι, καὶ ὥσπερ τινὶ δεσμῷ βιαίως κρατούμεναι, μεταβαίνειν οὐ κατίσχυον· ἐγκειμένων δὲ τῶν ἡνιόχων καὶ ταῖς μάστιξιν αὐτὰς ἀποτόμως καταικιζομένων, ἔμενον οὐδὲν ἧττον ἀμετακίνητοι καὶ ἀμετάστατοι. Ταῦτα δηλοῦται κατατάχος τῷ βασιλεῖ· ὁ δὲ δώδεκα ἄλλας εὐθὺς ἡμιόνους ἀποστέλλει, ὡς, καμουσῶν τῶν πρώτων, ταύτας ἑλκύσαι τὸ ὄχημα δυνησομένας· καὶ αὐτῶν δὲ ὑπεζευγμένων ὁμοίως ταῖς ἄλλαις ῥοπῇ θείᾳ πεπεδημένων ἐπὶ πολὺ καὶ οὐδεμιᾷ μηχανῇ κινουμένων, ἀλλ' ἀκινήτων ἱσταμένων, μία τις ἐξαπίνης αὐτῶν τὸ στόμα διανοίξασα, ὃν ἐπὶ τοῦ Βαλαὰμ πάλαι τρόπον, ἀνθρωπίνῃ ἐβόα τοῖς παροῦσι φωνῇ· "Ἕως τίνος ἀνήνυτα κάμνετε, ἄνθρωποι; καὶ ἵνα τί τύπτετε τὰς ἡμετέρας ὄψεις; ἐνταῦθα τὸν ἅγιον κατατεθῆναι δεῖ".

17. Τούτων ὁ ἀρχιεπίσκοπος καὶ πᾶς ὁ λαὸς ἐπακούσας τῶν φωνῶν, φόβου τε καὶ ἐκπλήξεως πλησθέντες, μεγάλῃ φωνῇ τὸν αἶνον ἀπεδίδουν τῷ Θεῷ, τῷ ἀποκαλύπτοντι θαυμάσια μεγάλα μόνῳ. Ἐξέστη ταῦτα γνοὺς καὶ ὁ πιστότατος βασιλεύς, παραχρῆμα δὲ χειρὶ πολλῇ καὶ σπουδῇ τὸν ἐν αὐτῷ τῷ τόπῳ σεβάσμιον [ᾠκοδομήσατο] τῷ ἁγίῳ πρωτάθλῳ ναόν, ὅπου δὴ τὸ σεβασμιώτατον τοῦ μακαριωτάτου ἀποστόλου καὶ πρωτομάρτυρος Στεφάνου λείψανον

22/23 Ἀριθ. κβ', 27-30. — 30 προσέθηκα τὸ ᾠκοδομήσατο.

Digitized by Google

κατὰ τὴν δευτέραν αὐγούστου σεβασμίως κατατεθὲν πλείστας ὅσας ἰάσεις καὶ θεραπείας ἄχρι καὶ τήμερον ἐπὶ τῶν μετὰ πίστεως ἐπιδείκνυται προσερχομένων. Τούτου τῆς μερίδος καὶ τῆς χάριτος καὶ ἁγιότητος καὶ δυνάμεως τοῦ πνεύματος καταξιωθείημεν καὶ ἡμεῖς, ὡς ἡμῖν ἐφικτόν, Κύριε πάτερ, Κύριε υἱέ, Κύριε παράκλητε, τριὰς ἁγία καὶ ὁμοούσιε, πρεσβείαις τῆς ὑπεράγνου Θεομήτορος καὶ πάντων τῶν ἁγίων, καὶ αὖ δὴ τούτου τοῦ ἡμετέρου μετὰ σὲ σωτῆρος καὶ προστάτου καὶ ἀντιλήπτορος Στεφάνου, εἰς δόξαν καὶ τιμὴν καὶ αἶνον τοῦ ἁγίου καὶ προσκυνητοῦ σου ὀνόματος εἰς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Digitized by Google

IV.

ΑΝΩΝΥΜΟΝ

ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΟΝ ΠΡΩΤΟΜΑΡΤΥΡΑ ΣΤΕΦΑΝΟΝ

(Cod. Sabait. 79, fol. 55β-59) [1].

1. Πάντας μὲν τοὺς μάρτυρας τιμᾶν ἄξιον, τὸν δὲ Στέφανον πολλῷ μᾶλλον· οἱ μὲν γὰρ μετὰ τὸν Στέφανον εἰς Στέφανον ἀποβλέπουσιν, ὁ δὲ Στέφανος [εἰς] τὸν Ἰησοῦν· εἰ γὰρ καὶ γεγόνασιν μάρτυρες πάλαι οἱ προφῆται, ἀλλ' οὔπω ὑπὲρ τοῦ σταυρωθέντος τεθνήκασιν· εἰ γὰρ ἐπροείδεσαν, ἀλλὰ μετὰ τὸ πάθος ἄλλος ὁ ἀγών. Πρῶτος Στέφανος μετὰ τὸν Κύριον τὴν τῶν ἀντικειμένων ἔρρηξεν φάλαγγα, πρῶτος διέβη ἐπὶ τὰ ἴχνη τοῦ δεσπότου, πρῶτος ἄνθρωπος ἐνέπαιξεν θανάτῳ· εἰ γὰρ προετρέπετο Ἰησοῦς αὐτὸς θάνατον νικήσας, ἀλλὰ Θεὸς ἦν· ἀνθρώπων δὲ χρεία ἦν εἰς προτροπήν, ἵνα ὁμοδούλους προτρέψωνται. Πρῶτος ὁ βασιλεύς, δεύτερος ὁ γενναῖος στρατιώτης κατὰ θανάτου ὡπλίσατο, οὐχ ἵνα μὴ ἀποθάνῃ, ἀλλ' ἵνα ἀποθανὼν ζήσῃ· πρῶτος πρὸς τὴν ἀκμὴν τὴν ἰουδαίαν ἔστη· πρῶτος ἤλεγξεν αὐτῶν τὴν ἀγνωμοσύνην· πρῶτος αὐτοὺς ἐδίδαξεν, ὅτι μάτην ἀνήλωσαν τὰ ἀργύρια, μάτην μὲν δόντες τῷ προδότῃ, μάτην δὲ τοῖς στρατιώταις, τῷ προδότῃ μὲν ἵνα ἀποκτείνωσιν, τοῖς δὲ στρατιώταις, ἵνα τὴν ἀνάστασιν ἀθετήσωσιν· κατηγόρησεν δὲ αὐτῶν καὶ δόσεως, καὶ λήμψεως δέ, ἀφ' ὧν εἰλή-

[1] Ἱεροσολυμιτ. Βιβλιοθήκη, II, σ. 146.

3 προσέθηκα τὸ *εἰς*. — 5 ἐπροείδησαν] οὕτως ἐν τῷ κώδικι. — 7 κῶδ. *ἔρριξεν*. — 14 *ἀνείλωσαν*.

Digitized by Google

φασιν τιμήν. Πάλιν τοῦ μὲν Ἰωσὴφ οἱ εἰδότες τὰς Γραφὰς νοοῦσι τὰ λεγόμενα.

2. Οὗτος ὁ ἀνὴρ ἀνέκραξεν εἰς τὰ ὦτα τῶν σταυρωσάντων, ὅτι "Ζῇ ὁ σταυρωθεὶς καὶ οὐκ ἐπὶ σταυροῦ αὐτὸν βλέπω, ἀλλ' ἐν δόξῃ, ἐν δεξιᾷ τοῦ πατρός". Ἤκουον οἱ πολέμιοι, καὶ οἷον τὸ ἄλγημα τῶν συνειδότων! Οὗτος ὁ ἀνὴρ καλὴν θύραν τοῖς ὁμοδούλοις ἔδειξεν, δείξας ὅτι θάνατος λοιπὸν ἀνθρώποις παίγνιον, ὅτι τὸ κέντρον αὐτοῦ κέκριται, ὅτι ἡ δύναμις τῆς ἁμαρτίας περιῄρηται, ὅτι ἡ κατάρα ἐσβέσθη, ὅτι ζῇ ὁ βασιλεὺς καὶ ζῶν ἐργάζεται· πόθῳ γὰρ ζέων ἔτι, ὢν ἐν σώματι, εἰς ἀγγελικὴν μορφὴν μετέπεσεν· λέγει γὰρ ἡ Γραφή, ὅτι "ἀτενίσαντες εἰς αὐτὸν οἱ καθήμενοι εἶδον τὸ πρόσωπον αὐτοῦ ὡς πρόσωπον Ἀγγέλου"· ὁ γὰρ τὰ Ἰησοῦ ὑπηρετῆσαι σπεύσας τῷ ὑπὸ Ἀγγέλων ὑπηρετουμένῳ εἰκότως μετέβαλεν τὴν μορφὴν εἰς ἀξίαν τῆς ὑπηρεσίας. Εἶδεν, ὃ ἐπεπόθει· οὐκ εἶδον οἱ διώκοντες· ᾧ γὰρ βούλεται Ἰησοῦς ὁρᾶται· οἱ δὲ ἀνάξιοι καὶ παρόντα οὐκ ἔβλεπον· οὐκ ἦσαν ἄξιοι θεάσασθαι τὸν ἀναστάντα, κἀμοὶ δοκεῖ διὰ τοῦτο μὴ βούλεσθαι τὸν σωτῆρα μετὰ τὴν ἀνάστασιν αὐτοῖς λαλῆσαι, ὅτι ἀπώλεσαν τὸ φῶς, ὅτι ἀπέκλεισαν τὴν πηγήν· αὐτοὶ ἀπέκλεισαν, ἀλλ' ἑαυτὴν ἡ πηγὴ ἤνοιξεν εἰς ἔθνη.

3. Εἱστήκει Στέφανος εἰς μέσον πνεόντων φόνον· ἀπηριθμήσατο τὰ παλαιά, ἵνα διδάξῃ, ὅτι ἐκεῖνα εἰδώς, ταῦτα δι' ἐκείνων μεμάθηκεν· κέκληκεν πατέρας καὶ ἀδελφούς. Εἰ μέμνησθε τῶν Πράξεων, ἐπιγινώσκετε τὰ ἐκεῖθεν. "Ἄνδρες", φησίν, "πατέρες καὶ ἀδελφοί, ἀκούσατε". Ἐκτίθεται, ὅσα ὁ Θεὸς τῷ Ἀβραὰμ ἐπαγγέλλεται, ἵνα πιστεύσωσιν, ὑπομνήσας τῶν ζητούντων πατέρων ἐν Ἰωσήφ, ἵνα ἐλέγξῃ ὅτι ἐκείνων τῶν πατέρων ταῦτα τὰ τέκνα. Πεπράκασιν ἐκεῖνοι, πεπράκατε καὶ ὑμεῖς· καὶ πάλαι τριάκοντα ἀργυρίων ἔλαβον τὸν τύπον τὸν πατρικόν· διδόασι καὶ αὐτοὶ τῷ Ἰούδᾳ. Ὑπέμνησεν καὶ Μωϋσέως· "ἔστησεν αὐτόν", φησίν, "ὁ Θεὸς ἄρχοντα ἐφ' ὑμᾶς". Ὑπέμνησεν καὶ τοῦ Δαυίδ,

1 κῶδ. *ἰδότες*. — 11 Πράξ. ϛ', 15. — 15 *ἴδεν* - - *ἴδον*. — 22 *ἰδώς*. — 24 Πράξ. ζ', 1. — 26 *ζητώντων*. — 29 *ἀργύρων* || *διδώασι*. — 30 Πράξ. ζ', 28, 35.

ἵνα ὑπομνησθῶσιν [τοῦ] "ἐκ σπέρματος Δαυίδ". Εἶπε "καὶ Σολομὼν ᾠκοδόμησεν ἑαυτῷ οἶκον", ἐπειδὴ εἰς τὸν οἶκον εἶχον τὸ καύχημα. Οὐδὲ τοῦτο παρεῖδεν ὁ ἐλέγχων· οὐ γὰρ ὁ Θεὸς ἐν χειροποιήτοις κατοικεῖ. Πολλὰ ἀριθμήσας ἐλέγχει. "Ὑμεῖς ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀνθίστασθε· ἀνείλατε τοὺς προδρόμους· οὐδὲν μέγα, εἰ καὶ τὸν ἐπελθόντα οὐκ ἠκούσατε τῶν προκηρυξάντων· ἠθελήσατε τὸν παραγενόμενον".

4. Ταῦτα εἰπὼν ἀνέβλεπεν εἰς τὸν οὐρανόν· ὅπου γὰρ ὁ πόθος, ἐκεῖ καὶ ὁ ὀφθαλμός. Ἀνεβόησεν τοῖς μὴ ὁρῶσιν ὁ ὁρῶν· ἀνέῳξεν γὰρ καὶ οὐρανοὺς ὁ προθυμούμενος. Καὶ οὐ πρότερον παύεται, πρὶν στηρίξαι τὸν ποθούμενον· ὁρᾷ γάρ, φησίν, τὸν υἱὸν τοῦ ἀνθρώπου· "ὃν ὑμεῖς εἴδετε ἄνθρωπον, ἐγὼ εἶδον ἐν δεξιᾷ τοῦ πατρός· ὃν ὑμεῖς ἐκρεμάσατε ἐπὶ ξύλου, ἐγὼ εἶδον ἐν δεξιᾷ τοῦ πατρός· ὃν ὑμεῖς παρεδώκατε θανάτῳ, ἐγὼ εἶδον ζῶντα· ὃν παρεστήσατε πρὸς ἡγεμόνα, ἐγὼ ὁρῶ ἑστῶτα ἐκ δεξιῶν τοῦ πατρός". Ἐπέσχον τὰ ὦτα παραιτούμενοι ἀκροάσασθαι· ἐκάμμυσαν τὰ ὄμματα· οὐ γὰρ ἄξιοι ἦσαν τοῦ καλλίστου φωτός. Ἤρξαντο βάλλειν τοὺς λίθους· ὁ δὲ ὥσπερ - - ἡγεῖτο βάλλεσθαι, οὐ κακούργους ἡγούμενος τοὺς ἀναιροῦντας, ἀλλ' εὐεργέτας νομίζων· οὐ γὰρ τὸ γινόμενον ἐσκόπει, ἀλλὰ τὴν συμπλήρωσιν τῆς προαιρέσεως ἔβλεπεν· ἀναλῦσαι ἤθελεν καὶ σὺν Χριστῷ εἶναι. Ἄκοντες εὐεργετοῦσιν τοὺς ὑπ' αὐτούς—Θεὸς δὲ ἀγαθός, ὅτι μακροθυμεῖ—, ὥσπερ πεπράκασι κακῶς τὸν Ἰησοῦν· ἦκεν δὲ καλῶς ὁ Θεός. Ἔβαλλον λίθους· ἔσπευσαν θανατῶσαι αὐτόν· μετεκλήθη· ἐνόμισαν φθορᾷ παραδεδωκέναι καὶ χαρίζονται αὐτῷ οὐκ αὐτοί, ἀλλ' ὁ ἄφθαρτος ἀφθαρσίαν. Ἔβαλλον λίθους οὐ τοσοῦτο νεκρούς, ὅσον ὁ πόθος ἐρώννυεν, καὶ ἔχαιρεν ὁ εὐσεβὴς ταῖς τῶν λίθων βολαῖς, ἀφορῶν πρὸς τὸν μισθὸν καὶ λέγων τὰ τοῦ Δαβίδ· "Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέν μοι"; Εὐπορίαν ἡγεῖτο τὴν ἐπιβουλήν. Ἔστιν μόνος βασιλεύς, ἵνα στεφανώσῃ Στέφανον· ἀνέ-

1 Ἰωάν. ζ', 42. Ῥωμ. α', 3. Τιμόθ. 2, β', 8 || Πράξ. ζ', 45, 46.—1/2 Πράξ. ζ', 47. — 3 Πράξ. ζ', 48. — 4 Πράξ. ζ', 51-53. — 11 *στηρίξει*. — 11/15 Πράξ. ζ', 54-56. — 13 *ἴδον*. — 18 *ὥσπεριδοις*. — 23 *πέπρακας*. — 28 Ψαλ. ριε', 3.

Digitized by Google

στη ὁ ἅγιος τὸν ποθοῦντα δέξασθαι, ὁ δὲ ποθῶν κερδαίνει τὸν ποθούμενον, ὥσπερ, ἐὰν ἀνοίξῃς τὰ ὄμματα, ἀπολαύεις φωτός· ἐὰν δὲ καμμύσῃς, σὺ μὲν ἀπεστερήθης, φῶς δὲ τυγχάνει—· παραμυθεῖτέ με τὰ ἑξῆς.

5. Πρεσβεύει Στέφανος ὑπὲρ ἡμῶν, κἂν βραδύνωμεν· εἰ γὰρ ὑπὲρ τῶν λιθασάντων ἐπρέσβευεν, ὑπὲρ τῶν τιμώντων οὐ πρεσβεύει; Τιμῶμεν τοίνυν τοὺς μάρτυρας· εἰ καὶ μὴ κατ' ἀξίαν δυνάμεθα, ὅμως τιμῶμεν· μάρτυρας γὰρ ὁ μὴ τιμῶν αἰδεσθήσεται μάρτυσιν ἐντυγχάνων. Εἰ οὐ χρείαν ἔχεις πρεσβευτῶν, μὴ ἀπαίτει τιμάς· εἰ δὲ χρείαν ἔχομεν, πῶς μὴ τιμήσωμεν τοὺς μάρτυρας, ἵνα εὐχαῖς αὐτῶν ἐν σκηναῖς ἁγίων ὑποδεχθῶμεν; Πόσοι ἀπῄτησαν εἰς μαρτύρων [εἶναι] τιμὴν καὶ ἀπῆλθον μάρτυρες! κἂν γὰρ μὴ παρῇ τὸ ἔργον, ἀρκεῖ ἡ προαίρεσις. Μάρτυς ὁ ἐπιθυμήσας μαρτυρίου· ὁ γὰρ βουλόμενος ἔχει τὸ ἔργον σὺν τῇ βουλήσει. Ἅπαντες τοιγαροῦν τιμῶμεν τοὺς μάρτυρας, ἵνα δι' αὐτῶν τὸν ἀθλοθέτην δοξάσωμεν· ὁ γὰρ τιμῶν τὸν δοῦλον, τὸν δεσπότην θεραπεύει. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

1 κῶδ. *κερδαίνειν*. — 3 *παραμυθεῖται*. — 9 ἀπαίτει τιμάς] ἀπόγρ. *ἀπάντα τιμᾶν*. — 12 *ἀπῆλθαν*.

Digitized by Google

V.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΦΛΩΡΕΝΤΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΦΩΤΙΚΗΣ

ἐγκώμιον εἰς τὸν ἅγιον Στέφανον τὸν πρωτομάρτυρα.

(Cod. Sabait 103, f. 12-16)[1].

1. Τὰς μὲν οὖν λαμπρὰς καὶ ὁλοφαεῖς τοῦ μάρτυρος τῶν μαρτύρων νικηφόρους μαρμαρυγὰς καὶ τῆς κορυφῆς πάντων τῶν ἀθλησάντων, τοῦ ἐξάρχου τῆς εἰς Χριστὸν ὁμολογίας, τοῦ στεφανίτου τῆς οἰκουμένης, τοῦ κατὰ πάντων τῶν ἄθλων βεβηκότος Στεφάνου, τοῦ τὸ μαρτύριον καταδείξαντος, ἱκανῶς αἱ ἱεραὶ βίβλοι ἐντὸς τῶν ἐκκλησιαστικῶν δαπέδων ὁσημέραι κηρύττουσαι ἐπισήμους ἀπέφηναν· ἀλλ' ἐπειδὴ τὸ ἐπίδοξον καὶ πανταχοῦ τῆς οἰκουμένης πάθος τοῦ μάρτυρος παμφαῖνον ταῖς μαρμαρυγαῖς ἀστράπτει τὰς λαμπηδόνας καὶ ὁ εὐκλεὴς στέφανος τοῦ Στεφάνου κατὰ κόσμον διαλάμπων, τὰς τῶν εὐσεβεστέρων ψυχὰς ἐρεθίζων οὐ παύεται, εἰκότως ἀπ' ἐκείνης τῆς λάμψεως ἐπιδέεται ὁ φράζων τὰ τούτου ἐγκώμια καὶ τὴν ἄνωθεν ἐπιβοᾷ συνεργίαν, ἵν' ἐκεῖθεν φαεινούμενον τὸ ὄμμα τῆς διανοίας βραχυτάτου τινὸς χαρακτῆρος τῶν ἐκείνου ἀρετῶν ἐκ μέρους ἐπιφαῦσαι δυνήσηται· τὰ γὰρ ἐπίδοξα

[1] Ἱεροσολυμ. Βιβλιοθήκη, II, σ. 175. Κῶδιξ τῆς ιβ' ἑκατ. Κατὰ τὸν τύποις ἀνέκδοτόν μου κατάλογον τῶν ἐν τῇ μονῇ Κοσινίτζης ἑλληνικῶν κωδίκων ἐπιγέγραπται τοῦτο τὸ κείμενον [ἀριθ. 28, φύλ. 4] οὕτω· "Φλωρεντίου πρεσβυτέρου Ἱεροσολύμων ἐγκώμιον εἰς τὸν ἅγιον Στέφανον". ἐγράφη δὲ οὗτος ὁ κῶδιξ τῇ ιε' ἑκατ.

1. κῶδ. *φλορεντίου*. — 9 *ἐκκλησιαστηκῶν δ. ὡς ἡμέραι* || *ἐπισείμους*. — 11 *πᾶμφαίνων*. — 12 *εὐκλεεὶς*. — 15 *ἐπιβωᾶ*. — 17 *ἀραιτῶν* || *δυνήσεται*.

Digitized by Google

τῶν ἐκείνου θαυμάτων ἐκλάμποντα ὑπὲρ τὴν ἡλιακὴν ἀκτῖνα συσκιάζουσι τὰς ὄψεις τῶν ἐντυγχανόντων τοῖς τούτου παθήμασιν. Ἀλλ' ἐπειδὴ καὶ τὰ τῶν ἔργων ὠγύγια καὶ τὰ εὐμεγέθη τῶν δωμάτων οἶδεν καὶ ἡ βραχυτάτη σφραγὶς ἐναγκαλίζεσθαι, τοσοῦτον ἡ βρότειος γλῶττα βιάζεται, τὰ πλῆκτρα τοῦ λόγου ταῖς εὐφημίαις ἀνακινεῖν πειραζομένη, ὅσον ἰσχύει πόθος καὶ ζῆλος ἐπιτρέπει φιλίας· ὥσπερ γάρ ἐστιν κόρη ἐν ὀφθαλμῷ, οὕτως ὁ πολύτλας Στέφανος ἐν τοῖς πανταχοῦ μάρτυσιν ἱδρυμένος, τοῖς βασιλείοις τῶν παθημάτων ἀγλαϊζόμενος· καὶ ὥσπερ ὁ νόμος τῆς φύσεως τὴν μέλιτταν στρατηγεῖσθαι ὑπὸ τοῦ ἐξάρχου παρασκευάζει, οὐ πρότερον τῶν σίμβλων ἀφιπταμένην, πρὶν ἂν ὁ βασιλεὺς τῆς πτήσεως ἀφηγήσηται, οὕτως καὶ ὁ θεοπρεπὴς ἑσμὸς τῶν μετὰ ταῦτα μαρτύρων, μὴ προηγησαμένου τοῦ ἀρχηγοῦ τῆς εἰς Χριστὸν ὁμολογίας, οὐκ ἂν τὴν πίστιν τὴν πρὸς οὐρανοὺς τῷ παθεῖν ἐνενόησεν, εἰ μὴ πρότερον οὗτος ὁ τῆς εὐσεβείας ἀγωνιστὴς τοὺς καλλινίκους στεφάνους τῆς νίκης προδραμὼν ἀνεδήσατο τῷ πάθει.

2. Παρὰ μὲν τὸν καιρὸν τῆς κατὰ τὸν βίον ἐπιδημίας ἔβρυεν τὴν εὐσέβειαν, κομῶν τὰς μακαρίας τῶν χριστιανῶν ἐλπίδας, ἐπήγαζεν τὰ νάματα τῆς διδασκαλίας, ἤνθει τὰς ἀρετὰς τῆς εὐσεβείας, ἐπυρπόλει τὰς αἰσθήσεις, τοῖς κατὰ Θεὸν πόθοις ἀναπτόμενος, ὤξυνεν τὴν γλῶτταν ταῖς εὐφημίαις εὐρυτάτῳ στόματι, ἐνεχρόνιζεν ταῖς ψαλμῳδίαις τῷ ὅρῳ τῆς καρδίας, νύκτωρ τε καὶ μεθ' ἡμέραν ἐκίνει πρὸς δοξολογίαν· κέρδος αὐτῷ τὰ πνευματικά, βρῶσις αὐτῷ καὶ πόσις τὰ θεοφιλῆ· φιλόχριστος τὸν τρόπον, ὅλος πρὸς ἀρετὴν βλέπων, ποικίλλων τὰ τῆς εὐσεβείας κατορθώματα· νύκτωρ ἄυπνος, ἐγρήγορος τὴν εὐσέβειαν, διεγηγερμένος τὸν λόγον, ἀκαταμάχητος πρὸς τὴν ἀλήθειαν, ὑπερασπίζων τοῦ δικαίου, ἀκάμας τὴν διδασκαλίαν, ἐνδελεχῶν ταῖς παραινέσεσιν, διδάσκων τὰ φιλόχριστα, ὑπὲρ πᾶσαν ἡδονὴν τοῖς Χριστοῦ παθήμα-

3 κῶδ. ἐργωνογύρια. — 7 φιλοΐας. — 8 ἡδρυμένος. — 10 στρατηγῆσθαι. — 11 ἂν ὁ] ἄνο. — 12 ἀφηγήεσται || θεοπρεπεὶς. — 14 πίστην || τῷ] τὸ. — 17 ἐπειδημείας. — 19 διδασκαλείας ἤνθη. — 23 ἐκείνη πρὸς ὀλογίαν. — 25 ποικείλλων. — 26 διεγειγερμένος. — 29 ἰδονὴν.

Digitized by Google

σιν ἐφαιδρύνετο. Ἀνάπαυσις αὐτῷ παθεῖν ὑπὲρ τῆς εὐσεβείας· ἔχαιρε τοῖς κινδύνοις, ἐπαρρησιάζετο τοῖς θεοφιλέσιν, συνέχυνεν Ἰουδαίους, διακατήλεγχε τοὺς Φαρισαίους, τοῖς προφητικοῖς μηνύμασιν τὰ τοῦ Χριστοῦ παθήματα σαφῶς ἀπεδείκνυεν, ἐχαλίνου τὰς τῶν ῥητόρων εὐγλωττίας, ἐνέφραττεν τὰς τῶν φιλοσόφων πανουργίας, ἔτεμνεν τὸ πέλαγος τῆς εἰδωλολατρείας ταῖς θεολογίαις, κατηγόρει τῆς ἀγνοίας, ἤλεγχε τὴν ἀγνωσίαν· ἐδραπέτευεν ἡ κακία, ἐπαρρησιάζετο ἡ θεογνωσία, ἐκποδὼν ἐγίγνοντο αἱ μιαιφονίαι· πᾶν ὕψωμα κατεφέρετο τῇ τοῦ Στεφάνου φιλοσοφίᾳ, πᾶσα ταπείνωσις ἐξωγκοῦτο πρὸς ὕψος· ἤγειρεν πτωχὸν ἀπὸ γῆς καὶ πένητα ἀπὸ κοπρίας ἐξήγειρεν, ἐλάλει πρὸς τοὺς παρατυγχάνοντας, ἤλεγχεν, συνδιακατεφέρετο καὶ τὸν Παῦλον πρὸ τοῦ Παύλου μιμούμενος, μᾶλλον δὲ αὐτοῦ τοῦ Παύλου διδάσκαλος γινόμενος· ὁ μὲν γὰρ πρῶτος, ὁ δὲ δεύτερος τὴν περὶ Χριστοῦ ηὔγασεν φιλοσοφίαν· ὁ μὲν γὰρ Παῦλος μετὰ τὸν Στέφανον ἐδημηγόρει τὰ τῆς εὐσεβείας κηρύγματα, ὁ δέ γε Στέφανος μετ᾿ οὐ πολὺ τῆς Χριστοῦ παρουσίας ἤνθει τὰ τῆς εὐσεβείας γνωρίσματα. Ἠγλαΐζετο ὁ ἀκάμας τῷ θεοπρεπεῖ λόγῳ, "ἀγώνισαι" φάσκων "περὶ τῆς ἀληθείας ἕως θανάτου καὶ Κύριος πολεμήσει ὑπὲρ σοῦ". Ἠγωνίσατο τοὺς ἑκουσίους ἀγῶνας, ὑπέμεινε τὸ αὐτοπροαίρετον μαρτύριον· τὸν αὐθαίρετον ἀνεδέξατο θάνατον, πρῶτος πάντων ὑπὲρ Χριστοῦ μαρτυρήσας· πρὸ πάντων καὶ τοὺς Χριστοῦ ἀγῶνας κομίζεται.

3. Ὦ μάκαρ ἀθάνατε· σὺ γὰρ καὶ τὴν παναργάλεον καὶ δυσήνιον τῶν Ἰουδαίων κακίαν κατέσβεσας· σοῦ καὶ τὸ θεοείκελον πρόσωπον τὰς ἀγγελικὰς μαρμαρυγὰς τηλαυγῶς διαλεγομένου ἀπέστιλβεν θεῖα νάματα, μαρτυρούσης τῆς θεοπρεποῦς Γραφῆς· "Ἐμβλέψαντες γάρ", φησίν, "οἱ Ἰουδαῖοι εἰς τὸ πρόσωπον αὐτοῦ,

4 κῶδ. *μινύμασιν* || *ἐχαλινεν*. — 5 *εὐγλωττείας*. — 6 *ἰδολολατρείας*. — 7 *κατηγόρη*. — 8 *ἐγίγνωντο*. — 10 *ἐξογκοῦτο*. — 11 *ἐξείγηρεν ἐλάλη*. — 14 *πρότος* || ηὔγασεν] *ἤγμασεν*. — 15 *ἐδημιγόρει*. — 17 *ἰγλαΐζετο* || *θεῷ πρέπει λ. ἀγώνησαι φάσκον*. — 19 *πολεμήσῃ*. — 20 *ἠγωνήσατω*. — 22 *ἀγόνας*. — 24 *παναργάλαιον*. — 25 *δυσίνιον* || *θεοείκελλον*. — 26 *τειλαυγῶς*. — 27 *ἀπέστηλβεν*. — 28 Πράξ. ϛ΄, 15.

Digitized by Google

εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον Ἀγγέλου". Ὦ ἐπίγειε Ἄγγελε, ὦ ἐπουράνιε ἄνθρωπε, ἀνθρώποις συμβιωτεύων τῶν κατ' οὐρανὸν δυνάμεων τὴν θέαν ἐχαρακτήριζες· παλαίσας ταῖς ἀντικειμέναις δυνάμεσιν ἐνίκησας τοὺς ἀντικειμένους καὶ διατεταγμένους Δαίμονας μαχόμενος· τῆς διαβολικῆς κακίας τὴν πανουργίαν οὐ καταπλαγείς, οὐδὲ τῶν ἀσωμάτων Δαιμόνων τὸν στρατόν, οὐκ ἐδειλίασας τὸ ἄτακτον πλῆθος τῶν Ἰουδαίων, οὐ ξίφη ἠκονημένα· τοῦ λίθου τοῦ ἀκρογωνιαίου μιμητὴς τυγχάνων, τῇ τῶν λίθων βολῇ ἀνεδήσω τοὺς τοῦ μαρτυρίου στεφάνους.

4. Καὶ θαυμαστὰ μὲν ταῦτα καὶ ἐπίδοξα λίαν, καὶ ἐν τῷ νῦν καιρῷ ἀποπληρούμενα, πολὺ δὲ θαυμασιώτερον καὶ σφόδρα ἐκπληκτικώτερον τὸ ὑπὸ τοῦ μακαρίου τούτου ἐπιδειχθὲν μαρτύριον· νέον γὰρ ἦν τὸ κήρυγμα τῆς εὐσεβείας καὶ κομιδῇ ἐκείνοις τοῖς χρόνοις νεώτερον ἐξαγγέλλειν τὴν εἰς Χριστὸν εὐσέβειαν· ἤκμαζε τὰ τῶν Ἑλλήνων, ἤνθει τὰ τῶν Ἰουδαίων· ἐκόμα τὰ τῶν Φαρισαίων· οὐδαμοῦ θεογνωσία· παντί τε καὶ πανταχοῦ ἐκκέχυτο τὸ σκότος τῆς εἰδωλολατρείας· ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐβασίλευεν ὁ ζόφος τῆς φονοκτονίας· οὐ βασιλεὺς εὐσεβής, οὐκ ἄρχων θεοφιλής, οὐχ ἡγούμενος ἐλεήμων· τὰ πάντα νὺξ μέλαινα καὶ ἡ τῶν Δαιμόνων ἐνεβόσκετο μανία. Στέφανος μόνος ἐπὶ τὸ ὄρος τῆς φιλοσοφίας ἐκαθέζετο, κατέχων μὲν τὴν λαμπάδα διὰ τῆς πίστεως, συσκιαζόμενος δὲ ὑπὸ τῆς ἄγαν τῶν οἰκητόρων κακοπραγίας τῷ πάντα ἄνθρωπον μεθύειν τῇ πλάνῃ τῆς ἀγνωσίας. Ἀλλ' οὗτος ὁ μακάριος ἑαυτῷ νόμος ἐπήγνυτο καὶ τοῖς μετέπειτα στήλη εὐσεβείας καὶ διδάσκαλος τῆς χάριτος ἀνεφαίνετο· οὐκ εἶχεν προγραμμόν, οὐχ ἡγούμενον, οὐ πρῶτον ὑπὲρ Χριστοῦ μαρτυρήσαντα· οὐδεὶς τὴν αἵματος ὁμολογίαν ἦν ἐπιδειξάμενος, οὐδεὶς τὰ σωτηριώδη τῶν παθημάτων ὑπὲρ τῆς δεσποτικῆς ἐνανθρωπήσεως ἀνε-

1 κῶδ. ἴδον || ἐπίγιε. — 5 πανουργείαν. — 7 ἠκονιμένα. — 8 ἀκρογονιαίου μιμιτὴς. — 9 ἀνεδείσω. — 10 ἐπείδοξα. — 12 ἐκπληκτηκότερον. — 13 κομηδί. — 14 νεότερον. — 15 ἤνθη || ἐκώμα. — 17 εἰδολολατρείας || ἐβασίλευσεν. — 18 εὐσεβεῖς. — 19 θεοφιλεῖς || οὐχ] οὐκ. — 22 οἰκειτώρων. — 23 μεθύην τὴν πλάνην. — 24 ἐπείγνετο. — 25 ἀνεφένετο. — 26 οὐκειγούμενον || μαρτυρίσαντα. — 28 ἐνανθρωπίσεως ἀνεδείσατο.

δήσατο· μόνος οὗτος ὁ μακάριος τὸ ἀρχέτυπον τοῦ μαρτυρίου ἐκ τῆς οἰκείας εἵλκυσεν προαιρέσεως, αὐτὸς ἑαυτοῦ διδάσκαλος γενόμενος. Ὑπέδειξεν τὴν ὁδὸν τῆς σωτηρίας, ἐνομοθέτησε τὴν δι' αἵματος περὶ Χριστοῦ διάθεσιν, ἔπηξε νόμους, πύλας οὐρανίους ἀνοίγοντας, συνεργούσης αὐτῷ τῆς ἄνωθεν βοηθείας· ἐθέσπισε δόγματα ξεναγοῦντα εἰς Παράδεισον· ὥρισεν διατάξεις τελειούσας τοῖς παθήμασι· λίθοις βαλλόμενος ἐξεπόνει τὴν εὐσέβειαν· λιθοβολούμενος ὑπὲρ τῶν βαλλόντων τοὺς λίθους ηὔχετο· οὐκ ἐχώρισεν αὐτὸν τῆς εὐχῆς ὁ κίνδυνος, οὐ διέλυσεν αὐτοῦ τὴν ὁμολογίαν τὸ βροτοκτόνον τῶν Ἰουδαίων. Πρὸ τῆς πόλεως ἐλιθάζετο ὁ πάσης πόλεως πρόμαχος· τὸ τεῖχος τὸ ἀρραγὲς πρὸ τῶν τειχέων ἐφονεύετο· ἀλλ' οὐκ ἠρέμησεν ἡ γλῶττα τῆς εὐφημίας, οὐχ ἡσύχασε τὸ στόμα τῆς εὐφωνίας, οὐκ ἐπαύσατο ἡ ψυχὴ τῆς θεολογίας· καὶ τὸ μὲν σῶμα τοῖς λίθοις συνετρίβετο, τὸ δὲ πνεῦμα τῇ εὐχαριστίᾳ ἐσφίγγετο. Ἐμιμεῖτο τὸν ἑαυτοῦ δεσπότην λέγοντα· "Πάτερ, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν, οὐ γὰρ οἴδασι τί ποιοῦσιν". Ἐκτήσατο καὶ οὗτος ἐκείνην τὴν ἱερὰν εὐφωνίαν· ἀνοίξας γὰρ τὸ θεολόγον στόμα ἐφθέγξατο· "Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην".

5. Ὦ παναοίδιμε μάκαρ, ὦ τρισόλβιε μάρτυς, ὦ αὐτόπτα τοῦ μονογενοῦς, ὁ ἐν τοῖς τῶν οὐρανῶν ὑψώμασιν ἐπὶ γῆς ὤν, ὁ θεασάμενος ἑστῶτα τὸν υἱὸν τοῦ ἀνθρώπου, αὐτὸν τὸν Θεὸν Λόγον, τὸν οὐρανόθεν σοι τὰ βραβεῖα ὀρέγοντα, ἐκεῖνο τὸ θεοπρεπὲς καὶ φρικτὸν μυστήριον ἐν τῷ σῷ μαρτυρίῳ θεωροῦντες ἐκπληττόμεθα, ἐξιστάμεθα τῶν ὑπερκοσμίων σοι θεωροῦντες φιλοτιμούμενα τὰ τῆς ἀθανασίας γνωρίσματα. Σχίζονται οἱ οὐρανοὶ πρὸς τὴν σὴν ἐπάνοδον εὐτρεπιζόμενοι· αἱ κατ' οὐρανὸν δυνάμεις κατοπτεύουσιν τῶν σῶν παθημάτων τὸ ἀθάνατον κλέος· αὐτὸς ὁ ἀρχιστράτηγος τῆς κατ' οὐρανὸν εὐταξίας ἐφορᾷ τοῦ σοῦ μαρτυρίου τὰ

2 κώδ. ἥλκυσεν. — 3 ἐνομωθέτησε. — 4 ἔπειξε. — 6 ὤρησεν. — 7 παθείμασι. — 8/9 ἐχώρησεν. — 11 πάσις. — 12 εὐφημείας || οὐχ] οὐκ. — 13 εὐφωνείας ο. ἐπαύσατω. — 15 ἐμιμείτω. — 16 Λουκ. κγ', 34. — 17 εὐφονίαν. — 18 Πράξ. ζ', 60. — 23 ὁ οὐρανώθεν. — 25 θεορούμενα.

Digitized by Google

κατορθώματα. Ἐκπληττόμεθά σου, πανaοίδιμε μάκαρ, τὸ φιλόχριστον· τὸ καρτερικόν σου καταθαυμάζομεν, τὸ ὑπομονητικόν σου ἀσπαζόμεθα, προσκυνοῦμέν σου τὸ μαρτύριον, τοὺς ἄθλους περιπτυσσόμεθα, ἐναγκαλιζόμεθα τὰ παθήματα, δοξάζομέν σου τοὺς ἀγῶνας. Ἀνυμνοῦμεν τὸν ἀγωνοθέτην, εὐλογοῦμεν τὸν τοὺς στεφάνους σοι βραβεύσαντα, δοξάζομεν τὸν χαρισάμενόν σοι τὸ σθένος, γεραίρομεν τὸν παρασχόντα σοι τὴν δύναμιν, καθικετεύομεν τοῖς σοῖς καταταγῆναι βασιλείοις, παρακαλοῦμεν ταῖς σαῖς πρεσβείαις τῆς τῶν ἡμαρτημένων ἀπολαῦσαι συγχωρήσεως· σὲ γάρ, πανaοίδιμε μάκαρ, στρατιῶτα τοῦ μεγάλου βασιλέως, τὸν ὑπὲρ τῆς εὐσεβείας ὑπομείναντα θάνατον ἄνδρες συνεκόμισαν καθωσιωμένοι πρὸς τὴν εὐλάβειαν καὶ ἔθαψαν τὸ λείψανον ἐν τόποις γειτνιάζουσιν τῇ νέα Ἱερουσαλήμ, ὅπερ ἡ τῶν αἰώνων μνήμη ἀποκρύψαι οὐ δεδύνηται· ἀλλὰ θησαυρὸς ὢν πολυτελὴς ἐκρύπτου μὲν ἐν τῇ γῇ, διέλαμπες δὲ ἐν τοῖς οὐρανοῖς. Διὰ τοῦτο ἡμεῖς μακάριοι οἱ καταξιωθέντες τῶν καιρῶν τῶν τὴν σὴν φανέρωσιν κηρυξάντων.

6. Ἡ δὲ εὕρεσις τοῦ πανολβίου σώματος τοῦτον ἔχει τὸν τρόπον. Κατὰ ἀγρόν τινα τῇ Ἑβραίων γλώττῃ καλούμενον Καφαργαμαλᾶ κατέκειτο, ὑπὸ μὲν τῆς ἀχλύος τῶν χρόνων ταῖς μνήμαις καλυπτόμενος, τῷ δὲ φεγγοβόλῳ πνεύματι δᾳδουχῶν τὴν λαμπάδα τῆς πίστεως· καὶ τὸ μὲν ὀστράκινον σῶμα, κατὰ τὸν κοινὸν τῆς φύσεως νόμον, διελύετο, ὁ δὲ πυρσὸς τοῦ μαρτυρίου φεγγοβόλοις μαρμαρυγαῖς ἀνήπτετο, κηρύττων τοῦ δικαίου τὰ λείψανα, καὶ ἡ τῶν ὀστέων ἁρμονία ἀπέσῳζεν τὰς ἀθανάτους μνήμας τοῦ μάρτυρος, διὰ τὸ εἰρημένον· "φυλάσσει Κύριος πάντα τὰ ὀστᾶ αὐτοῦ· ἓν ἐξ αὐτοῦ οὐ συντριβήσεται". Εἶχεν δὲ ὁ τύμβος πλάκα ὑποχθόνιον ἐπικειμένην, ἐοικυῖαν μιᾷ τῶν ἐμφερομένων ἐν τῇ Μωσαϊκῇ ἱστορίᾳ· ἐνέφαινεν δὲ καὶ ἐπιγραφήν, μίμημα φέρου-

1 κῶδ. *παναοίδημε.* — 2 *ὑπομονιτηκόν.* — 4 *περιπτυσσώμεθα.* — 7 *καθικετεύωμεν.* — 8 *καταταγίναι.* — 9 *ἡμαρτιμένων* ‖ *συγχωρίσεως.* — 11 *συνεκόμησαν καθῶσϊώμένοι.* — 12 *λήψανον* ‖ *γιτνιάζουσιν.* — 20 *ἀχλύως τῦν χρόνον.* — 24 *ἀνείπτετο* ‖ *λήψανα.* — 25 ἡ] *εἰ.* — 26 Ψαλμ. λγ', 21. — 27 *ὡστᾶ αὐτῦν.* — 28 *ὑποχθώνιον.* — 29 *ἐνέφενεν.*

σαν τῆς ἐπὶ τοῦ δεσποτικοῦ σταυροῦ γεγραμμένης, καὶ ὥσπερ ἐκείνη ἐπεγέγραπτο ἑβραϊστί, ἑλληνιστί, ῥωμαϊστί, οὕτως καὶ ἐνταῦθα ἐγκεχάρακτο τὸ ὄνομα τοῦ μάρτυρος τῇ ἑβραΐδι διαλέκτῳ "Χαλελεήλ", ὃ ἑρμηνεύεται Στέφανος· ἔπρεπεν γὰρ διὰ πάντα τὸν ὑπὲρ τοῦ σταυροῦ ὑπομείναντα τὸ μαρτύριον πάντα ἐπικομίζεσθαι τοῦ σταυρωθέντος τὰ σύμβολα. Ἑαυτὸν γοῦν ἀποκαλύπτει ὁ μακάριος, ὥσπερ ἑωθινὸν φῶς αὐγάζων, καὶ τὰς φωτεινὰς μαρμαρυγὰς ἐμφανιζόμενος τοῖς ὁρῶσιν ἀπέλαμπεν· ὥσπερ γὰρ λίθον τίμιον μαρμαίροντα ταῖς ἀστραπαῖς ἑαυτὸν ἀνέδειξεν. Ἐμφανίζεται δὲ πρεσβυτέρῳ τοῦ τόπου, ἀνδρὶ λίαν περὶ τὴν εὐσέβειαν ἀσχολουμένῳ καὶ σφόδρα ἐκπονοῦντι τὰ θεοφιλέστερα· ἀποκαλύπτεται δὲ καὶ τῷ ὅσια φρονήσαντι Ἰωάννῃ, ἐπισκόπῳ τῆς ἐνδόξου Ἱερουσαλήμ, ἀνδρὶ διαπραξαμένῳ ὅσα ὁ Θεὸς θέλει· ὁμοίως δὲ καὶ ἄλλοις ὀπτάνεται ἐπισκόποις, ἄγαν πρὸς τὴν εὐσέβειαν τεθεραπευμένοις· ἀποκαλύπτεται δὲ αὐτοῖς ὁ μακάριος εἰς ἄγγελον φωτὸς χρηματίζων καὶ παρακελευόμενος τὰς περὶ τῆς τοῦ λειψάνου μετακομιδῆς· συμφώνοις τοῖς ῥήμασιν, ἐν ἑνὶ σχήματι, ἐν μιᾷ ὀπτασίᾳ ἑκατέροις ἐνεφανίζετο. Ἀποτίθεται δὲ τοῦ μάκαρος τὸ λείψανον κατὰ τὸ αὐτοῦ Στεφάνου θέλημα πρὸ τῶν τειχέων τῆς Ἱερουσαλήμ, ἔνθα λιθοβοληθεὶς καὶ τὸν ἁπανταχοῦ τῆς οἰκουμένης βοώμενον ἐπιδόξως ὑπομείνας θάνατον, τοὺς λαμπροὺς τοῦ μαρτυρίου ἀνεδήσατο στεφάνους, ἐπαξίως τῆς ἐκείνου μνήμης καὶ τῶν ἐκείνου πόνων καὶ τῶν εὐκλεεστέρων ἀγώνων, ἐκκλησίας οἰκοδομηθείσης ὑπὸ τοῦ νῦν τὸν ἔνδοξον καὶ περίβλεπτον θρόνον Ἰακώβου διακοσμοῦντος Ἰουβεναλίου, ἀνδρός, ἐν ᾧ καὶ ὁ λόγος καὶ ὁ τρόπος καὶ ὁ βίος, τό τε ἀμώμητον καὶ ἐπίδοξον καὶ φιλόθεον τοῦ αὐτοῦ Ἰακώβου ἀποσῴζεται, μίμημα ἀκριβῶς τυγχάνοντος τῆς ἐκείνου φιλοθεΐας· ὅστις καὶ τὴν ἐπίδοξον καὶ σωτηριώδη τοῦ Κυρίου προσκυνουμένην ἀρξάμενος ἀπετέλεσεν γένναν, ἧς αἱ φθάσα-

2 κῶδ. *ἐπιγέγραπτω ἑβραϊστή, ἑλ. ῥωμαϊστή. οὗτος.*—3 *ἑβραΐδη.*—6 *ἀποκαλύπτη.* — 7 *αἰώθεινῶν* || *φωτινὰς.* — 9 *τίμηον μαρμέροντα.* — 12 *φρονίσαντι.* — 15 ἄγγ. φωτὸς] Κορινθ. 2. ια', 14. — 16 *λιψάνου.* — 19 *λίψανον.* — 22 *ἀνεδείσατο.* — 23 *ἀγόνων.* — 24 *ὀκοδωμιθήσις.* — 28 *ὥστις.*

Digitized by Google

σαι γενεαὶ τῶν καλῶν τῇ σπουδῇ, μᾶλλον δὲ τοῦ αὐτοῦ εὐχαῖς, ἀπολαύειν καταξιοῦνται.

7. Ὦ καλλίνικε, ὦ παναοίδιμε καὶ τρισόλβιε μάκαρ, ὦ Στέφανε μάρτυς τὰ ἄνθη εὐωδιάζων τῆς εὐσεβείας, ὦ ἐργαστήριον ἀρετῶν, ὦ πανδοχεῖον πνευματικῶν κατορθωμάτων, ὦ λαμπτὴρ τῷ πρωῒ ἀνατέλλων (καὶ γὰρ σὺν ἀνθρώποις βιωτεύων διέλαμπες, σημεῖα καὶ τέρατα καὶ διάφορα ἰάματα ἐπιδεικνύμενος, τὰς ἀντικειμένας δυνάμεις κολάζων καὶ τοὺς ἀντιταττομένους Δαίμονας, αὐτόν τε τὸν πολυσχιδῆ Δαίμονα βασανίζων ταῖς ἐνεργείαις), πρωτοστάτα τῶν μαρτύρων, συνόμιλε τῶν Ἀγγέλων, ὁμόσκηνε τῶν ἀποστόλων, ἐπαινοῦμέν σου τοὺς ἀγῶνας, περιπτυσσόμεθά σου τοὺς ἱδρῶτας, ἐγκαλλωπιζόμεθά σου τὸ μαρτύριον. Ὦ αὐτόπτα τοῦ μονογενοῦς, ἀνεῳχθέντων γάρ σοι τῶν οὐρανῶν εἶδες τὸν υἱὸν τοῦ ἀνθρώπου ἑστῶτα ἐκ δεξιῶν τῆς δόξης (καὶ ὡς ἔπρεπεν τὸν πρῶτον θεάσασθαι τῶν μαρτύρων), καὶ ὥσπερ ἐπὶ τῶν ὀλυμπιακῶν ἀγώνων οἱ ἀγωνοθέται τοὺς νικητὰς βραβεύουσιν, οὕτως ὁ μέγας ἀγωνοθέτης Χριστός, ὑπὲρ οὗ καὶ συνεκρότεις τοὺς ἀγῶνας καὶ τοὺς ἄθλους ὑπέμεινας, ἄνωθεν ἑστὼς τὰ βραβεῖα καὶ τοὺς στεφάνους θαυμάζων ἀπέσῳζεν τοῦ ἰδίου ἀθλητοῦ, ὧνπερ ἐπειλήφεις, τὰς ὑπομονὰς ἐκπληττόμενος· ἐκχυθέν σου γὰρ τὸ αἷμα τὴν γῆν τῆς εἰδωλολατρείας ἀπέπλυνεν καὶ τοῖς πνιγμοῖς τὸν αἰθέρα θολωθέντα ἐκάθαρεν. Πᾶς τόπος τοῖς σοῖς λειψάνοις φαιδρυνόμενος ἁγιάζεται· πᾶσα ἡ γῆ κατευλογουμένη ταῖς σαῖς εὐλογίαις λαμπρύνεται. Ὦ λαμπρὸν καὶ τῷ ἡλίῳ τῆς δικαιοσύνης καταλαμπόμενον μαρτύριον, συγκοπιάσας συμβασιλεύεις τῷ βασιλεῖ τῶν βασιλευόντων καὶ κυρίῳ τῶν κυριευόντων· προσκυνοῦμεν αὐτοῦ τὸ κράτους, ὑπερυψοῦμεν αὐτοῦ τὴν δύναμιν, σεβόμεθα τὸν τῶν καλῶν δοτῆρα, τὸν φωστῆρα, τὸν λυτρωτήν, τὸν εὐεργέτην τὸν ἄφθονον, τὸν φιλάνθρωπον, τὸν φιλόδουλον δεσπότην, τὸν τοῦ Στεφάνου στέφανον. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

5 κῶδ. *κατωρθωμάτων*.—6 *βιοτεύων*.—7 *σιμεῖα*.—9/10 *προτοστάτα*.—10 *ὁμόσκιναι*. — 11 *περιπτυσσώμεθα*. — 13 *ἴδες*.—16 *ἀγόνων* ‖ *οὗτος*.—17 *συνεκρότης*.—19 *ἐπιλείφεις*.—21 *εἰδολολατρίας*.—24 ἡλ. τῆς δικαιοσύνης] Μαλαχ. δ', 2.—30 *ἀμίν*.

VI.

(ΙΕΡΩΝΥΜΟΥ καὶ ΣΩΦΡΟΝΙΟΥ)

ΒΙΟΣ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΛΑΡΙΩΝΟΣ.

(Cod. Sabbait. 27, f. 237α-283) [1].

1. Μέλλων συγγράφειν τὸν βίον τοῦ ἀββᾶ Ἱλαρίωνος, τὸ ἐνοικῆσαν ἐν αὐτῷ πνεῦμα ἅγιον ἐπικαλοῦμαι, ἵνα, ὥσπερ ἐκείνῳ τὴν ἰσχὺν ἐχαρίσατο, οὕτως κἀμοὶ πρὸς τὸ διηγήσασθαι λόγον παράσχοι καὶ ὅπως τοῖς λόγοις τε τὰ ἔργα ἐξισωθείη· τῶν γὰρ τοιούτων ἡ ἀρετὴ τοσαύτη ὑπάρχει, ὥς φησιν Κρίσπος, ὅσον

[1] Ἱεροσολυμ. Βιβλιοθήκη, II, σ. 55· ἐγένετο δὲ τὸ σαβαϊτικὸν ἀντίγραφον τῇ ἑνδεκάτῃ ἑκατονταετηρίδι καὶ σφάλματα γραφικὰ περιέχει ὡς εἰκὸς ἐν ἑαυτῷ ἱκανά, ὧν ἐγὼ δῆλα ποιῶ μόνα τὰ ἐμοὶ γνωστά· μέρος γὰρ αὐτοῦ μόνον ἐξ αὐτοῦ τοῦ κώδικος αὐτὸς ἐγὼ ἐξεγραψάμην, τὸ δὲ λοιπὸν κείμενον ἀπέστειλέ μοι φιλοτίμως ἐκγραψάμενος εἷς τῶν ἐν τῇ πόλει Ἱεροσολύμων ἑταίρων, καὶ τοῦτο τύποις οὕτως ἐκδίδοται, ὡς ἐκεῖθεν ἀπεστάλη μοι. Ἀντίγραφον τοῦ αὐτοῦ βίου, ὡς δὲ φαίνεται, πολὺ διάφορον τοῦ σαβαϊτικοῦ ἀντιγράφου, εὑρίσκεται κείμενον ἔν τινι χαρτίνῳ κώδικι τῆς ἐν τῇ νήσῳ Σάμῳ μονῆς τοῦ τιμίου Σταυροῦ. Ἐπαμεινώνδας ὁ Σταματιάδης [Ἐκκλησιαστικὰ Σύλλεκτα. Ἐν Σάμῳ 1891, σ. 9] ἐσημειώσατο, ὅτι ὁ ἐν τούτῳ τῷ κώδικι βίος τοῦ ὁσίου Ἱλαρίωνος ἄρχεται ὧδε· «Μέλλων συγγράψαι τὸν βίον τοῦ μακαρίου Ἱλαρίωνος, τὸ ἐνοικοῦν ἐν αὐτῷ ἅγιον πνεῦμα ἐπικαλοῦμαι, ὅπως τὸ δωρησάμενον τὰς ἀρετὰς ἐκείνῳ κἀμοὶ λόγον διηγήσασθαι αὐτὰς παράσχῃ»· λήγει δὲ εἰς τάσδε τὰς λέξεις· «συμμαχοῦντος τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, τοῦ ζῶντος καὶ βασιλεύοντος εἰς αἰῶνας τῶν αἰώνων».—Ἐν τοῖς πονήμασιν Ἱερωνύμου φέρεται βίος τοῦ ὁσίου Ἱλαρίωνος, ὃν ὄντως αὐτὸς ὁ Ἱερώνυμος συνέγραψε. Τούτου μὲν οὖν τοῦ βίου μετάφρασίς ἐστιν ἑλληνικὴ τὸ κείμενον, ὅπερ ἐν τῷδε κατακεχώρισται τῷ τόμῳ· ἀλλ' ἐπειδὴ πάλιν ἡ τοιαύτη μετάφρασις ἐν πολλοῖς τῶν κεφαλαίων, οἷς ὁ βίος συνίσταται, σφόδρα διάφορον τοῦ λατινικοῦ παρίστησι κείμενον, ἔχει

1 κώδ. *συγγράφην*.

Digitized by Google

αὐτὴν τοῖς ῥήμασιν ἐπᾶραι δύνανται αἱ ὑπέρλαμπροι φύσεις. Ὁ μὲν γὰρ Ἀλέξανδρος ὁ Μακεδών, ὅν τινα ἄρκον ἢ πάρδαλιν ἢ τράγον τῶν αἰγῶν ὁ Δανιὴλ καλεῖ, ὅτε εἰς τὸν τάφον τοῦ Ἀχιλλέως παρεγένετο, "Ὦ εὐδαιμονέστατε νεανία", φησίν, "μεγάλου κήρυκος τῶν κατορθωμάτων σου τετυχηκώς", Ὅμηρον δηλαδὴ λέγων· ἐμοῦ δὲ τοσούτου καὶ τηλικούτου ἀνδρὸς ἡ ἀναστροφὴ καὶ ὁ βίος λεκτέος ἐστίν, οὕτινος τῇ ὑποθέσει, εἰ καὶ αὐτὸς Ὅμηρος παρείη, ἐφθόνησεν ἂν ἢ παντελῶς ὑπέπιπτεν. Εἰ καὶ ὅτι μάλιστα ὁ ἅγιος Ἐπιφάνιος, ὁ τῆς Σαλαμινῆς τῆς Κύπρου ἐπίσκοπος, μετὰ Ἱλαρίωνος πλεῖστον συναναστραφεὶς χρόνον τὸν ἔπαινον αὐτοῦ ἐν βραχυτάτῃ ἐπιστολῇ ἔγραψεν, ἥτις πανταχοῦ ἀναγινώσκεται, ὅμως ἕτερόν ἐστιν κοινῷ τόπῳ ἐγκωμιάσαι τὸν τελευτήσαντα, ἕτερον δὲ τοῦ ἀπελθόντος τὰς οἰκείας ἀρετὰς διηγήσασθαι. Ὅθεν καὶ ἡμεῖς τῇ εὐφημίᾳ μᾶλλον, ἢ ἐφεδρεύθη, [τοῦ] ἐναρχθέντος παρ' αὐτοῦ [ἔργου] ἐπιχειροῦντες, τῆς φωνῆς τῶν λοιδόρων

δὲ καὶ μέρη λίαν ἐκτενῆ, μὴ περιεχόμενα ἐν τῇ ἱερωνυμείῳ συγγραφῇ, γνώμης εἰμί, ὅτι τὸ μετάφρασμα τοῦτο, μεθ' οἵων εὑρίσκεται συμπληρωμάτων, ἔργον ἐστὶ Σωφρονίου, περὶ οὗ αὐτὸς ὁ Ἱερώνυμος οὕτως εἴρηκε· **Sophronius, vir apprime eruditus, laudes Bethlchem adhuc puer, et nuper de subversione Serapis insignem librum composuit: de virginitate quoque ad Eustochium, et vitam Hilarionis monachi, opuscula mea, in graecum eleganti sermone transtulit: Psalterium quoque et prophetas, quos nos de hebraeo in latinum vertimus** = Σωφρόνιος, ἀνὴρ εἰς ἄκρον πεπαιδευμένος, τοὺς ἐπαίνους Βηθλεὲμ ἔτι νέος ὢν συνέθηκεν, ὑπόγυον δὲ περι τῆς καταλύσεως τοῦ Σεραπείου ἐπίσημον συνέθηκε λόγον· καὶ περὶ παρθενίας πρὸς Εὐστόχιον καὶ τὸν βίον Ἱλαρίωνος μοναχοῦ, τὰ συγγράμματά μου, εἰς ἑλληνικὸν λόγον εὐφυῶς μετέφρασε, καὶ τὸ Ψαλτήριον δὲ καὶ τοὺς Προφήτας, οὓς ἡμεῖς ἀπὸ τοῦ ἑβραίου εἰς ῥωμαϊκὸν μετηνέγκαμεν» [**Hieronymi liber de viris illustribus, cap. cxxxiv. Migne, Patrol. latina**, τ. 23, σ. 755]. Σημειωτέον ἔτι, ὅτι τῆς ἑλληνικῆς ταυτησὶν ἑρμηνείας τοῦ βίου Ἱλαρίωνος μοναχοῦ πλήρες ὑπῆρχε πάλαι ποτὲ μεμβράνινον ἀντίγραφον ἐν τῇ μονῇ τοῦ Διονυσίου, τῇ ἐν τῷ Ἁγίῳ Ὄρει, ὅπερ ἦν μικροῖς κεφαλαιώδεσι γεγραμμένον γράμμασι τῆς ὀγδόης ἢ τῆς ἑβδόμης ἑκατονταετηρίδος· μία δ' ἑκάστη τῶν σελίδων αὐτοῦ μονόστηλον εἶχε τὸ κείμενον ἐκ γραμμῶν τριάκοντα· σήμερον ὅμως ἐν τῇ μονῇ ἐκείνῃ ἓν καὶ μόνον ὑπάρχει φύλλον (φάκελος ἀριθ. 582), μήκους μὲν ὂν 0,182, πλάτους δὲ 0,105· περιέχεται δ' ἐν αὐτῷ τό τε 22-ον τοῦ βίου κεφάλαιον καὶ μέρος τοῦ κατόπιν 22-ου κεφαλαίου.

1 κῶδ. *ὑπέρλαμπραι*. — 2 *πάρδαλην*. — 3 Δανιὴλ ζ', 5, 6 || *ἀχιλέως*. — 5 *τετυχικώς*. — 7 *λεκταῖος*. — 8 παρείη = adesset] *περίην*. — 10 *πλείστων συναναστραφῆς χρόνων*.

*

καταφρονοῦμεν, τῶν ποτὲ μὲν διαβαλλόντων τὸν ἡμέτερον Παῦλον, νῦν δὲ Ἱλαρίωνα τυχὸν διασυρόντων, ἐκεῖνον μὲν διὰ τὴν ἐρημίαν συκοφαντούντων, τούτῳ δὲ ὑποβάλλοντες τὴν πολυοχλίαν, ὡς τὸν μὲν ἀεὶ λανθάνοντα μηδὲ γεγενῆσθαι δοκεῖν, τὸν δὲ ὑπὸ πολλῶν ὁρώμενον εὐτελῆ νομίζεσθαι. Τοῦτο πεποιήκασίν ποτε καὶ οἱ πρόγονοι αὐτῶν Φαρισαῖοι, οἷς οὔτε ἡ Ἰωάννου ἔρημος καὶ νηστεία, οὔτε ἡ τοῦ κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ πολυοχλία καὶ τροφὴ καὶ τὸ πῶμα ἤρεσκεν· ἀλλὰ γὰρ τῷ προτεθέντι λόγῳ ἀρχὴν ποιήσωμεν.

2. Ἱλαρίων ἐγεννήθη ἐν κώμῃ Θαβαθά, ἥτις περίπου πέντε μίλια ἀπὸ τῆς Γαζαίων πόλεως τῆς Παλαιστίνης πρὸς νότον κεῖται. Οὗτος γονεῖς ἔχων ἐκδεδομένους τοῖς εἰδώλοις, ῥόδον ὡς εἰπεῖν ἀπὸ ἀκανθῶν ἐξήνθησεν· παρ' ὧν ἀποσταλεὶς εἰς τὴν Ἀλεξάνδρειαν, κἀκεῖσε γραμματικῷ παραδοθείς, ὅσον ἐκείνη ἐνεδέχετο ἡ ἡλικία, μέγιστα τῆς ἑαυτοῦ φύσεως καὶ τῶν τρόπων δοκίμια ἐν βραχεῖ χρόνῳ παρέσχεν, πᾶσίν τε τιμιώτατος ἦν καὶ τῆς τέχνης τῶν λόγων ἔμπειρος, καὶ ὅπερ τούτων πάντων μεῖζον ἦν, εἰς τὸν κύριον Ἰησοῦν Χριστὸν ἐπίστευσεν· οὐ γὰρ ἑαυτὸν τῇ μανίᾳ τῆς ἱπποδρομίας, οὐ τῷ αἵματι τῶν κυνηγίων, οὐδὲ θεατρικῇ αἰσχρότητι ἔτερπεν, ἀλλ' ὅλη αὐτοῦ ἡ προαίρεσις ἐν τῇ συνάξει τῆς ἐκκλησίας ἦν.

3. Ἀκούων δὲ τότε συνεχῶς τὸ ὄνομα τοῦ ἁγίου Ἀντωνίου, ὅπερ διὰ πάντων τῶν δήμων τῆς Αἰγύπτου διεφημίζετο, ἀναφθεὶς τῇ σπουδῇ πρὸς τὸ θεάσασθαι αὐτόν, παρῆλθεν εἰς τὴν ἔρημον, καὶ ἰδὼν αὐτόν, εὐθέως ἀλλάξας τὸ σχῆμα τὸ πρότερον, δύο μῆνας πλησίον αὐτοῦ ἔμεινεν, ἀναθεωρῶν αὐτοῦ τοῦ βίου τὴν ἀκολουθίαν καὶ τῶν τρόπων τὴν βαρύτητα, πῶς μὲν ἀδιαλείπτως ἦν ἐν τῇ προσευχῇ, πῶς δὲ ταπεινὸς ἐν ταῖς ὑποδοχαῖς τῶν ἀδελφῶν, αὐστηρὸς ἐν τῷ ἐπιτιμᾶν, πρόθυμος ἐν τῷ παρακαλεῖν, καὶ ὅπως τὴν ἐγκράτειαν καὶ τῆς τροφῆς αὐτοῦ τὴν βραχύτητα οὐδεμία πώποτε ἀσθένεια ἔπαυσεν. Πάλιν οὖν τὴν πολυοχλίαν τῶν

13 κῶδ. παρῶν. — 14 παραδωθείς. — 15 τὸν τρόπον δοκημασία ἐν βραχύ.— 27 ἀδιαλήπτως. — 31 ἀσθενία.

Digitized by Google

πρὸς αὐτὸν παραγενομένων διὰ ποικίλα πάθη καὶ ὁρμὰς Δαιμόνων οὐ φέρων, οὐδὲ πρέπον ἐν τῇ ἐρήμῳ λέγων δήμους πόλεων ὑπομένειν, ἀλλ' αὐτὸν οὕτως ἄρξασθαι, καθὼς ἤρξατο Ἀντώνιος, ἐκεῖνον λέγων ὥσπερ ἄνδρα γενναῖον τῆς νίκης τὰ ἔπαθλα λαμβάνειν, ἑαυτὸν δὲ μηδέπω τῆς στρατείας ἐφάψασθαι, μετά τινων μοναζόντων εἰς τὴν ἰδίαν πατρίδα ἐπέστρεψεν· καὶ τῶν γονέων αὐτοῦ τελευτησάντων, μέρος μὲν τῆς οὐσίας τοῖς ἀδελφοῖς δίδωσιν, μέρος δὲ τοῖς πτωχοῖς διανείμας, οὐδὲν ἑαυτῷ τὸ σύνολον ὑπολειπόμενος, φόβῳ τοῦ ἐν ταῖς τῶν Ἀποστόλων πράξεσιν Ἀνανίου καὶ Σαπφείρης ὑποδείγματος καὶ τιμωρίας, μάλιστα καὶ τῆς Κυριακῆς ἀποφάσεως μνημονεύων, τῆς λεγούσης· "ὃς οὐκ ἀποτάσσεται πᾶσιν τοῖς ὑπάρχουσιν αὐτοῦ, οὐ δύναταί εἶναί μου μαθητής". Ἦν οὖν τότε πεντεκαιδεκαέτης, ὅτε γυμνός, καθωπλισμένος δὲ ἐν Χριστῷ, εἰς τὴν ἔρημον ἀπῆλθεν, ἥτις ἐν τῷ ἑβδόμῳ σημείῳ ἀπὸ τοῦ ἐμπορίου Μαϊουμᾶ τῆς Γάζης διὰ τοῦ αἰγιαλοῦ πορευόμενος εἰς Αἴγυπτον ἐν ἀριστερᾷ κάμπτεται· ἐκείνων δὲ τῶν τόπων ταῖς τε ληστρικαῖς ἐφόδοις ᾑμαγμένων, καὶ τῶν συγγενῶν αὐτοῦ καὶ φίλων ἀπαγγελλόντων τὸν ἐπηρτημένον κίνδυνον, κατεφρόνησεν τοῦ θανάτου, ἵνα τὸν θάνατον ἐκκλίνῃ.

4. Ἐθαύμαζον τὴν ἡλικίαν αὐτοῦ, ἐθαύμαζον δὲ πάντες καὶ τὸν λογισμὸν αὐτοῦ· πλὴν ὅτι καθάπερ τις φλὸξ ἐκ τοῦ στήθους αὐτοῦ καὶ σπινθῆρες ἐν τοῖς ὀφθαλμοῖς αὐτοῦ ἔλαμπον· λεῖαι γὰρ ἦσαν αἱ παρειαί, ἀστεῖον τὸ σῶμα καὶ ἰσχνὸν καὶ πρὸς πᾶσαν ὕβριν μὴ ἀντέχον, ὅπερ ἐλαχίστῳ ψύχει καὶ καύματι διελύετο. Τοίνυν σάκκῳ μόνον τὰ μέλη περιβαλὼν καὶ ἀπὸ δορᾶς ἔχων ἐπενδύτην, ὃν αὐτῷ ὁ μακάριος Ἀντώνιος ἀποδημοῦντι δεδώκει, καὶ στρῶμα ἀγροικικόν, μεταξὺ τῆς θαλάσσης καὶ τῆς λίμνης ὤν, τραχυτάτης καὶ φοβερωτάτης ἐρημίας ἀπήλαυεν, δεκαπέντε μόνας ἰσχάδας μετὰ δυσμὰς ἡλίου ἐσθίων. Καὶ ἐπειδὴ ἡ περίχωρος πᾶσα ἐκείνη λῃστηρίων πεπληρωμένη ἦν, ὁ ἐν τῷ

2 κῶδ. *πρέπων*. — 4 γενναῖον=fortem] *γενέσθαι*. — 5 *στρατίας*. — 9 Πράξ. ε', 1-11. — 10 *σαπφήρης*. — 11/13 Λουκᾶ ιδ', 33 || *μνημονεύον*. — 13 *καθοπλισμένος*. — 15 *ἐυπορίου*. — 21 *στίθους*. — 23 *λίαι* || *παριαί*, *ἄστιον*. — 24 *ἀντέχων* || ψύχει] *ψυχῇ*. — 25 *μέλει*. — 29 *σχάδας*.

Digitized by Google

αὐτῷ τόπῳ παραμένων Διάβολος ἐδυσχέραινεν τί ποιήσει, ποῦ αὐτὸν τρέψει, καὶ ὁ σεμνυνόμενος πρὸ τούτου καὶ λέγων "εἰς τὸν οὐρανὸν ἀνέλθω καὶ ὕπερθεν τῶν ἄστρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ", ἔβλεπεν ἑαυτὸν ὑπὸ παιδὸς ἡττώμενον καὶ πρότερον ὑπ' αὐτοῦ καταπατούμενον ἢ διὰ τῆς ἡλικίας ἁμαρτάνειν δύνασθαι.

5. Τοιγαροῦν ἐγαργάλιζεν τὰς αἰσθήσεις αὐτοῦ καὶ τῷ ἀκμάζοντι σώματι τὰ εἰωθότα ὑπεκκαύματα τῶν ἡδονῶν ὑπέβαλλεν. Ἠναγκάζετο γοῦν ὁ τοῦ Χριστοῦ στρατιώτης ἐνθυμεῖσθαι, ὅπερ οὐκ ᾔδει, καὶ τοῦ τοιούτου πράγματος τὴν πομπὴν λογίζεσθαι, οὗ τὴν πεῖραν ἠγνόει. Ὀργισθεὶς τοίνυν τὸ στῆθος αὐτοῦ γρόνθοις ἔτυπτεν, ὥσπερ δυνάμενος τῇ πληγῇ τῆς χειρὸς τὰς ἐνθυμήσεις ἐξωθεῖν, καὶ φησίν· "Ἐγώ σε ποιήσω, ὄνε, μηκέτι λακτίζειν· οὐδὲ γάρ σε ἔτι κριθαῖς θρέψω, ἀλλὰ ἀχύροις καὶ λιμῷ καὶ δίψει καταναλώσας βαρύτερά σοι ἐπιθήσω φορτία καὶ διὰ τοῦ καύματος ἐλάσω καὶ διὰ τοῦ ψύχους, ὥστε σε τροφὴν ἐπιζητεῖν μᾶλλον ἢ τρυφήν". Τοίνυν χυλοῦ βοτανῶν καὶ ὀλίγοις ἰσχαδίοις μετὰ τρεῖς ἢ τέσσαρας ἡμέρας ἐκλείπουσαν τὴν ψυχὴν ἐβάσταζεν, εὐχόμενος συνεχῶς καὶ ψάλλων καὶ δικέλλῃ τὴν γῆν σκάπτων, ἵνα τῶν νηστειῶν τὸν κάματον ὁ τοῦ ἔργου κόπος διπλασιάσῃ· ἅμα δὲ καὶ κοφίνους ἀπὸ σχοινίων ἐνυφαίνων καὶ σειρὰς βαΐων ἔπλεκε, τοὺς ἐν Αἰγύπτῳ μοναχοὺς μιμούμενος. Εἰς τοσοῦτον οὖν τῇ ὑπερβολῇ τῶν νηστειῶν ἑαυτὸν κατέτηξεν, ὡς μόλις τὰ ὀστᾶ αὐτοῦ ὑπὸ τῆς τοῦ σώματος ἐπιφανείας συγκροτεῖσθαι.

6. Ἐν μιᾷ οὖν νυκτὶ προσευχόμενος ἤρξατο ἀκούειν παιδίων φωνὰς ὀλολυζόντων, καὶ λεόντων ὠρυομένων καὶ παντοδαπῶν θηρίων βρυγμούς, καὶ συμμιγεῖς τινας καὶ ἀσχήμους φωνὰς καὶ κτύπους μεγίστους ἀφανεῖς, καὶ θρῦλον καὶ ταραχώδη τοῦ ἐχθροῦ ἦχον, ὡς ἐκ τούτου νοῆσαι σαφῶς αὐτόν, ὅτι τῶν Δαιμόνων εἰσὶν αἱ μεθοδεῖαι τῶν φαντασμάτων. Τῷ οὖν σημείῳ τοῦ σταυ-

3 Ἡσαΐου ιδ', 14. — 5 *ἡττόμενον*. — 8 *ὑπέβαλεν*. — 17 *χύλου*. — 18/22 ἢ τέσσαρας - - μιμούμενος] ταῦτα πάντα γέγραπται ἐν τῇ ᾤᾳ τοῦ 238-ου φύλλου. — 20 *διπλασιάσει*. — 21 *σχυνίων ἐνΰφένων*. — 30 *μεθοδίαι*.

Digitized by Google

ροῦ σφραγίσας ἑαυτὸν καὶ τὸν θυρεὸν τῆς πίστεως καὶ πᾶσαν τὴν πανοπλίαν τοῦ Θεοῦ ἐνδυσάμενος, θεὶς τὰ γόνατα ἐκτενῶς παρεκάλει τὸν Θεὸν δεῖξαι αὐτῷ ἡττωμένην παραυτίκα καὶ καταπίπτουσαν τὴν τοῦ ἐχθροῦ δύναμιν. Σελήνης οὖν λαμπρᾶς καταλαμπούσης τὴν νύκτα ἐκείνην εἶδεν ἅρμα ἵππων ὀξυτάτῳ δρόμῳ καὶ μεγίστῃ ταραχῇ φωνῶν καὶ ψόφων ἐρχόμενον ὑπεράνω αὐτοῦ. Ἀτρεμὴς οὖν ὑπάρχων ὁ τοῦ Χριστοῦ στρατιώτης ἐπεκαλέσατο τὸν Κύριον λέγων, "Κύριε, βοήθει μοι"· καὶ παραχρῆμα πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ, ὑπορραγείσης τῆς γῆς, πᾶσα ἡ τοῦ ἐχθροῦ δύναμις κατεπόθη. Τότε δοξάζων τὸν Κύριον ἔψαλλε λέγων· "Ἐξέτεινας τὴν δεξιάν σου, κατέπιεν αὐτοὺς γῆ"· καὶ "Οὗτοι ἐν ἅρμασι καὶ οὗτοι ἐν ἵπποις, ἡμεῖς δὲ ἐν ὀνόματι κυρίου Θεοῦ ἡμῶν ἐπικαλεσόμεθα· αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσον, ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν".

7. Καταπεσὼν δὲ ὁ ἐχθρὸς οὐκ ἐπαύσατο, ἀλλὰ πάλιν ἑτέραις μεθοδείαις πειράζειν αὐτὸν ἐπεχείρει. Γυναῖκας αὐτῷ γυμνὰς καὶ θρυπτομένας αἰσχρῶς καθεύδοντι παριστῶν καὶ πεινῶντι αὐτῷ φαντασίας ποικίλας, βρωμάτων πλῆθος, προσφέρει· καὶ προσευχομένου αὐτοῦ, λύκος γινόμενος, πλησίον αὐτοῦ ἑστώς, ὠρυᾶτο. Καὶ ἄλλοτε πάλιν ἀλώπηξ γενόμενος, διαχλευάζων αὐτὸν ἤρξατο ἔμπροσθεν αὐτοῦ ἅλλεσθαι, καὶ ψάλλοντος αὐτοῦ κατὰ μόνας, πολέμου ταραχὴν ποιῶν, ὡς σφαγεὶς πρὸς τοὺς πόδας αὐτοῦ ἔπιπτεν, ἀξιῶν ταφῆναι παρ' αὐτοῦ.

8. Τούτων δὲ γινομένων παρὰ τοῦ ἐχθροῦ, ὁ ἅγιος ἐκτενῶς ηὔχετο· συνέβη δὲ ἐν τῇ προσευχῇ, οἷα γίνεται τὰ ἀνθρώπινα, τῆς διανοίας αὐτοῦ μετεωρισθείσης, εἶδεν ὥσπερ ἡνίοχόν τινα ἐπὶ τοῦ νώτου ἑαυτοῦ καθεσθέντα καὶ τοῖς ποσὶ τὰς πλευρὰς αὐτοῦ διαλακτίζειν καὶ μετὰ φραγελλίου τύπτειν αὐτοῦ τοὺς ὤμους καὶ τὸν τράχηλον αὐτοῦ εὐτόνως καὶ λέγειν αὐτῷ "Τρέχε καλῶς, ἵνα μὴ νυστάζῃς, καὶ εἰ ἀτονεῖς ἀπὸ τῶν ἀχύρων, φάγε κριθάς, ἵνα μέλλῃς καλῶς τρέχειν".

6 κῶδ. *φονῶν*. — 9 *ὑπορραγήσης*. — 10/11 Ἐξόδ. ιε', 12. — 11/13 Ψαλ. ιθ', 8, 9. — 12 ἐπικαλεσόμεθα] οὕτως ἐν τῷ κώδικι ἀντὶ τοῦ *μεγαλυνθησόμεθα*. — 15 *μεθοδίαις*· οὕτω καὶ κατόπι. — 27 *διαλακτίζων*.

Digitized by Google

9. Ταύταις ταῖς μεθοδείαις τοῦ ἐχθροῦ καρτερῶς ἀνταγωνιζόμενος ὁ μακάριος ἔξω τοῦ σπηλαίου ἀπὸ χαράκων συχῆς ἐποίησεν ἑαυτῷ σκηνὴν πλάτους ποδῶν τεσσάρων καὶ ὕψους πηχῶν τριῶν, τῆς ἡλικίας αὐτοῦ χαμηλοτέραν, τοῦ δὲ μήκους ὅσον ἂν καθεύδων ἐδύνατο χωρῆσαι. Τοιαύτην ἐποίησεν αὐτήν, ἵνα τάφος ᾖ μᾶλλον ἤπερ ἀνάπαυσις. Ἐνταῦθα ἀπὸ ἕξ καὶ δεκάτου ἔτους ἕως εἰκοστοῦ ἔτους ἑαυτὸν ἐγκαθείρξας διετέλει, οὔτε τοῖς καύμασιν οὔτε ταῖς βροχαῖς ἐξελθὼν ἀπ' αὐτῆς.

10. Τὴν δὲ κόμην τῆς κεφαλῆς αὐτοῦ ἅπαξ τοῦ ἐνιαυτοῦ, κατὰ τὴν ἁγίαν τοῦ Πάσχα ἡμέραν, ἐκείρετο· ἡ δὲ στρωμνὴ αὐτοῦ ἦν διὰ τῶν πλεκτῶν χαράκων ἐπὶ τῆς γῆς ἕως τοῦ θανάτου αὐτοῦ· τὸν δὲ χιτῶνα εἶχε κατὰ τὸν τύπον, ὃν ἔδωκεν αὐτῷ ὁ ἅγιος Ἀντώνιος, τρίχινον, καὶ οὔτε ἤλλασσεν αὐτόν, οὔτε ἔπλυνεν, ἕως οὗ ἐπαλαιώθη· περισσὸν γὰρ ἔλεγεν εἶναι ἐν τριχίνῳ ἱματίῳ καθαρότητα ἐπιζητεῖν. Ἔψαλλεν δὲ καὶ ηὔχετο καὶ τῶν ἁγίων Γραφῶν ἐμνημόνευεν, ὡς διὰ τῆς τούτων μνήμης οἴεσθαι αὐτὸν τὸν Κύριον ὁρᾶν· καὶ τὸν τύπον τῶν νηστειῶν κατὰ τὴν τῶν χρόνων αὔξησιν παρηλλαγμένως ἐποιεῖτο.

11. Ὅθεν ἀπ' ἀρχῆς τῆς ἀσκήσεως αὐτοῦ, τουτέστιν ἀπὸ πεντεκαιδεκαετοῦς χρόνου, ἤσθιεν δεκαπέντε σῦκα μόνον· εἶτα, ἀρξαμένου τοῦ ἐχθροῦ λογισμοὺς αἰσχροὺς ὑποβάλλειν αὐτῷ, ὑφεῖλεν ἀπ' αὐτῶν ἓν καὶ ἤσθιεν ἀγρίας βοτάνας ὠμὰς ἕως εἰκοστοῦ ἔτους· ἀπὸ δὲ τοῦ εἰκοστοῦ ἔτους ἕως τοῦ εἰκοστοῦ τετάρτου ἔτους ἤσθιεν ἡμίξεστον φακῆς βρεκτῆς, ὠμῆς—αὐτὸ μόνον—, καὶ ἀπὸ τοῦ εἰκοστοῦ τετάρτου ἔτους ἕως τοῦ εἰκοστοῦ ἑβδόμου ἄρτον ξηρὸν καὶ ἅλας· εἶτα, ἀπὸ τοῦ εἰκοστοῦ ἑβδόμου ἕως τοῦ τριακοστοῦ ἔτους, βοτάνας ἀγρίας ὠμὰς καὶ βαλάνων ῥίζας, καὶ ἀπὸ τοῦ τριακοστοῦ ἔτους ἕως τοῦ τριακοστοῦ πέμπτου ἓξ οὐγκίας ἄρτου κριθίνου καὶ λάχανα ἑψημένα ἄνευ ἐλαίου. Ἀπὸ γοῦν τῆς ἄγαν κακουχίας ἀμβλυωπούντων αὐτοῦ τῶν ὀφθαλμῶν καὶ ὅλου τοῦ σώματος αὐτοῦ λειχηνιάζοντος καὶ δίκην κισσήρεως τραχυνθέντος, διὰ ταύτην

6 κῶδ. *ἀνάπαυσιν.* — 16 οἴεσθαι] *οἶσθαι.* — 29 *ἠψημένα.* — 31 *λιχνιάζοντος* || *κισίρεως.*

Digitized by Google

τὴν αἰτίαν ἠναγκάσθη ἀπὸ τριακοστοῦ πέμπτου ἔτους ἕως τοῦ ἑξηκοστοῦ ἔτους λάχανα μετὰ ἐλαίου ἐσθίειν, ἀπεχόμενος τῶν ὀσπρίων καὶ πάσης ὀπώρας. Ὡς δὲ εἶδεν τὸ σῶμα ἑαυτοῦ πάνυ κεκλικὸς ὁ ἅγιος, δόξας ἤδη ἐκδημεῖν τοῦ βίου τούτου καὶ πρὸς Κύριον ἀναλύειν, πάλιν ἀπὸ τοῦ ἑξηκοστοῦ ἔτους ἕως τοῦ ὀγδοηκοστοῦ τοῦ ἄρτου ἀπείχετο, τῇ προτέρᾳ διαγωγῇ ἐρεθίζων ἑαυτόν, ἵνα ὡς ἄρτι ἀρξάμενος τῆς ἀσκήσεως ζέων τῷ πνεύματι δουλεύῃ τῷ Κυρίῳ. Ἀπὸ οὖν τοῦ ὀγδοηκοστοῦ ἔτους μέχρι τῆς τελευτῆς αὐτοῦ ἤσθιεν ἄρτου πέντε οὐγκίας καὶ λάχανα μετὰ ἀλεύρου, τὸ λεγόμενον ῥοφίν, μήτε ἐν ἑορταῖς μήτε ἐν ἀρρωστίαις λύσας τὴν ἄσκησιν.

13. Ὄντος δὲ αὐτοῦ ὀκτωκαίδεκα ἔτους, καὶ ἀναμέσον τῆς θαλάσσης καὶ τῆς λίμνης οἰκοῦντος τὸ πρότερον, λῃσταὶ ἐπέστησαν αὐτῷ νυκτός, οἰόμενοι εὑρίσκειν τι παρ' αὐτῷ· δι' ὅλης δὲ τῆς νυκτὸς κυκλοῦντες ἐζήτουν αὐτὸν καὶ οὐχ εὗρον· πρωΐας δὲ γενομένης εἶδον αὐτὸν καὶ ἐξέστησαν. Ὥσπερ οὖν προσμειδιῶντες ἔλεγον αὐτῷ· "Εἰ ἦλθον πρὸς σὲ λῃσταί, τί ἐποίεις"; Ἀποκριθεὶς δὲ λέγει· "Γυμνὸς λῃστὰς οὐ φοβεῖται". Εἶτα φασὶν ἐκεῖνοι· "Κἂν σφαγῆναι εὐχερῶς ἔμελλες"; Ἀποκριθεὶς δὲ ὁ ἅγιος εἶπεν· "Ἐπειδὴ γὰρ ἕτοιμός εἰμι τοῦ ἀποθανεῖν, διὰ τοῦτο λῃστὰς οὐ φοβοῦμαι". Θαυμάσαντες δὲ ἐκεῖνοι τὸ στερρὸν τῆς πίστεως αὐτοῦ ὡμολόγησαν, ὅτι "Δι' ὅλης τῆς νυκτὸς ζητοῦντές σε οὐκ ἐδυνήθημεν εὑρεῖν". Καὶ τοῦτο εἰπόντες ἀπῆλθον ἀπ' αὐτοῦ καὶ οὐκέτι ἤγγισαν τῷ τόπῳ ἐκείνῳ.

13. Εἴκοσι δὲ καὶ δύο ἔτη ἔχοντος αὐτοῦ λοιπὸν ἐν τῇ ἀσκήσει, διὰ πάσης τῆς Παλαιστίνης ἡ ἐν Θεῷ αὐτοῦ πολιτεία ἐκηρύττετο· γυνὴ δέ τις ἀπὸ Ἐλευθεροπόλεως ἔχουσα ἔτη πεντεκαίδεκα μετὰ τοῦ ἀνδρὸς αὐτῆς καὶ μὴ τίκτουσα, διὰ τὸ εἶναι αὐτὴν στεῖραν, παραγενομένη πρὸς αὐτὸν ἔπεσε πρὸς τοὺς πόδας αὐτοῦ· ὁ δὲ ἰδὼν αὐτὴν ἔφυγεν ἀπ' αὐτῆς· οὐδέπω γάρ, ἀφ' οὗ ἀπετάξατο, ἐλαλήκει γυναικί, ἢ ὅλως ἐληλύθει πρὸς αὐτὸν γυνή· ἡ δὲ μετὰ δακρύων παρεκάλει αὐτὸν λέγουσα· "Τί με ἀποστρέφῃ; τί με φεύγεις, δι' ὑπερβολὴν θλίψεως, ἄνθρωπε, δεομένην σου;

2 ἐσθίειν] ἤσθιεν. — 3 κεκληκώς.

σπλαγχνίσθητι ἐπ' ἐμέ, δοῦλε τοῦ ἀληθινοῦ Θεοῦ· μνήσθητι, ὅτι ταύτην τὴν φύσιν ἐτίμησεν ὁ Θεὸς καὶ ἐκ ταύτης κατηξίωσε σάρκα ἐνδύσασθαι, καὶ αὕτη ἡ φύσις ἐγέννησέν σε· τούτου χάριν μή με ἀποστρέψῃς κενὴν ἀπὸ σοῦ· οὐ γὰρ ἔχουσιν ἰατροῦ χρείαν οἱ ὑγιαίνοντες, ἀλλ' οἱ κακῶς ἔχοντες". Ταύταις ταῖς ἱκεσίαις τῆς γυναικὸς συμπαθήσας ὁ ἅγιος ἐπυνθάνετο παρ' αὐτῆς τὴν αἰτίαν τῆς αἰτήσεως, καὶ μαθὼν λέγει αὐτῇ· "Θάρσει, γύναι· πορεύου εἰς τὸν οἶκόν σου καὶ δῴη σοι Κύριος τὸ αἴτημά σου, ὃ ᾐτήσω παρ' αὐτοῦ". Ὑπέστρεψεν οὖν ἡ γυνὴ χαίρουσα πρὸς τὸν ἄνδρα αὐτῆς, καὶ ἐν γαστρὶ λαβοῦσα ἔτεκεν υἱόν, καὶ πληρωθέντος τοῦ ἐνιαυτοῦ ἤγαγεν αὐτὸν πρὸς τὸν ἅγιον εὐχαριστοῦσα τῷ Κυρίῳ. Ἰδὼν δὲ τὸ παιδίον ὁ ἅγιος εὐλόγησεν αὐτὸ καὶ τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ ὑπέστρεψαν εἰς τὸν οἶκον αὐτῶν, εὐλογοῦντες τὸν Θεόν.

14. Μετὰ δὲ ταῦτα Ἀρισταινέτη συγκλητική, Ἐλπιδίου τινὸς ἀπὸ ἐπάρχων τῶν πραιτωρίων γυνή, ἀνδρὸς εὐσεβοῦς καὶ πάνυ τιμῶντος τοὺς χριστιανούς, μετὰ τοῦ ἀνδρὸς αὐτῆς καὶ τῶν τριῶν τέκνων πρὸς τὸν ἅγιον Ἀντώνιον εἰς τὴν ἔρημον ἀπελθοῦσα καὶ ἰδοῦσα αὐτὸν μετὰ τῶν ἰδίων τέκνων καὶ τοῦ ἀνδρός, καὶ εὐλογηθείσης αὐτῆς παρ' αὐτοῦ ὑπέστρεψεν εἰς Γάζαν. Συνέβη οὖν τοὺς τρεῖς υἱοὺς αὐτῆς ὁμοθυμαδὸν τῷ ἡμιτριταίῳ πάθει ἀσθενήσαντας ἀπαγορευθῆναι παρὰ τῶν ἰατρῶν. Ἡ οὖν μήτηρ αὐτῶν ὥσπερ νεκροὺς αὐτοὺς ὁρῶσα καὶ ὡς ἀναμέσον τριῶν σκηνωμάτων στρεφομένη, τίνα πρῶτον πενθῆσαι οὐκ ᾔδει. Ῥιψάσης οὖν ἑαυτὴν ἐπὶ τὸ ἔδαφος καὶ ὀδυρωμένης τὴν ὑπερβολὴν τῆς συμβάσης αὐτῇ συμφορᾶς, καὶ μετὰ δακρύων ἀνακαλουμένης τὰ τέκνα, ἐμηνύθη αὐτῇ τὰ περὶ τοῦ ἁγίου Ἱλαρίωνος· ἡ δὲ ἀκούσασα εὐθέως ἠγέρθη ἀπὸ τῆς γῆς, καὶ πᾶσαν τὴν πολυτέλειαν τὴν περὶ αὐτὴν καταλείψασα καὶ ληθαργήσασα ἀνδρὸς συμβιοτῆτα καὶ τῶν συγκλητικῶν τὴν ἀξίαν εἰς εὐτέλειαν ἀμείψασα, μόνην ἑαυτὴν μητέρα ἐγίνωσκεν εἶναι. Παραλαβοῦσα οὖν μεθ' ἑαυτῆς ὀλίγα κοράσια καὶ εὐνούχους ἐβούλετο ἀπελθεῖν πεζῇ πρὸς αὐτόν· τοῦ δὲ ἀνδρὸς

4/5 Λουκᾶ δ', 31. — 24 *πενθήσει.*

Digitized by Google

μὴ συγχωροῦντος οὕτως αὐτὴν ἔρημον πορεύεσθαι πρὸς τὸν ἅγιον, ἠναγκάσθη ἐπὶ ὄνῳ καθεσθεῖσα ἀπελθεῖν πρὸς αὐτόν. Ἰδοῦσα δὲ αὐτὸν ἔπεσε πρὸς τοὺς πόδας αὐτοῦ κλαίουσα καὶ λέγουσα "Ὁρκίζω σε [εἰς] τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ τὸν τίμιον καὶ ἔνδοξον σταυρὸν αὐτοῦ, ὥστε παραγενέσθαι σε εἰς Γάζαν καὶ ἀναστῆναι τοὺς τρεῖς υἱούς μου, μέλλοντας τελευτᾶν, ἵνα εἰς τὴν τῶν Ἑλλήνων πόλιν διὰ τῆς σῆς παρουσίας χαρισθέντων μοι τῶν τέκνων δοξασθῇ ὁ Κύριος καὶ καταισχυνθῇ ὁ Μαρνᾶς θεὸς τῶν Γαζαίων". Συμπαθήσας δὲ αὐτῇ ἐπὶ τῇ συμβάσῃ συμφορᾷ ὁ ἅγιος, εὐμενῶς εἶπεν πρὸς αὐτήν· "Οὐδέποτε ἑαυτὸν ἔγνων ἐξελθόντα ἐκ τῆς κέλλης, οὐδὲ ἔχειν συνήθειαν ἀπέρχεσθαι πώποτε". Ῥίψασα οὖν ἑαυτὴν ἐπὶ τὴν γῆν ἐβόα λέγουσα· "Ἱλαρίων, δοῦλε τοῦ Θεοῦ, χάρισαί μοι τοὺς τρεῖς υἱούς μου, οὓς ὁ ἅγιος πατήρ σου Ἀντώνιος εὐλογήσας ἐν Αἰγύπτῳ ἀπέστειλεν ὑγιαίνοντας· τούτους νῦν, ἐν Παλαιστίνῃ ἀποθνήσκοντας, ἀναστήσας ἀπόδος μοι". Λεγούσης δὲ αὐτῆς ταῦτα, ἔκλαιον πάντες οἱ ὄντες μετὰ τοῦ ἁγίου ἀδελφοί· λοιπὸν γὰρ ἦσαν μετ' αὐτοῦ· καὶ αὐτὸς δὲ ὁ ἅγιος συμπαθήσας τῇ γυναικὶ ἔκλαυσεν. Παρακληθεὶς οὖν καὶ παρὰ τῶν ἀδελφῶν, διὰ τὸ εἶναι αὐτὴν χριστιανήν, ἐπείσθη τοῦ ἀπελθεῖν καὶ λέγει τῇ γυναικί· "Πορεύου καὶ τοῦ Κυρίου θέλοντος μετὰ τὴν δύσιν τοῦ ἡλίου παραγίνομαι πρὸς σέ". Τότε ἀναστᾶσα ἐκ τοῦ ἐδάφους ἡ γυνή, ὑπέστρεψεν εἰς Γάζαν. Μετὰ οὖν τὴν δύσιν τοῦ ἡλίου παρεγένετο πρὸς αὐτοὺς εἰς τὴν πόλιν· ὁ δὲ ἀνὴρ αὐτῆς ἀκούσας ἐξῆλθεν εἰς τὴν ὑπάντησιν τοῦ ἁγίου, καὶ δακρύων ἔρριψεν ἑαυτὸν πρὸς τοὺς πόδας αὐτοῦ. Ἀναστήσας δὲ αὐτὸν εἰσῆλθεν εἰς τὴν οἰκίαν αὐτοῦ μετ' αὐτοῦ καὶ εὗρεν τοὺς τρεῖς υἱοὺς αὐτοῦ ἑτοίμους θανάτῳ, καὶ προσευξάμενος περὶ αὐτῶν, ἐπικαλεσάμενός τε τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἔθηκε τὰς χεῖρας αὐτοῦ ἐπ' αὐτοὺς καὶ εὐθέως ἵδρωσαν· καὶ λαβόντες βρῶσιν παρ' αὐτοῦ, παραχρῆμα ὑγιεῖς γενόμενοι, ἀνέστησαν ἀπὸ τῶν κλινῶν δοξάζοντες τὸν Θεόν. Ἰδόντες δὲ οἱ γονεῖς αὐτῶν τὴν σωτηρίαν τῶν τέκνων αὐτῶν,

2 κωδ. *καθεσθῆσθαι*. — 7 πόλιν] ἀπόγρ. *πάλιν* ‖ *μαρνὰς*. — 24 *ἀπάντησιν*.

χαίροντες ἐδόξαζον τὸν Κύριον καὶ εὐχαριστοῦντες τῷ ἁγίῳ κατεφίλουν τὰς χεῖρας αὐτοῦ. Τοῦτο δὲ γνωστὸν ἐγένετο πάσῃ τῇ Παλαιστίνῃ καὶ Συρίᾳ καὶ ἐν Αἰγύπτῳ, καὶ πάντες ἐδόξασαν τὸν Θεόν. Ἔκτοτε οὖν πολὺ πλῆθος τῶν ἀσθενούντων ποικίλαις νόσοις ἀπὸ πολλῶν πατρίδων παρεγίνοντο πρὸς αὐτὸν καὶ πάντες ταῖς ὁσίαις αὐτοῦ εὐχαῖς ἰῶντο, ὥστε ἐκ τῆς τοιαύτης τοῦ Θεοῦ δωρεᾶς πολὺ πλῆθος πιστεύειν καὶ γίνεσθαι αὐτοὺς χριστιανούς, καὶ πολλοὺς ἀπ' αὐτῶν γινομένους μοναχοὺς ἀφιεροῦν ἑαυτοὺς τῷ Κυρίῳ· οὐδέπω γὰρ ἦν μοναστήριον ἐν τῇ Παλαιστίνῃ, οὐδὲ μονάζων ἐφαίνετο ἐν τοῖς μέρεσιν ἐκείνοις πρὸ τοῦ ἁγίου Ἱλαρίωνος· αὐτὸς δὲ διδάσκαλος καὶ πατὴρ τῆς ἐν Χριστῷ πολιτείας γέγονεν ἐν τῇ πατρίδι ἐκείνῃ, καὶ αὐτὸς ἐθεμελίωσε τὸν βίον τῶν μοναχῶν. Εἶχεν οὖν ὁ Κύριος ἐν μὲν τῇ Αἰγύπτῳ τὸν γέροντα Ἀντώνιον, ἐν δὲ τῇ Παλαιστίνῃ τὸν νεώτερον Ἱλαρίωνα.

15. Γυνή δέ τις ἀπὸ Ῥινοκουρούρων τυφλωθεῖσα ἀπὸ δεκαετοῦς χρόνου, καὶ πάντα τὰ ὑπάρχοντα αὐτῆς ἰατροῖς προσαναλώσασα καὶ μηδὲν παρ' αὐτῶν ὠφεληθεῖσα, ἀλλά, καθὼς ἐν τοῖς ἁγίοις Εὐαγγελίοις περὶ τῆς αἱμορροούσης γέγραπται, μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα, χειραγωγουμένη προσήχθη αὐτῷ δεομένη καὶ λέγουσα τὴν αἰτίαν τοῦ πάθους καὶ τὸν χρόνον, καὶ ὅτι πάντα τὰ ὑπάρχοντα αὐτῆς τοῖς ἰατροῖς προσαναλώσασα οὐδὲν ὠφελήθη. Παρεκάλει οὖν αὐτόν, ἵνα ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἁψάμενος τῶν ὀφθαλμῶν αὐτῆς ἰάσηται αὐτήν. Εἶπεν δὲ ὁ ἅγιος πρὸς αὐτήν· "Εἰ ἐκεῖνα, ἃ εἰς τοὺς ἰατροὺς ἀνήλωσας, ἔδωκας αὐτοῖς πτωχοῖς, πάλαι ἄν σε ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἰάσατο Ἰησοῦς". Καὶ ταῦτα εἰπὼν ἐν τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ Χριστοῦ ἥψατο τῶν ὀφθαλμῶν αὐτῆς καὶ παραχρῆμα ἀνέβλεψε, καὶ πάντες οἱ ὁρῶντες αὐτὴν ἐδόξασαν τὸν Θεόν.

16. Ἡνίοχος δέ τις ἀπὸ τῆς πόλεως Γάζης ἐν τῷ ἅρματι πληγεὶς ὑπὸ Δαίμονος καὶ παραλυθεὶς ὅλος ἐξηράνθη, ὥστε μὴ δύνασθαι αὐτόν τι τῶν μελῶν αὐτοῦ σαλεῦσαι. Ἐπὶ κραββάτου οὖν θέντες αὐτὸν οἱ ἴδιοι αὐτοῦ ἐκόμισαν εἰς τὸ μοναστήριον τοῦ

18 Ματθ. θ', 20-22.

Digitized by Google

ἁγίου καὶ ἔθηκαν αὐτὸν παρὰ τοὺς πόδας αὐτοῦ, μόνον κινουμένης τῆς γλώσσης αὐτοῦ. Παρεκάλει οὖν τὸν ἅγιον περὶ τῆς σωτηρίας αὐτοῦ. Εἶπεν δὲ αὐτῷ· "Ἀδύνατον θεραπευθῆναί σε, ἐὰν μὴ πρότερον πιστεύσῃς εἰς τὸν μέλλοντά σε θεραπεύειν". Ὁ δὲ καὶ πιστεύειν ὡμολόγησε καὶ τὴν ἀρχαίαν τέχνην καταλεῖψαι καὶ τοῦ λοιποῦ δουλεύειν τῷ Κυρίῳ. Πιστεύσας οὖν εἰς τὸν κύριον Ἰησοῦν Χριστὸν εὐθέως καὶ ψυχῇ καὶ σώματι ὑγιὴς ἐγένετο.

17. Ἕτερος δέ τις νεανίσκος, Μεσίκλας ὀνόματι, ἀπὸ προαστείων Ἱεροσολύμων, πάνυ ἰσχυρὸς τῷ σώματι, ὡς δύνασθαι αὐτὸν δεκαπέντε μοδίους σίτου εἰς μῆκος ὁδοῦ ἀκόπως βαστάσαι, καὶ πάντων εἰς τὸ βαστάξαι γόμους ἰσχυρότερος ἦν. Οὗτος πληγεὶς ὑπὸ Δαίμονος ἀκαθάρτου, πέδαις καὶ ἁλύσεσι τοὺς πόδας καὶ τὰς χεῖρας δεθείς, ἐν ὀχυρώμασι μετὰ πολλῆς ἀσφαλείας καθειρχθεὶς ἐφυλάσσετο. Τῇ οὖν τοῦ Δαίμονος ἀγριότητι καὶ τῇ ῥώμῃ τοῦ σώματος τὰ δεσμὰ καὶ τὴν τῶν θυρῶν ἀσφάλειαν εὐχερῶς συντρίβων ἠλαύνετο ὑπὸ τοῦ Δαίμονος καὶ τοὺς ἀπαντῶντας αὐτῷ ἀνθρώπους ἠφάνιζε· τῶν μὲν τὰς ῥίνας, τῶν δὲ τὰ χείλη καὶ τὰ ὦτα τοῖς ὀδοῦσιν ἀπέτεμνεν, τῶν δὲ τὰς χεῖρας καὶ τοὺς πόδας συντρίβων ἀπέκοπτεν ἀφειδῶς· ἄλλων δὲ τοὺς λάρυγγας ἔθλα καὶ τοὺς ὀφθαλμοὺς ἠφάνιζεν, καὶ πολλὰ δεινὰ ἐποίει ἐν τῇ χώρᾳ ἐκείνῃ, καὶ οὐδεὶς ἴσχυεν αὐτὸν δαμάσαι. Συναχθέντες οὖν πλῆθος καὶ συλλαβόντες αὐτὸν ἔδησαν ὅλον τὸ σῶμα αὐτοῦ σιδήρῳ, καὶ λαβόντες σχοίνους, ὡς ἠγροιωμένον ταῦρον σύροντες, ἤγαγον πρὸς τὸν δοῦλον τοῦ Θεοῦ Ἱλαρίωνα· ἰδόντες δὲ αὐτὸν οἱ ἀδελφοὶ ἐφοβήθησαν καὶ ἔφυγον ἔσω, καὶ εἰσελθόντες ἐμήνυσαν τῷ ἁγίῳ περὶ αὐτοῦ· ἦν γὰρ ἐν τῷ κελλίῳ ἡσυχάζων. Ἐξελθὼν δὲ ἐκέλευσεν αὐτὸν λυθέντα προσαχθῆναι αὐτῷ· ἐρχομένου δὲ αὐτοῦ λέγει αὐτῷ· "Κλῖνον τὴν κεφαλήν σου καὶ ἔρχου"· ὁ δὲ κλίνας τὴν κεφαλὴν καὶ πᾶσαν τὴν ἀγριότητα ἡμερώσας, καθεζομένου τοῦ ἁγίου, τῇ γλώσσῃ τοὺς πόδας αὐτοῦ ἔλειχεν. Ἐπὶ ἑπτὰ οὖν ἡμέρας ηὔξατο

8 Μεσίκλας] οὕτως ἐν τῷ κώδικι· τὸ δὲ λατινικὸν κείμενον ἔχει τὸ **Marsitas**· ἀλλ' οἱ τούτου ἐκδόται λέγουσι ταῦτα· «tres nostri codd. **M e s s i c a s** habent, alii **M e s i t a s**». — 11 κώδ. *πάντων ὧν*. — 23 *σχύνους*. — 30 *ἔλιχεν*.

Digitized by Google

περὶ αὐτοῦ, καὶ ἐπιθεὶς ἐπ' αὐτὸν τὰς χεῖρας λέγει· "Ἐν τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ Χριστοῦ ἔξελθε ἀπ' αὐτοῦ, τὸ ἀκάθαρτον πνεῦμα, καὶ πορεύθητι εἰς ἀνύδρους τόπους". Σπαράξας δὲ αὐτὸν ὁ Δαίμων καὶ ῥήξας εἰς τὴν γῆν ἐξῆλθεν ἀπ' αὐτοῦ, καὶ τῇ τοῦ Κυρίου χάριτι ὑγιὴς γέγονεν ὁ ἄνθρωπος καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτοῦ εὐχαριστῶν τῷ Κυρίῳ· ἔλεγεν δὲ ὁ ἅγιος πρὸς τοὺς παρόντας· "Οὐκέτι τοῦτο τῆς ἡμετέρας δυνάμεως, ἀδελφοί, ἀλλὰ τῆς φιλανθρώπου δυνάμεως καὶ χάριτος τοῦ σωτῆρος, τοῦ τὰς ἀσθενείας ἡμῶν εἰς ἑαυτὸν ἀναλαβόντος καὶ τὰς ἀσθενείας ἡμῶν βαστάσαντος, καὶ πάντοτε διὰ τὴν ἀνεκδιήγητον αὐτοῦ εἰς ἡμᾶς ἀγάπην διὰ τῶν δούλων αὐτοῦ ἰωμένου. Αὐτὸν οὖν ἀκαταπαύστως δοξάσωμεν, ἀδελφοί".

18. Λέγοντος οὖν τοῦτα τοῦ ὁσίου τοῖς ἀδελφοῖς, ἤχθη πρὸς αὐτὸν Ὠρίων τις, ἀνὴρ συγκλητικὸς τῶν ἐνδόξων καὶ πάνυ πλουσίων, ἀπὸ Ἀειλέας πόλεως τῆς παρὰ τὴν Ἐρυθρὰν Θάλασσαν κειμένης, πληγεὶς ὑπὸ λεγεῶνος Δαιμονίων καὶ δεδεμένος τὰς χεῖρας καὶ τοὺς πόδας καὶ τὸν τράχηλον σιδήρῳ, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἦσαν ὡς αἷμα. Ἠπείλει οὖν δεινὰ τοῖς ἐνέγκασιν αὐτὸν εἰς τὸν ἅγιον· εὗρεν δὲ διακινοῦντα τὸν μακάριον Ἱλαρίωνα παρὰ τὸν αἰγιαλὸν καὶ ὁμιλοῦντα τοῖς ἀδελφοῖς. Ἀθρόως οὖν ἁρπάσας αὐτὸν ἀπὸ τῶν κρατούντων αὐτὸν ἔδραμε πρὸς τὸν ἅγιον, καὶ ἐκ τῶν ὀπίσω περιλαβὼν ἦρεν αὐτὸν εἰς ὕψος. Κραυγὴ οὖν γέγονεν ὑπὸ πάντων μεγάλη· ἐφοβήθησαν γάρ, μήπως τὰ μέλη αὐτοῦ τὰ ὑπὸ τῆς σκληρᾶς νηστείας σεσαθρωμένα συντρίψῃ. Μειδιάσας δὲ ὁ ἅγιος εἶπεν πρὸς αὐτούς· "Ἐάσατέ με τὸν ἐμὸν ἀντίπαλον παλαίειν". Καὶ κρατήσας αὐτὸν ὁ ἅγιος ἐκ τῶν τριχῶν τῆς κεφαλῆς αὐτοῦ ἔρριψεν αὐτὸν πρὸς τοὺς πόδας αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ ταῖς χερσὶ σφίγξας αὐτὸν καὶ πατήσας τοῖς ποσὶν ἔλεγεν· "Κρίνου, Δαιμόνων γένος, τῇ τοῦ Κυρίου δυνάμει, καὶ νῦν καὶ πάντοτε κρίνου, καὶ εἰς τὸ ἑτοιμασθέν σοι ἀκοίμητον πῦρ καταστρέφου, ἐξελθὼν ἀπὸ τοῦ πλάσματος τοῦ Θεοῦ ἀπὸ τῆς ἄρτι ὥρας". Διωκόμενος δὲ ὁ λεγεὼν τῶν Δαιμόνων ἔκραξε λέγων· "Ἐξέρχο-

15 κώδ. Ἀχιλέας = Ailae. — 16 πληγὴς. — 18 ἠπείλη.

Digitized by Google

μαι, δοῦλε τοῦ Θεοῦ Ἰλαρίων! τί ἡμᾶς βασανίζεις"; Καὶ κλίνας τὴν κεφαλὴν καὶ τῇ κορυφῇ τύψας τὴν γῆν καὶ ῥίψας αὐτὸν ἐπ' αὐτῆς ἐξῆλθεν ἀπ' αὐτοῦ. Θαῦμα δὲ ἦν μέγα καὶ παράδοξον, πῶς ἐκ τοῦ ἑνὸς στόματος διάφοροι κολαζομένων φωναὶ ἠκούοντο, καὶ ὡς μὴ δυναμένων φέρειν τὰς τιμωρίας ἐξελθεῖν ἐδέοντο. Εἰς ἑαυτὸν δὲ γενόμενος ὁ ἀνὴρ ἐπεκαλέσατο τὸν Κύριον, λέγων· "Κύριε Ἰησοῦ Χριστέ, λῦσόν με τὸν ταπεινὸν καὶ αἰχμάλωτον, [ἐπειδὴ] μίαν ψυχὴν σῶσαι καὶ πολλοὺς πολεμοῦντας τὸ πλάσμα σου νικῆσαι σόν ἐστι, φιλάνθρωπε δέσποτα"! Ταῦτα δὲ αὐτοῦ εἰπόντος, ηὔξατο ὁ ἅγιος καὶ ἐπέθηκεν αὐτῷ τὰς χεῖρας καὶ ὑγιὴς γέγονεν. Εὐχαριστῶν οὖν τῷ ἁγίῳ κατεφίλει τοὺς πόδας αὐτοῦ· εὐλογήσας δὲ αὐτὸν καὶ παραθέμενος τῷ Κυρίῳ ἀπέλυσεν εἰς τὸν οἶκον αὐτοῦ, αἰνοῦντα καὶ δοξάζοντα τὸν Θεόν. Μετὰ δὲ ἐνιαυτοῦ χρόνον, λαβὼν τὴν γυναῖκα αὐτοῦ καὶ τὰ παιδία, ἦλθεν εἰς τὸ μοναστήριον τοῦ ἁγίου, καὶ προσπίπτων μετὰ τῶν ἰδίων αὐτοῦ ἔχαιρεν καὶ ἐδόξαζε τὸν Κύριον, τὸν δι' αὐτοῦ τὴν σωτηρίαν αὐτῷ χαρισάμενον, καὶ πολλὰ χρήματα κομίσας προσήνεγκεν αὐτῷ. Ἰδὼν δὲ αὐτὰ ὁ μακάριος εἶπεν αὐτῷ· "Τέκνον Ὡρίων, οὐκ ἤκουσας τί ἔπαθεν Γιεζὶ λαβὼν χρήματα παρὰ τοῦ ἀνδρός, τῇ τοῦ Κυρίου χάριτι καθαρισθέντος ἀπὸ τῆς λέπρας; Ἐὰν οὖν ταῦτα δέξωμαι κἀγώ, ὡς τὴν δωρεὰν τοῦ Θεοῦ χρήμασι παρέχων, προσκρούω τῷ Κυρίῳ". Προσέπεσεν δὲ πάλιν μετὰ τῆς γυναικὸς αὐτοῦ καὶ τῶν τέκνων κλαίων καὶ παρακαλῶν, ἵνα δέξηται αὐτὰ καὶ δώσῃ τοῖς πτωχοῖς. Λέγει οὖν αὐτῷ ὁ μακάριος· "Συμφέρει σοι, τέκνον, ἵνα διὰ τῶν ἰδίων χειρῶν σου δώσῃς αὐτὰ πτωχοῖς· ἐγὼ γάρ", φησί, "χάριν ἐλεημοσύνης δέχεσθαι τὰ ἀλλότρια οὐ βούλομαι· πολλοὶ γὰρ ἐπ' ὀνόματι τῶν πτωχῶν λαμβάνοντες τὰ ἀλλότρια χρήματα τὰς ἑαυτῶν ψυχὰς ἐθανάτωσαν· ἐλεημοσύνη δὲ τέχνην οὐκ ἔχει". Αὐτὸς δὲ ἐνέμενε κλαίων καὶ ἀξιῶν, ὅπως μὴ ἀποστρέψῃ αὐτά. Λέγει οὖν αὐτῷ· "Μὴ λυπηθῇς, υἱέ μου· ὃ γὰρ ποιῶ, ὑπὲρ σοῦ

4 κῶδ. *σώματος πλήθη διαφόρων κολαζομένων φωνῇ ἠκούετο κτλ.* λατινιστί: ex uno hominis ore diversae voces, et quasi confusus populi clamor audiebatur.— 19 Βασιλ. 4, ε', 20-27. — 30 *λυπηθείς*.

Digitized by Google

ποιῶ· ἐὰν γὰρ ταῦτα δέξωμαι, εἰς σὲ πάλιν ὁ λεγεὼν τῶν Δαιμόνων ἐπιστρέφει". Ἀκούσας δὲ τοῦτο ἡσύχασεν. Πολλὰ οὖν παρεκάλεσεν ὁ ἅγιος πείθων αὐτὸν διὰ τῶν ἰδίων χειρῶν διαδοῦναι ταῦτα τοῖς πτωχοῖς, καὶ προσευξάμενος ὑπὲρ αὐτῶν καὶ εὐλογήσας αὐτοὺς ἀπέλυσεν. ἐν εἰρήνῃ.

19. Ζανάνους δέ τις ὀνόματι ἀπὸ τοῦ Μαϊουμᾶ, πλησίον τοῦ μοναστηρίου τοῦ ἁγίου λατομῶν λίθους, ἐξαίφνης παραλυτικὸς γέγονε. Βαστάξαντες οὖν αὐτὸν οἱ συνεργάται αὐτοῦ ἤνεγκαν πρὸς αὐτόν, καὶ ἐπιθέντος αὐτῷ τὰς χεῖρας καὶ προσευξαμένου εὐθέως ὑγιὴς γέγονεν ὁ ἄνθρωπος καὶ ἀπῆλθεν εἰς τὸ ἔργον αὐτοῦ. Πάντες οὖν ἐδόξαζον τὸν Θεὸν ἐπὶ τοῖς γινομένοις θαυμασίοις διὰ τοῦ ὁσίου δούλου αὐτοῦ Ἱλαρίωνος, καὶ ἐν τῇ χώρᾳ τῶν ἀπίστων ἐμεγαλύνετο τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

20. Εἷς δέ τις στρατηγὸς τῆς πόλεως Γάζης ὀνόματι Ἰταλικός, χριστιανὸς καὶ πάνυ πιστός, τὴν τῶν ἱπποδρομίων φιλοτιμίαν ἐπιτελῶν τῇ πόλει, τὸν ἀντιστρατηγοῦντα αὐτῷ εἶχεν, ἄνθρωπόν τινα εἰδωλολάτρην, ἐμμανῶς σεβόμενον τὸ εἴδωλον Μαρνᾶν, καὶ διὰ τῶν τῷ βδελύγματι τούτῳ παρεδρευόντων ἀκαθάρτων Δαιμόνων πολλὰ ἔβλαπτε τὸν Ἰταλικόν, τοὺς ἐκλεκτοὺς αὐτοῦ ἵππους κλῶν ἀφειδῶς· ὁμοίως δὲ καὶ τοὺς ἡνιόχους αὐτοῦ ταῖς γοητείαις ἀπράκτους τῆς τοιαύτης τέχνης καθιστῶν καὶ γαυριῶν μετὰ τῶν ὁμοίων αὐτοῦ ἐπὶ τῇ ἐχθίστῃ τῶν αἱμοβόρων Δαιμόνων κατὰ εὐσεβοῦς ἀνδρὸς βλάβῃ ὠνείδιζεν αὐτὸν λέγων· "Ποῦ ἐστιν ἡ βοήθεια τοῦ Θεοῦ σου"; Βουλόμενος οὖν τὰ τῶν ἀθλίων τούτων ἐμφράξαι στόματα. παραγίνεται πρὸς τὸν ἅγιον Ἱλαρίωνα ὁ Ἰταλικός, οὐχ ἵνα τὸν ἀντίδικον αὐτοῦ βλάψῃ, ἀλλ' ἵνα ἑαυτὸν παραφυλάξῃ ταῖς ὁσίαις αὐτοῦ εὐχαῖς ἀπὸ τῆς βλάβης τῶν φθοροποιῶν Δαιμόνων. Παρεκάλει οὖν τὸν μακάριον, ὥστε δι' εὐχῆς αὐτοῦ παραθέσθαι αὐτὸν τῷ Κυρίῳ καὶ τὰ ἀνήκοντα· ἄτοπον δὲ ἔδοξε τῷ ἁγίῳ περὶ τοιαύτης ὑποθέσεως προσεύξασθαι. Ἠρέμα οὖν μειδιάσας λέγει τῷ Ἰταλικῷ· "Διατί οὐ μᾶλλον πωλεῖς τοὺς ἵππους καὶ τὰς τιμὰς

2 κῶδ. *ἐπιστρέφῃ*. — 6 Ζανάνους] λατ. **Gazanus, Zazanus, Zenainus** ἢ **Zananus.**

Digitized by Google

αὐτῶν νῦν περὶ σωτηρίας τῆς ψυχῆς σου δίδως τοῖς πτωχοῖς"; Εἶπεν δὲ αὐτῷ ὁ Ἰταλικός· "Οὐχὶ θέλοντες ταῦτα παρέχομεν, δοῦλε τοῦ ἀληθινοῦ Θεοῦ, ἀλλὰ τέλος ἐστὶ δημόσιον, καὶ θεσμοῖς τῶν βασιλέων κατὰ τὰς ἐπισήμους τῶν πόλεων αἱ τοιαῦται δίδονται φιλοτιμίαι· ἀσεβὲς δέ ἐστιν ἐμοὶ χριστιανῷ ἀνθρώπῳ καταλεῖψαι τὴν τοῦ Θεοῦ βοήθειαν καὶ μαγικαῖς Δαιμόνων βλάβαις τοὺς ἐναντίους ἀμύνασθαι. Τούτου χάριν εὔξασθαι περὶ τοῦ οἴκου μου παρακαλῶ σε, ἵνα μὴ δι' ἐμὲ παρὰ τῶν ἀθέων Γαζαίων βλασφημῆται ὁ Κύριος, ὡς ἀδυνατῶν ἐκ τῆς τούτων καταδυναστείας ἐξελέσθαι με.". Ἀκούσας δὲ ταῦτα ὁ ἅγιος καὶ πολλὰ παρὰ τῶν ἀδελφῶν παρακληθείς, διὰ τὴν πίστιν τοῦ ἀνδρός, τὴν τῆς εὐχῆς χάριν δοῦναι προθύμως, ὡς δὲ εὔξασθαι μὲν προφανῶς οὐκ ἐπένευσεν, ἀλλὰ ἐκέλευσεν τὸ ποτήριον αὐτοῦ, ἐν ᾧ ἔπινεν, ὀστράκινον [ὄν], πληρωθῆναι ὕδατος καὶ δοθῆναι αὐτῷ. Ὡς οὖν ἐδέξατο αὐτὸ ὁ Ἰταλικός, εἶδεν ἐν τῷ ὕδατι τῷ ἐν τῷ ποτηρίῳ τοὺς ἵππους καὶ τὸν σταῦλον αὐτοῦ καὶ τοὺς ἡνιόχους καὶ τὰ ἅρματα, πῶς ὑπὸ τῆς τῶν ἐναντίων περιεργίας ἦσαν καταδεδεμένοι. Δοξάσας οὖν τὸν Θεὸν ἐπὶ τῇ τοιαύτῃ φανερώσει, παραγενόμενος εἰς τὸν σταῦλον προσηύξατο, καὶ λαβὼν ἐκ τοῦ ὕδατος τούς τε ἵππους καὶ τοὺς ἡνιόχους καὶ τὸν σταῦλον καὶ τὰ ἅρματα ἐν τῷ ὀνόματι τοῦ Κυρίου περιερράντισε, καὶ τῷ σημείῳ τοῦ σταυροῦ ὁμοίως τὰ πάντα ἐσφράγισεν. Ἀπ' ἐκείνης οὖν τῆς ἡμέρας τοῦ Ἰταλικοῦ οἱ ἵπποι πετεινῶν δίκην τά τε ἅρματα καὶ τοὺς ἵππους τοῦ ἐναντίου καταπατοῦντες ὑπερίπταντο τῇ δυνάμει, τῷ σημείῳ τοῦ σταυροῦ ἀβλαβεῖς τοῦ λοιποῦ οἱ ἵπποι φυλασσόμενοι καὶ ἀεὶ νικῶντες τοὺς ἐναντίους. Ἔχαιρεν οὖν ὁ Ἰταλικὸς καὶ πάντες οἱ φίλοι αὐτοῦ, ὅτι ταῖς εὐχαῖς τοῦ ἁγίου Ἱλαρίωνος τοὺς ἐχθροὺς αὐτοῦ εἰς τέλος κατῄσχυνεν ὁ Κύριος. Κραυγὴ οὖν μεγάλη παρὰ παντὸς τοῦ δήμου γέγονεν, οἱ δὲ τὸν Μαρνᾶν σεβόμενοι τὸν ἅγιον Ἱλαρίωνα, ὡς γόητα τῶν χριστιανῶν ὄντα, κολάζειν ἔλεγον. Πολλοῖς οὖν καὶ μετὰ ταῦτα τὰς τοιαύτας φιλοτιμίας ἐν τῇ πόλει ἐκείνῃ ἐπιτελοῦσιν εἰς σωτη-

3 κῶδ. θεσμοί. — 23 πετηνῶν.

Digitized by Google

ρίαν αὐτῶν τε καὶ πάντων τῶν διαφερόντων αὐτοῖς ἡ εἰς Χριστὸν πίστις πρόξενος γέγονεν.

21. Παρθένον δὲ κανονικὴν ἀπὸ τοῦ Μαϊουμᾶ παῖς τις τοῦ αὐτοῦ ἐμπορίου ἐρασθεὶς ἀκολάστως, περιεργίαις διαβολικαῖς πρὸς ἀσέλγειαν ἀπατᾶν ἐπεχείρει· στερρᾶς δὲ αὐτῆς μενούσης καὶ μὴ ἰσχύοντος αὐτοῦ τὴν βδελυρὰν ἐπιθυμίαν πληρῶσαι, τῇ τοῦ κατέχοντος αὐτὸν Δαίμονος ὀρέξει καιόμενος ἐπορεύθη εἰς Μέμφιν, τῆς Αἰγύπτου πόλιν, πρὸς μάγον ὀνομαστόν, ἵνα τῇ ὑπερβολῇ τῆς δαιμονικῆς αὐτοῦ συμμαχίας αἰχμάλωτον ποιήσῃ τὴν τοῦ Χριστοῦ παρθένον. Μαθὼν οὖν πάσας τὰς διαβολικὰς μαγγανείας ὁ παῖς, μετὰ ἐνιαυτὸν ἕνα ἐπανῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, καὶ ποιήσας πέταλα χαλκᾶ ἔγραψεν εἰς αὐτὰ τὰς τῶν Δαιμόνων μορφὰς καὶ τὰ τῆς τοιαύτης ἀσεβείας σύμβολα, ῥήματα, καὶ ὀρύξας ὑπὸ τὰς φλιὰς τοῦ οἴκου τῆς παρθένου, ἀφανῶς καταχώσας, ἀπῆλθεν. Τῇ οὖν ἐπιστασίᾳ τοῦ πυροφλέκτου καὶ φθοροποιοῦ πάθους σκοτωθεῖσα τὴν διάνοιαν ἡ παρθένος ἤρξατο μαίνεσθαι καὶ τὰς ὄψεις διαστρέφειν, καὶ ἀσέμνως ἑαυτὴν θριαμβεύειν πᾶσι, καὶ ῥίπτειν ἀφ' ἑαυτῆς τὰ τῆς εὐσχημοσύνης καλύμματα, καὶ λύειν τὴν κόμην, καὶ βρύχειν τοὺς ὀδόντας, καὶ ἀναιδῶς ἐξ ὀνόματος προσκαλεῖσθαι πρὸς αὐτὴν τὸν ἀκόλαστον παῖδα. Θεασάμενοι δὲ τὴν ἔκπληξιν αὐτῆς οἱ οἰκεῖοι αὐτῆς, κοινὴν τὴν ἐκ τοῦ βασκάνου Δαίμονος ἐπελθοῦσαν αὐτῇ συμφορὰν ἡγησάμενοι, κρατήσαντες αὐτὴν ἀπήγαγον πρὸς τὸν ἅγιον, εἰς τὸ μοναστήριον· αἰσθόμενος δὲ τῆς θεοδωρήτου δυνάμεως τοῦ ἁγίου ὁ μιαρὸς καὶ ἀκάθαρτος Δαίμων, πρὸ τοῦ παραγενέσθαι αὐτὸν πρὸς τὸν ὅσιον ἤρξατο ὀλολύζειν καὶ λέγειν "Καλῶς ἤμην εἰς Μέμφιν ἀμέριμνος· ἐνυπνίων φαντασίαις ἐνέπαιζον τοὺς ἀνθρώπους· ἐνταῦθα δὲ κακῶς ἀπεστάλην". Ἀπενεχθείσης δὲ αὐτῆς ἔμπροσθεν τοῦ ἁγίου, λέγει ὁ Δαίμων· "Ἀναγκασθεὶς ὑπὸ τοῦ κατέχοντός με, βιασθεὶς ἦλθον εἰς αὐτήν. Κολάζομαι ἐγὼ αὐτός. Ὦ κριτήρια! ὦ βάσανοι δειναί, ἃς ὑφίσταμαι! Κελεύεις με ἐξελθεῖν ἀπ' αὐτῆς, δοῦλε τοῦ Θεοῦ, καὶ δεδεμένος εἰς πέταλον μετὰ νήματος ὑπὸ φλιᾶς κατέχομαι· οὐκ ἐξέρχομαι, ἐὰν μή με λύσῃ ὁ κατέχων με

5 κώδ. ἀσέλγιαν. — 7 ὀρέξαι.

Digitized by Google

παῖς". Γελάσας οὖν ὁ μακάριος λέγει αὐτῷ· "Μεγάλη σου ἡ δύναμις, ὃς πετάλῳ καὶ νήματι τοῦ ἄρχοντός σου κατέχῃ. Λέγε μοι, παμμίαρε, πῶς ἐτόλμησας εἰς τὴν τοῦ Χριστοῦ παρθένον εἰσελθεῖν"; Ἀπεκρίθη ὁ Δαίμων· "Ἵνα παρθένον αὐτὴν τηρήσω". Ἐμβριθῶς τε ἐπιπλήττων αὐτῷ ὁ ἅγιος λέγει· "Σὺ εἶ ἡ φθορὰ καὶ ἡ ἀπώλεια τῆς σωφροσύνης, καὶ σὺ φυλάττεις αὐτὴν παρθένον; Διατί δὲ εἰς τὸν κατέχοντά σε, ὡς λέγεις, νεανίσκον οὐκ εἰσῆλθες"; Λέγει ὁ Δαίμων· "Διατί εἰσηρχόμην εἰς αὐτόν, ὅστις ἔχει μᾶλλον ἕτερον φιληδονίας Δαίμονα"; Λέγει αὐτῷ ὁ ἅγιος· "Φιμώθητι λοιπὸν καὶ ἔξελθε ἀπ' αὐτῆς· πρὸς γὰρ τὸ γνῶναι τοὺς παρόντας τὴν ἀσθενῆ καὶ ἄτονον δύναμίν σου ἐπετράπη σοι εἰπεῖν ταῦτα". Καὶ ἐπιθεὶς τὰς χεῖρας αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τῆς παρθένου ἐν τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ Χριστοῦ ἐκαθάρισεν αὐτήν, καὶ ἤρξατο ἐγκαλεῖν αὐτῇ ἐπὶ τῶν παρόντων. "Διατί ἔδωκας καιρὸν τῷ ἀκαθάρτῳ καὶ μιαρῷ Δαίμονι εἰσελθεῖν εἰς σέ"; Ἀπολυθεῖσα δὲ ἐπανῆλθεν εἰς τὸν οἶκον αὐτῆς. Ἔλεγεν δὲ ὁ ἅγιος πρὸς τοὺς παρόντας, ὅτι "Ἐὰν μὴ ἡμεῖς δῶμεν καιρὸν καθ' ἑαυτῶν τοῖς ἀκαθάρτοις Δαίμοσιν, οὐκ ἰσχύουσιν καθ' ἡμῶν, ἀλλ' οὐδὲ ἀλόγων ζῴων ἐξουσίαν ἔχουσιν ἄνευ τοῦ συγχωροῦντος Θεοῦ· καὶ γὰρ κατὰ τῶν κτηνῶν τοῦ μακαρίου Ἰὼβ * αἰτήσας ἔλαβεν· ὁμοίως δὲ κατὰ τῶν χοίρων, ὡς ἐν τοῖς ἁγίοις Εὐαγγελίοις γέγραπται· ἡμῖν δὲ τὴν κατ' αὐτῶν ἐξουσίαν ἔδωκεν ὁ Κύριος "πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ"· ἐξουσίαν δὲ λαβόντες παρὰ τοῦ Κυρίου κατ' αὐτῶν, καθαροὺς ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος φυλάξωμεν, ἀδελφοί, καὶ οὐδὲν ἰσχῦσαι καθ' ἡμῶν οἱ πονηροὶ Δαίμονες δύνανται.

22. Ταῦτα δὲ ποιοῦντος καὶ διδάσκοντος τοῦ δούλου τοῦ Θεοῦ, οὐ μόνον [οἱ] ἐν τῇ Παλαιστίνῃ καὶ Συρίᾳ καὶ Αἰγύπτῳ καὶ ταῖς μακρὰν ἀπεχούσαις χώραις ἀκούοντες ἤρχοντο πρὸς αὐτόν, ἀλλὰ καὶ ἕως τοῦ βασιλέως Κωνσταντίου ἡ περὶ αὐτοῦ σωτήριος ἀκοὴ ἔφθασε· κανδιδᾶτος γὰρ αὐτοῦ τις ἐκ νέας ἡλικίας κεκρυμμένον ἔχων Δαίμονα, ὃς ἐποίει αὐτὸν κατὰ νύκτα ἀνακράζειν καὶ στενάζειν

2 κώδ. κατέχει. — 21 Ματθ. η', 28-33. — 22 Λουκ. ι', 19.

μεγάλα καὶ βρύχειν τοὺς ὀδόντας καὶ παραφέρεσθαι,—οὗτος ἀκούσας παρὰ πολλῶν περὶ τοῦ δούλου τοῦ Θεοῦ Ἱλαρίωνος, προσελθὼν τῷ βασιλεῖ Κωνσταντίῳ κατὰ μόνας καὶ διηγησάμενος αὐτῷ τὴν συμβᾶσαν αὐτῷ τοῦ ὀλεθρίου Δαίμονος ἐπήρειαν, ἠξίωσεν αὐτὸν γράμματα αὐτῷ συντακτικὰ πρὸς τοὺς ἄρχοντας τῆς Παλαιστίνης δοθῆναι καὶ σύνθεμα βερέδων, ἵνα ἀπελθὼν ἐκεῖσε πρὸς τὸν ἅγιον διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν αὐτοῦ ὑγιὴς γένηται· καὶ προθύμως αὐτῷ παρέσχε ταῦτα ὁ βασιλεύς, προστάξας διὰ γραμμάτων τοῖς τῆς Παλαιστίνης ἄρχουσι μετὰ πολλῆς δορυφορίας ἀποδέξασθαι αὐτόν. Ἀποσταλεὶς οὖν παρὰ τοῦ βασιλέως ἦλθεν εἰς τὴν Γάζαν· ὑπήντησαν δὲ αὐτῷ ὁ ἄρχων καὶ οἱ πρῶτοι τῆς πόλεως μετὰ πάσης σπουδῆς, κατὰ τὸ πρόσταγμα τοῦ βασιλέως δορυφοροῦντες αὐτῷ. Ἐπηρώτησεν δὲ αὐτοὺς λέγων· "Ποῦ ἐστι τὸ μοναστήριον τοῦ ἁγίου Ἱλαρίωνος"; Ἔγνωσαν οὖν, ὅτι πρὸς αὐτὸν ἀπεστάλη παρὰ τοῦ βασιλέως, καὶ συνῆλθον αὐτῷ ἕως τοῦ μοναστηρίου, ἵνα καὶ τοῦτον, κατὰ τὰ ὑπὸ τοῦ βασιλέως γραφέντα, τιμήσωσι, καὶ εἴ τι ἐξ ἀγνοίας τοῖς προλαβοῦσι χρόνοις ἐλύπησαν τὸν ἅγιον, ἐπὶ τῇ τοῦ ἀνδρὸς παρουσίᾳ ἐξευμενίσωνται αὐτόν. Παραγενόμενοι δὲ εὗρον τὸν δοῦλον τοῦ Θεοῦ διακινοῦντα παρὰ τὸν αἰγιαλὸν καὶ πρὸς ἑαυτὸν ἀπὸ τῶν θείων Γραφῶν μελετῶντα. Ἰδὼν δὲ αὐτοὺς ὁ μακάριος Ἱλαρίων ὑπήντησεν αὐτοῖς καὶ χαρίεντι προσώπῳ ἠσπάσατο αὐτούς, καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ εὐλόγησεν αὐτοὺς πάντας. Ὡς δὲ εἶδεν τὸν κανδιδᾶτον ὁ ἅγιος, ἐκέλευσε τοὺς λοιποὺς ὑποστρέψαι, αὐτὸν δὲ μόνον μετὰ τῶν παίδων αὐτοῦ ἀπομεῖναι· ἐκ γὰρ τῶν ὀφθαλμῶν αὐτοῦ ἐπέγνω τίνος ἕνεκεν παρεγένετο πρὸς αὐτόν. Πρὸ τοῦ οὖν μέλλειν αὐτὸν διηγεῖσθαι τὸ πάθος ἐκρεμάσθη εἰς τὸν ἀέρα, ὡς μὴ

5 ἄρχοντας τῆς Παλαιστίνης] ἐντεῦθεν ἄρχεται τὸ ἐν τῇ μονῇ τοῦ ἁγίου Διονυσίου παλαίτατον μεμβράνινον φύλλον, περὶ οὗ τινα πρότερον εἶπον· πρὸς διάκρισιν ὀνομάζω τοῦτο τὸ φύλλον ἁπλῶς Δ. — 6 *βερήδων* Δ. — 10 ἀποδέξασθαι] *προσδέξασθαι* Δ. — 13 *αὐτόν* Δ. — 15 *παρὰ τ. β. ἀπεστάλη* Δ. — 18 *ἐξευμενίσονται* Δ. — 19 διακινοῦντα] *διασωθέντα* Δ. — 21 αὐτοὺς] *αὐτὸν* Δ || ἐλλείπει τῷ Δ τὸ *Ἱλαρίων*. — 22 τὸ *ἐκτείνας* πρὸ τοῦ *εὐλόγησεν* ἐν τῷ Δ. — 23 *ἴδεν* Δ. — 24 *ἀποστρέψαι* Δ. — 27 *διηγήσασθαι* Δ || ἐκρεμάσθη] *ἀνηρτήθη* Δ.

Digitized by Google

φθάνειν τοὺς πόδας αὐτοῦ ἅψασθαι τῆς γῆς· ἐθαύμασαν δὲ πάντες οἱ συμπαρόντες τῷ ἁγίῳ ἐπὶ τῷ παραδόξῳ τοῦ θαύματος· οὐ μόνον γὰρ ἦν θαυμαστὸν αὐτοῖς τὸ ἐν τῷ ἀέρι ὁρᾶν αὐτὸν κρεμάμενον, ἀλλ' ὅτι καὶ μὴ εἰδὼς ἄλλην γλῶσσαν ὁ ἀνὴρ, εἰ μὴ τὴν Φρυγῶν, ἐν ᾗ ἐγεννήθη, καὶ τὴν τῶν Ῥωμαίων, ἤρξατο πρὸς τὰς τοῦ ἁγίου ἐπερωτήσεις κατὰ τὴν τῶν ἐγχωρίων Παλαιστινῶν γλῶσσαν, μηδὲν ὅλως παραλλάσσων ἀπ' αὐτῆς, ἀποκρίνασθαι αὐτῷ ὁ Δαίμων συριστί, ὁμολογῶν, πῶς ἐξ ἀρχῆς εἰσῆλθεν εἰς αὐτόν· ἠγνόουν δὲ οἱ ὄντες μετ' αὐτοῦ στρατιῶται καὶ οἱ παῖδες αὐτοῦ τὴν τῶν Σύρων γλῶσσαν, καὶ οὐκ ᾔδεισαν τὰ παρ' αὐτοῦ λεγόμενα. Ἵνα οὖν καὶ αὐτοὶ νοήσωσιν, ἑλληνιστὶ αὐτὸν ἐπερωτᾶν ἤρξατο ὁ ἅγιος· ὁμοίως δὲ καὶ ἑλληνιστὶ ἑτοίμως ἀποκριθεὶς ἔλεγεν, ὅτι "Περιεργίαις γοήτων εἰσῆλθον εἰς αὐτόν". Λέγει δὲ αὐτῷ ὁ μακάριος· "Οὐκ ἐπερωτῶ σε, πῶς εἰσῆλθες εἰς αὐτόν, ἀλλ' ἵνα [ἐξέλθῃς] ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ παραχρῆμα ἐπιτάττω σοι, καὶ μηκέτι εἰσελθεῖν εἰς αὐτόν". Καὶ εἰπὼν ταῦτα ἐπέθηκεν ἐπ' αὐτὸν τὰς χεῖρας ἐν τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ Χριστοῦ καὶ εὐθέως ἐκαθαρίσθη ὁ ἀνήρ, καὶ ἐθαύμασαν πάντες καὶ ἐδόξασαν τὸν Θεόν, τὸν διὰ τῶν ἁγίων αὐτοῦ δούλων σῴζοντα τοὺς πιστεύοντας εἰς αὐτόν. Χαίρων δὲ ὁ ἀνὴρ προσήνεγκε τῷ ἁγίῳ δέκα λίτρας χρυσίου· ὁ δὲ μακάριος ἄρτον κρίθινον ἐπιδείξας αὐτῷ εἶπεν· "Οἱ τοιαύτην τροφὴν ἔχοντες, οἱ τοιοῦτοι τὸν χρυσὸν ὡς πηλὸν ἡγοῦνται". Καὶ μηδὲν ὅλως δεξάμενος παρ' αὐτοῦ ἀπέλυσεν αὐτὸν καὶ ἐπανῆλθε μετὰ σωτηρίας πρὸς τὸν ἀποστείλαντα αὐτὸν βασιλέα.

23. Οὐ μόνον δὲ τοὺς ὑπὸ τῶν ἀκαθάρτων πνευμάτων πλησσομένους ἀνθρώπους ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐκαθάριζεν, ἀλλὰ καὶ ἄλογα ζῷα· κάμηλον γὰρ τὴν λεγομένην

2 *συνπαρόντες* Δ || θαύματος] *πράγματος* Δ. — 3 *ἀέρει* Δ. — 5 τὴν] *τῶν* Δ || *ἐνὶ ἐγενήθη* Δ. — 7 *αὐτοῖς* Δ. — 8 *ἐξαρχῆς* Δ. — 11 *νοήσουσιν* Δ || ἐπερωτᾶν ἤρξατο] *ἐπηρώτησεν* Δ. — 12 δὲ] ἐλλείπει τοῦτο τῷ Δ, ὡσαύτως καὶ τὸ *ἑτοίμως*. — 13 *γωητῶν* Δ. — 15 τὸ *ἐξέλθῃς* ἔλαβον ἐκ τοῦ Δ. — 19 *ἐδόξαζον* Δ || *δούλων αὐτοῦ* Δ. — 20 *ἤνεγκεν* Δ. — 22 *αὐτὸν ἐπιδείξας* Δ.

Digitized by Google

βάκτρωνα, ὑπερμεγέθη, ὑπὸ ἀγρίου Δαίμονος πληγεῖσαν, οἱ κύριοι αὐτῆς σειραῖς δήσαντες αὐτὴν ἀσφαλῶς, ὑπὸ τριάκοντα ἀνδρῶν κρατουμένην, ἤγαγον πρὸς τὸν μακάριον, ἀφρίζουσαν καὶ βρύχουσαν φοβερῶς καὶ τοὺς ὀφθαλμοὺς ἔχουσαν τεταραγμένους ὡς αἷμα. Πλήθη οὖν πολλὰ συνῆλθεν αὐτοῖς καὶ μετὰ κραυγῆς καὶ θορύβου πολλοῦ ἔσυρον αὐτήν· οὕτω γὰρ ἦν καὶ τὸ ζῷον ὑπερμέγεθες καὶ ὁ Δαίμων χαλεπός, ὡς μηδένα τολμῆσαι στῆναι ἔμπροσθεν αὐτῆς· ἐκέλευσεν δὲ ὁ ἅγιος τοῖς κρατοῦσιν αὐτὴν ἀπολῦσαι· ἀπολυθείσης δὲ αὐτῆς, εὐθέως καὶ οἱ μετὰ τοῦ ἁγίου ὄντες ἀδελφοὶ καὶ πάντες οἱ ἀγαγόντες αὐτὴν ἔφυγον· μόνος δὲ ὁ μακάριος ὑπολειφθεὶς ἀπήντησεν αὐτῇ καὶ ἐλάλησεν αὐτῇ συριστὶ λέγων· "Οὐ φοβεῖς με, κακομήχανε Διάβολε, εἰς τοιοῦτον σκεῦος εἰσελθών· εἰς λέοντα γὰρ καὶ κάμηλον καὶ εἰς ἀλώπεκα εἰσελθὼν ὁ αὐτὸς εἶ, ἀναιδέστατε". Ἐκτείνοντος δὲ τοῦ ἁγίου τὴν χεῖρα καὶ ταῦτα λέγοντος πρὸς αὐτόν, ἐπέδραμεν αὐτῷ, καὶ κλίνασα τὴν κεφαλὴν ἔπεσεν ἔμπροσθεν τῶν ποδῶν αὐτοῦ. Ἐπετίμησε τῷ ἀκαθάρτῳ πνεύματι καὶ ἐξῆλθεν ἀπ' αὐτῆς, καὶ εὐθέως γενομένη ὑγιὴς εἰς τὴν οἰκεῖαν φύσιν ἀπεκατέστη· ἔλεγεν δὲ πρὸς τοὺς παρόντας ὁ ἅγιος, ὅτι εἰς τοσοῦτον μῖσος κατὰ τῶν ἀνθρώπων ἐξῆπται ὁ Διάβολος, ὡς οὐ μόνον αὐτοὺς πολυτρόπως ἀπολέσαι σπουδάζει, ἀλλὰ καὶ πάντα τὰ αὐτῶν ὑπάρχοντα, ἐὰν αὐτῷ συγχωρήσῃ ὁ Κύριος· ἄνευ γὰρ τῆς συγχωρήσεως τοῦ Κυρίου οὐδὲ ἀλόγου ζῴου ἐξουσίαν ἔχει· συνεχωρήθη δὲ αὐτῷ αἰτήσαντι τὰ τοῦ Ἰὼβ κτήνη ἀφανίσαι, ἐπειδὴ διὰ τῆς τούτων στερήσεως ᾤετο ὁ κάκιστος τῆς τοῦ Θεοῦ ἀγάπης ἀποστῆσαι τὸν ἀληθῶς θεοσεβῆ καὶ φίλον τοῦ Κυρίου Ἰώβ. Καὶ τῶν χοίρων δὲ ὁμοίως αἰτήσαντες ἐξουσίαν ἔλαβον οἱ Δαίμονες, ἵνα διὰ τούτων δείξῃ τοῖς ἀγνοοῦσιν ὁ Κύ-

1 *βακτρῶνα, ὑπερμεγεθῆ* Δ || *πληγῆσαν·* οὕτως ἀμφότεροι οἱ κώδικες. — 2 τὸ *αὐτῆς* καὶ τὸ *αὐτὴν* ἐλλείπει τῷ Δ. — 3 τὸν μακάριον] *αὐτὸν* Δ. — 4 *αἷμα καὶ τὴν γλῶσσαν ὑδαίνουσαν* (= οἰδαίνουσαν) Δ. — 6 *οὕτως* Δ || *ὑπερμεγεθὲς* Δ. — 7 *χαλεπῶς* Δ, *χαλαιπὸς* Σ. — 8 *αὐτῆς* Δ. — 9 *ἀπολυθήσης* Δ || τὸ *ὄντες* ἐλλείπει τῷ Δ. — 11 *ὑπολιφθεὶς* Σ || τὸ διονυσιακὸν φύλλον λήγει εἰς τὸ *αὐτῇ συ*[ριστί]. — 18 ἀπεκατέστη] οὕτως ἐν τῷ ἀπογράφῳ. — 21 κῶδ. *συγχωρήσει*. — 26/103,1 Ματθ. ή, 29-32. Μάρκ. ε', 1-14. Λουκ. ή, 27-33.

Digitized by Google

ριος, ὅτι τοσοῦτον πλῆθος Δαιμόνων ἐξ ἑνὸς ἀνθρώπου ἐκβαλὼν κατεπόντισεν εἰς τὴν ἄβυσσον.

24. Ἀκούων δὲ ταῦτα περὶ τοῦ μακαρίου Ἱλαρίωνος ὁ ἅγιος Ἀντώνιος ἔχαιρεν καὶ ἔγραφεν αὐτῷ συνεχῶς, καὶ τοῖς ἀπὸ τῆς Συρίας ἰάσεως ἕνεκεν παραγινομένοις πρὸς αὐτὸν ἔλεγεν· "Διατί τοσοῦτον μῆκος ὁδοῦ σκύλεσθε παραγινόμενοι πρός με, ἔχοντες ἐγγὺς ὑμῶν τὸν ἐν Χριστῷ υἱόν μου Ἱλαρίωνα"; Ἐν πάσῃ οὖν τῇ Παλαιστίνῃ λοιπὸν ἐγίνοντο μοναστήρια καὶ πάντες οἱ μοναχοὶ ὡς πρὸς πατέρα ἤρχοντο πρὸς αὐτόν, καὶ ἔχαιρεν ἐπὶ τῇ ἐν Χριστῷ προκοπῇ αὐτῶν. Παρεκάλει οὖν αὐτοὺς μετὰ μακροθυμίας ἐγκαρτερεῖν τοῖς πόνοις τῆς ἀσκήσεως καὶ ἐν μηδενὶ δεδιέναι τὰς κατ' αὐτῶν πολυτρόπους τοῦ ἐχθροῦ μεθοδείας· "παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου", καὶ πᾶσα ἡ ἀπάτη καὶ θλῖψις τοῦ βίου τούτου πρόσκαιρος καὶ ὀλιγοχρόνιός ἐστιν, ἡ δὲ τῶν τοῦ Θεοῦ δούλων ζωὴ αἰώνιός ἐστι καὶ ἀθάνατος, ἣν ἀναμένομεν οἱ τῷ Χριστῷ δουλεύοντες· δι' ἣν καὶ ἀπεταξάμεθα τῷ κόσμῳ καὶ πάσαις ταῖς ἐπιθυμίαις αὐτοῦ, καὶ οὐκ ὀφείλομεν μνημονεύειν ἐκείνων, ἅπερ διὰ τὴν ἐντολὴν τοῦ Θεοῦ κατελείψαμεν, ἵνα μὴ πάλιν τὰ πρόσκαιρα ποθήσαντες τὴν αἰώνιον ἡμῶν [ζωὴν] ἀπολέσωμεν· ἀψευδὴς γάρ ἐστιν ὁ λέγων, ὅτι "Πᾶς ὅστις κατέλιπεν οἰκίαν ἢ ἀγρούς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ ἀδελφούς, ἢ ἀδελφάς, ἕνεκεν ἐμοῦ, ἑκατονταπλασίονα λήψεται καὶ ζωὴν αἰώνιον κληρονομήσει"· οὐ γάρ, ὥς τινες ταῦτα ἑρμηνεύειν δοκοῦσιν, ὅτι περὶ τῶν ἐν καιρῷ διωγμῶν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ μαρτυρησάντων εἶπεν ταῦτα ὁ Κύριος· οὐ γὰρ λέγει, ὅτι μόνοι οἱ ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἐν καιρῷ διωγμῶν τὰ ἑαυτῶν σώματα εἰς θάνατον παραδεδωκότες ζωὴν αἰώνιον κληρονομήσουσιν, ἀλλὰ καὶ πάντες οἱ διὰ τὸ ὄνομά μου τῷ ἐν τῷ πονηρῷ κειμένῳ κόσμῳ καὶ πάσαις ταῖς ἐπιθυμίαις αὐτοῦ καὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῖς ἀποταξάμενοι ζωὴν αἰώνιον δηλαδὴ μετὰ τῶν ὑπὲρ τοῦ ὀνόματός μου μαρτυρησάντων κληρονομήσουσι· πάντας γὰρ

3 τοῦτο τὸ κεφάλαιόν ἐστι συντομώτατον ἐν τῷ λατινικῷ τοῦ βίου κειμένῳ. — 12 *μεθοδίας*· οὕτως ἐν τῷ κώδικι πανταχοῦ || Κορινθ. 1, ζ', 31. — 20/23 Ματθ. ιθ', 29.

Digitized by Google

τοὺς πτωχοὺς τῷ πνεύματι καὶ τοὺς καθαροὺς τῇ καρδίᾳ καὶ τοὺς πραεῖς καὶ τοὺς φοβουμένους τὸ ὄνομα αὐτοῦ μακαρίζων ὁ σωτὴρ ἔλεγεν, ὅτι "Ὑμῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν". Οἱ γὰρ μάρτυρες πολλάκις, εἰ καὶ ἐν μιᾷ καιροῦ ῥοπῇ ἀγωνισάμενοι, ἐτελειώθησαν· ἡ δὲ τῶν μοναχῶν πολιτεία καθ' ἑκάστην ἡμέραν ἀθλοῦσα διὰ τὸν Χριστὸν μαρτυρεῖ, "οὐ πρὸς αἷμα καὶ σάρκα" παρατασσομένη, "ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας", ἕως ἐσχάτης ἀναπνοῆς τὴν πάλην ἔχουσα, καὶ ἀθλεῖ καὶ νικᾷ καὶ στεφανοῦται, τὴν πανοπλίαν τοῦ Θεοῦ ἔχουσα, καὶ πάντα ἰσχύει διὰ τὸν ἐνδυναμοῦντα καὶ τελειοῦντα αὐτὴν Χριστόν· ἡμῖν γὰρ ἐν παραβολαῖς τὸν ἑαυτοῦ πλοῦτον θέλων χαρίσασθαι ὁ Κύριος ἔλεγεν· "Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἐμπόρῳ ζητοῦντι καλοὺς μαργαρίτας· ὃς εὑρὼν ἕνα πολύτιμον μαργαρίτην, ἐπώλησε πάντα ὅσα εἶχεν καὶ ἠγόρασεν τὸν μαργαρίτην ἐκεῖνον". Ταύτην τὴν ἐντολὴν βεβαιῶν Ἰωάννης ὁ εὐαγγελιστὴς λέγει· "Μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ· ὁ γὰρ τὸν κόσμον ἀγαπῶν οὐκ ἀγαπᾷ τὸν ἀγαπήσαντα αὐτὸν Κύριον· ὁ δὲ τοῦτον τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ σκάνδαλα μισήσας καὶ τὸ θέλημα τοῦ Θεοῦ ἀγαπήσας, οὗτος μένει εἰς τὸν αἰῶνα, καθὼς καὶ ὁ Κύριος, ὃν ἠγάπησε, μένει εἰς τὸν αἰῶνα". Χωρίσαι γὰρ βουλόμενος ἡμᾶς τῆς ἐν τῷ κόσμῳ ματαίας ἀναστροφῆς Χριστὸς λέγει· "Οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον καὶ στραφεὶς εἰς τὰ ὀπίσω εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ"· καὶ "οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ", Παῦλος ὁ ἀπόστολος λέγει. Καὶ ὁ Κύριος λέγει· "Ὁ ἐν τῷ ἀγρῷ ὢν μὴ στραφήτω εἰς τὰ ὀπίσω, ὥσπερ ἡ γυνὴ τοῦ Λώτ", τουτέστι τοῦ μὴ πάλιν μνημονεύειν ἢ ποθεῖν εἰς ἐκεῖνα ἐπιστρέφειν, ἅπερ διὰ τὴν ἐντολὴν τοῦ Χριστοῦ μισήσας κατέλιπεν· "ὅστις γάρ", φησίν, "οὐκ ἀποτάσσεται πᾶσι

1/3 Ματθ. ε', 3-10. — 6/8 Ἐφεσ. ς', 12. — 13/15 Ματθ. ιγ', 45. — 17/21 Ἰωάν. ἐπιστ. 1, β', 15-17. — 23/24 Ἰωάν. θ', 62. — 25/26 Τιμόθ. 2, β', 4.—27 Ματθ. κδ', 18. Μάρκ. ιγ', 16. Λουκ. ιζ', 31.—30 κῶδ. *κατέλιπον* || Λουκ. ιδ', 27.

Digitized by Google

τοῖς ἑαυτοῦ ὑπάρχουσι καὶ λαμβάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ μοι, οὐ δύναταί μου μαθητὴς εἶναι". Μὴ φοβεῖσθε δέ, ἔλεγεν, τοὺς ἐκ τοῦ Διαβόλου ἡμῖν ἐπαγομένους πειρασμοὺς ποικίλους· γέγραπται γάρ· "Υἱέ μου, εἰ προσέρχῃ δουλεύειν τῷ Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν, καὶ καρτέρησον" διὰ τῆς ὑπομονῆς, τὴν τοῦ Χριστοῦ βοήθειαν ἀναμένων· μείζων γάρ ἐστιν ὁ ὑπερασπίζων σου Κύριος τοῦ πολεμοῦντός σε Διαβόλου, καθὼς ὁ ἀπόστολος Ἰωάννης λεγει· "Μείζων ἐστὶν ὁ ἐν ὑμῖν ἢ ὁ ἐν τῷ κόσμῳ". Καὶ ὁ μακάριος Δαυὶδ ἐν τοῖς ψαλμοῖς λέγει· "Οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ"· καὶ "Κύριος φωτισμός μου καὶ σωτήρ μου· τίνα φοβηθήσομαι; ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου"· καὶ "Κύριος ἐμοὶ βοηθὸς καὶ ἐγὼ ἐπισκέψομαι τοὺς ἐχθρούς μου". Μηδεὶς τοίνυν τῶν δουλευόντων τῷ Κυρίῳ ἀπιστείτω, ὅτι οὐχ ὑπερασπίζει αὐτοῦ πάντοτε ὁ Κύριος· αὐτὸς γὰρ εἶπεν· "Οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλείψω". Εἰ οὖν αὐτὸν "ἔθου καταφυγήν σου, οὐ προσελεύσεται πρός σε κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου, ὅτι τοῖς Ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάξαι σε. Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ καὶ καταπατήσεις λέοντα καὶ δράκοντα, ὅτι ἐπ' ἐμὲ ἤλπισε καὶ ῥύσομαι αὐτόν· σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου". Διὰ τοῦτο πάντων τῶν ἐν τῷ βίῳ χαλεπῶν καταφρονεῖν ἡμᾶς διδάσκει ὁ σωτήρ, λέγων· "Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα καὶ μετὰ ταῦτα μηδὲν δυναμένων ποιῆσαι καθ' ὑμῶν· ἀλλὰ φοβήθητε τὸν δυνάμενον ἀποκτεῖναι καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα καὶ μετὰ ταῦτα ἐξουσίαν ἔχοντα βαλεῖν εἰς γέενναν τοῦ αἰωνίου πυρός· ναί, λέγω ὑμῖν, τοῦτον φοβήθητε". Ταύτην τὴν ἀπόφασιν οἱ τοῦ Χριστοῦ μάρτυρες φοβηθέντες, τοῦ προσκαίρου θανάτου ῥᾳδίως κατεφρόνησαν· διὰ τῆς ὑπομονῆς θυσίαν ζῶσαν εὐάρεστον ἑαυτοὺς προσήνεγκαν τῷ

4 Σειρὰχ β', 1, 2. — 8 Ἰωάν. ἐπιστ. 1, δ', 4. — 9 Ψαλμ. κβ', 4. — 10/12 Ψαλμ. κϛ', 1, 3. — 12/13 Ψαλμ. ριζ', 6. — 15/16 Ἑβρ. ιγ', 5. — 16/21 Ψαλμ. ϟ', 9-14. — 22/26 Λουκ. ιβ', 4, 5. Πρβλ. Ματθ. ι', 28. — 29 θυσίαν ζῶσαν εὐάρεστον] Ῥωμ. ιβ', 1.

Digitized by Google

Θεῷ, ἵνα τῆς ἀναστάσεως υἱοὶ γενόμενοι συμβασιλεύσωσι τῷ Κυρίῳ. Διὰ τοῦτο ὁ κόσμος, κατὰ τὴν τοῦ Κυρίου φωνήν, ἐμίσησε καὶ μισεῖ τοὺς μὴ ἀγαπῶντας αὐτόν. " Εἰ ἦτε γάρ", φησίν, "ἐκ τοῦ κόσμου, ὁ κόσμος ἂν ἠγάπα ὑμᾶς· νῦν δὲ μισεῖ ὑμᾶς καὶ διώκει, ἐπειδὴ καὶ ἐμὲ τὸν Κύριον ὑμῶν πρότερον ἐμίσησε καὶ ἐδίωξεν· μνημονεύετε τοῦ λόγου, οὗ εἶπον ὑμῖν". Λέγει ὁ Κύριος· "Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ, οὐδὲ μαθητὴς μείζων τοῦ διδασκάλου αὐτοῦ". Εἰ οὖν ὁ Κύριος ἡμῶν ὑπὲρ ἡμῶν ταῦτα ἔπαθεν, ὀφείλομεν καὶ ἡμεῖς πάντα τὰ ἐπαγόμενα ἡμῖν διὰ τὴν εἰς τὸν Θεὸν ἡμῶν ἐλπίδα ἀσμένως ὑπομένειν, ἵνα συμπάσχοντες καὶ συνδοξασθῶμεν, καθὼς Παῦλος λέγει ὁ ἀπόστολος, καὶ ὑπομένοντες τοὺς πειρασμοὺς καὶ μὴ δελεαζόμενοι, αἰωνίως συμβασιλεύσωμεν αὐτῷ, μὴ ποιοῦντες τὰ θελήματα ἑαυτῶν, ἀλλὰ τὰ τοῦ Θεοῦ πάντοτε, καθὼς ὁ σωτὴρ ἡμῶν λέγει· "Οὐκ ἦλθον ποιῆσαι τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός". Οὐ δεῖ οὖν ἡμᾶς οὐδὲ τὰ ἑαυτῶν θελήματα, οὐδὲ τὰ κατὰ ἀρέσκειαν τῶν ἀνθρώπων γινόμενα ἐπὶ βλάβῃ τῶν ψυχῶν ἡμῶν πράττειν· "διεσκόρπισε γάρ", φησίν, "ὁ Θεὸς ὀστᾶ ἀνθρωπαρέσκων". Καὶ ὁ ἀπόστολος τὴν τοιαύτην κενοδοξίαν, ὡς θεοστυγῆ ὑπάρχουσαν, παντελῶς ἐκκόπτει λέγων· "Εἰ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην". Καὶ ὁ Κύριος κατὰ πρόγνωσιν τὴν τοιαύτην διάθεσιν περιελεῖν βουλόμενος, τῷ εἰπόντι αὐτῷ "Ἴδε, ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ζητοῦσί σε", ἀπεκρίθη λέγων· "Τίς ἐστιν ἡ μήτηρ μου καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου"; Καὶ τὴν χεῖρα ἐκτείνας ἐπὶ τοὺς μαθητὰς αὐτοῦ εἶπεν· "Ἰδοὺ ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου· ὅστις γὰρ ποιεῖ τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς, οὗτος ὁ ἀδελφός μου καὶ ἡ μήτηρ μου ἐστί". Καὶ Μωϋσῆς περὶ τῶν τῷ Θεῷ ἀφιερωθέντων λευϊτῶν συνῳδὰ τούτων εἶπεν· "Ὁ λέγων τῷ πατρὶ

1 τῆς ἀναστ. υἱοὶ] Λουκ. κ', 36. — 3/6 Ἰωάν. ιε', 18-20. — 7 Ἰωάν. ιγ', 16. — 11 Ῥωμ. η', 17. — 14/16 Ἰωάν. ε', 30. — 18 Ψαλμ. νβ', 6. — 20/21 Γαλάτ. α'. 10. — 23/28 Ματθ. ιβ', 47-50. Μάρκ. γ', 32-35. — 29 τούτων] οὕτως ἐν τῷ ἀπογράφῳ.

Digitized by Google

αὐτοῦ καὶ τῇ μητρὶ αὐτοῦ Οὐκ οἶδα ὑμᾶς, καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ τοὺς ἀδελφοὺς αὐτοῦ οὐκ ἔγνω· οὗτος τὴν διαθήκην τοῦ Θεοῦ καὶ τὸ θέλημα αὐτοῦ ἐποίησεν". Ταύτην τὴν ἐντολὴν καὶ ἡ δούλη τοῦ Θεοῦ Θέκλα ἐφύλαξε· μητέρα γὰρ ἐπὶ τῆς γῆς εἰδέναι οὐκ ἠθέλησεν, ἵνα δόξαν αἰώνιον παρὰ τοῦ Θεοῦ ἀντὶ μητρὸς ἀπολάβῃ· νυμφίου προσκαίρου κατεφρόνησεν, ἵνα εἰς τὴν τοῦ ἐπουρανίου νυμφίου χαρὰν μετὰ τῶν φρονίμων παρθένων ἄσβεστον λαμπάδα τῆς παρθενείας διὰ τὴν εἰς τὸν Θεὸν φυλάξασα ὁμολογίαν εἰσέλθῃ. Βλέπετε οὖν, ἀδελφοί, τίνων τέκνα καὶ ἀδελφοὶ διὰ τῶν ἀγαθῶν πράξεων γίνεσθε, τὴν σάρκα ὑμῶν παρθένον, ἁγνήν, τῷ διὰ τοῦ ἀποστόλου Παύλου ἁρμοσαμένῳ ὑμᾶς Χριστῷ φυλάσσοντες; Διὰ τοῦτο βουλόμενος ὑμᾶς ἀπὸ πάσης κακοσχολίας ἀνοήτου καὶ ἀπὸ πάσης περιστάσεως θολερᾶς τῶν οἰκείων χωρίσαι ὁ Κύριος λέγει· "Οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν· ἦλθον γὰρ μερίσαι υἱὸν ἀπὸ πατρός, καὶ νύμφην ἀπὸ τῆς πενθερᾶς αὐτῆς καὶ ἀδελφὸν ἀπὸ τοῦ ἀδελφοῦ αὐτοῦ". Διὰ τοῦτο τέμνει ἡμᾶς ἀπὸ τούτων ὁ Κύριος, ἐπειδὴ ἐναντιοῦνται ἡμῶν τῇ σωτηρίᾳ, τὰ τοῦ κόσμου φρονεῖν ἡμᾶς συμβουλεύοντες· ὥσπερ γὰρ καὶ τὴν ἁγίαν Θέκλαν ἡ μήτηρ παρεκάλει, λέγουσα "Ἐπιστράφηθι πρὸς τὸν σὸν Θάμυριν καὶ αἰσχύνθητι", τῷ ἐπουρανίῳ φρονήματι τὴν ἑαυτῆς διάνοιαν ἀκλινῶς κυβερνήσασα ἡ μακαρία ἐκείνη, τὰς τρικυμίας τῶν ἐπελθόντων αὐτῇ πειρασμῶν γενναίως ὑπέμεινεν, ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσῃ καὶ μὴ τὸ τῶν ἀνθρώπων. Καὶ ὑμεῖς οὖν, τέκνα μου ἀγαπητά, ἔχοντες τὰς ἁγίας Γραφὰς ταῦτα ὑμᾶς διδασκούσας, σπουδάσατε, καθὼς ἤρξασθε, κατὰ μίμησιν τῶν ἁγίων πατέρων ἐπακολουθεῖν τοῖς ἴχνεσι τῇ τοῦ Κυρίου χάριτι, καὶ τῷ κράτει τῆς ἰσχύος αὐτοῦ ἐνδυναμούμενοι, στῆναι πρὸς τὰς μεθοδείας τοῦ ἐχθροῦ καὶ τελειῶσαι ἀμέμπτως τὴν εἰς τὸν Θεὸν ὁμολογίαν· "ὁ γὰρ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθόν, αὐτὸς ἐπιτελέσει", Παῦλος ὁ ἀπόστολος λέγει. Μὴ ἀγαπήσατε πατέρα ἢ μητέρα ἐπὶ τῆς γῆς· "ὁ γὰρ ἀγαπῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος" εἶπεν ὁ Κύριος.

11 Κορινθ. 2, ια', 2. — 14/16 Ματθ. ι', 34, 35. — 30 Φιλιπ. α', 6. — 32 Ματθ. ι', 37·

Digitized by Google

Τύπον τοῦ καθαροῦ τούτου βίου δίδωσιν ἡμῖν Ἰωάννης ὁ εὐαγγελιστής, οὕτως εἰπών· "Ὁ λέγων ἑαυτὸν Χριστοῦ εἶναι, ὀφείλει καὶ αὐτὸς περιπατῆσαι, καθὼς καὶ ἐκεῖνος περιεπάτησεν". Καὶ Παῦλος ὁ ἀπόστολος ταὐτὰ διδάσκει λέγων· "Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ". Τούτων οὖν τὴν πολιτείαν μιμήσασθαι ὀφείλομεν, τῶν νεκρωσάντων ἑαυτοὺς τῷ κόσμῳ καὶ τῷ Κυρίῳ ζώντων· "Ζῶ γάρ", φησίν, οὐκέτι τῷ κόσμῳ, ἀλλὰ τῷ Χριστῷ, καὶ ἐν ἐμοὶ ζῇ Χριστός" Παῦλος λέγει· καὶ θέλων ἡμᾶς πάντας εἶναι ὡς ἑαυτόν, ὑποδείκνυσιν ἡμῖν ὁδόν, δι' ἧς βαδίζοντες ἐν οὐρανοῖς ἔχειν τὸ πολίτευμα δυνάμεθα, λέγων· "Θέλω ὑμᾶς ἀμερίμνους εἶναι· ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, πῶς ἀρέσει τῷ Κυρίῳ· ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ βίου, πῶς ἀρέσει τῇ γυναικί". Καὶ διὰ τῆς τοιαύτης διαστολῆς τὴν στενὴν καὶ τεθλιμμένην ἡμῖν τῆς παρθενείας ὁδὸν ὑποτίθεται, τὴν ἀπάγουσαν ἡμᾶς εἰς ζωὴν αἰώνιον, δι' ἧς ὀλίγους εἶπεν εἰσέρχεσθαι ὁ Κύριος· οὐ γὰρ πάντες τὸν τῆς παρθενείας χωροῦσι λόγον, τοῖς μαθηταῖς αὐτοῦ λέγει ὁ Χριστός· κειμήλιον γὰρ ἡγιασμένον καὶ θυσία ζῶσα ἁγία τῷ Θεῷ ἐστιν ἡ παρθενεία, δι' ἧς ἕκαστος ἡμῶν, κατὰ τὴν τοῦ ἀποστόλου διδασκαλίαν ῥυθμίζων ἑαυτόν, γίνεται τῷ Θεῷ· "Παρακαλῶ γάρ", φησίν, "ὑμᾶς, ἀδελφοί, παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ διὰ τῆς λογικῆς λατρείας ὑμῶν, καὶ μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν", ἵνα μὴ ὁμοιωθῆτε τοῖς ἀνθρώποις τοῦ κόσμου τούτου, "ἀλλὰ κατὰ τὸν καλέσαντα ὑμᾶς ἅγιον καὶ αὐτοὶ ἐν πάσῃ ὑμῶν ἀναστροφῇ ἅγιοι γενηθῆτε· γίνεσθε γάρ, φησίν, ἅγιοι, ὅτι ἐγὼ ἅγιός εἰμι", λέγει Κύριος. Ταύτην τὴν πολιτείαν μακαρίζει Δαυίδ, λέγων· "Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου· οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν".

2 Ἰωάν. ἐπιστ. 1, β', 6. — 4 Κορινθ. ια', 4 ‖ κῶδ. *γίνεσθαι*. — 6 νεκρωσάντων] Κολοσ. γ', 5. — 7/8 Γαλάτ. β', 20. — 10 ἐν οὐρ. πολίτευμα] Φιλιπ. γ', 20. — 10/12 Κορινθ. 1, ζ', 32. — 11/12 κῶδ. *ἀρέσῃ*. — 13/15 Ματθ. ζ', 13. — 16 Ματθ. ιθ', 11. — 20/23 Ῥωμ. ιβ', 1, 2. — 24/26 Πέτρ. 1, α', 15, 16. — 27/28 Ψαλμ. ριη', 1, 2.

Digitized by Google

Ἀλλὰ φασί τινες, ὑπολισθῆσαι τοὺς καλῶς τρέχοντας βουλόμενοι, ἐπιτρέπειν τὸν ἀπόστολον τοὺς θέλοντας γαμεῖν· σύμφημι κἀγὼ τοῦτο εἰρῆσθαι ὑπὸ τοῦ ἀποστόλου· γαμεῖν μᾶλλον ἐπιτρέπει καὶ μὴ πορνεύειν· ὅτι γὰρ διὰ τὸ προλάμπειν τὰ τῆς παρθενείας προτερήματα ταύτῃ συνάπτειν ἡμᾶς βουλόμενος λέγει· "καλὸν ἦν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι· διὰ δὲ τὰς πορνείας", φησίν, "ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα"· ὥστε διὰ τὴν τῆς πορνείας ἀκρασίαν τὸν γάμον μᾶλλον εἴρηκεν· ὥσπερ γὰρ τὸ γαμεῖν τοῦ πορνεύειν ἀναγκαιότερον, διὰ τὸν τῆς ἁμαρτίας κίνδυνον, οὕτω τὸ μὴ γαμεῖν κρεῖττον διὰ τὴν τῆς ὑπομονῆς ἀντιμισθίαν ἔδειξεν, τῷ δὲ γαμήσαντι καὶ μὴ πορνεύσαντι ἀρκετὸν τὸ φυγεῖν τῆς γεέννης τὴν κόλασιν· ὅπερ ἀδύνατον εἶναι ὁ αὐτὸς λέγει· ὁ γὰρ γαμήσας μεριμνᾷ οὐχὶ εὐαρεστῆσαι τῷ Θεῷ, ἀλλὰ τῇ γυναικί· οἱ δὲ μᾶλλον τῆς τοῦ Θεοῦ ἀρέσεως τὰς ἑαυτῶν γυναῖκας διὰ τὰς οἰκείας ἡδονὰς προτιμῶντες, Κυρίῳ ἀρέσαι οὐ δύνανται. Πάντα μὲν οὖν ἔξεστι πράττειν τῷ θέλοντι, καθὼς ὁ ἀπόστολος λέγει, ἀλλὰ πάντα κατὰ θέλησιν τῆς σαρκὸς πράττειν μὲν οὐ συμφέρει τοῖς πράττουσι· πῶς γὰρ δυνατὸν ἴσον λέγειν τὸν πράττοντα τὴν τῆς σαρκὸς ἐπιθυμίαν ἀκρατῶς καὶ τὸν τὰ πάθη τῆς σαρκὸς διὰ τὴν τῆς παρθενείας ἀθάνατον δόξαν τῷ τοῦ Χριστοῦ σταυρῷ ἑκουσίως προσηλώσαντα καὶ νεκρὸν ἑαυτὸν ποιήσαντα τῷ κόσμῳ; οἱ γὰρ Χριστοῦ ὄντες ἐσταύρωσαν τὰ ἑαυτῶν σώματα σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Καλὸν μὲν γὰρ εἶπεν τὸν γάμον ὁ ἀπόστολος, οὐκ ἐπέτρεψεν δὲ γαμεῖν· καὶ τὸ μὴ γαμεῖν ὁμοίως συμβουλεύει, οὐκ ἐπιτάσσει δὲ τοῖς μὴ θέλουσιν, ἀλλὰ τοῖς βουλομένοις ὡς ἀγαθὸν ὑποδείκνυσι, προτρεπόμενος ὅτι διὰ τὴν ταχυτάτην τοῦ κόσμου τούτου πάροδον καλὸν ἀνθρώπῳ μὴ ἅπτεσθαι γυναικός· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ οἱ ἔχοντες γυναῖκας ἵνα ὡς μὴ ἔχοντες ὦσι, τουτέστιν ἀπεχομένους αὐτοὺς τῆς τούτων κοινωνίας καὶ πρὸς τὴν τοῦ μέλλοντος αἰῶνος ἀποκατάστασιν ἁγνίζειν ἑαυτούς. Ὁ δὲ τοῖς ἔχουσι τὰς ἑαυτῶν γυ-

3 Κορινθ. 1, ς', 16-18. — 5/7 Ῥωμ. ζ', 1, 2. — 11 κῶδ. *ἀντιμισθείαν*. — 13/16 Κορινθ. 1, ζ', 32-35. — 16/18 Κορινθ. 1, ς', 12.

Digitized by Google

ναῖκας τοῦτο προστάττων, πόσῳ μᾶλλον τοὺς μὴ ἔχοντας οὐ θέλει γαμεῖν; ὥσπερ γὰρ τὰ ἔθνη τῷ πρωτοπλάστῳ Ἀδὰμ φυσικῶς τῇ τεκνογονίᾳ ἠκολούθησεν, οὕτω καὶ ἡμῖν συμφέρειν ἔδοξε τῷ ἀποστόλῳ, τῷ ἐπουρανίῳ ἀνθρώπῳ, τῷ Χριστῷ τῆς ἐνδόξου παρθενείας συνάπτειν ἑαυτούς· ἐπειδὴ γὰρ ἐντολὴν Θεοῦ οὐκ εἶχεν, ὡς φάσκει, ταύτην κηρύσσειν τοῖς ἀνθρώποις, διὰ τὸ ἀνέφικτον καὶ ὑψηλὸν ταύτης ἀξίωμα (Ἀγγέλων γὰρ τῶν λειτουργούντων τῷ Κυρίῳ τοῦτο κλέος ἴδιον), ἀγαθοῦ καὶ ἀφθόνου δεσπότου χάριν κηρύσσων τὸ κορυφαιότατον καὶ ἀειθαλὲς τῆς ἀδιαπνεύστου παρθενείας ἄνθος, στέφανον ἀμαράντινον τῇ τοῦ Χριστοῦ χάριτι πλεκόμενον ὑποδείκνυσιν ἡμῖν, ἵνα ὁ ἐφιέμενος αὐτῆς ἀγωνισάμενος ἐγκρατὴς γένηται. Διὰ τοῦτο γνώμην δίδωσιν ἡμῖν, ἐπειδὴ ἐν Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου αὐτὸς ἡμᾶς ἐγέννησε καὶ θέλει πάντας ἡμᾶς εἶναι ὡς καὶ ἑαυτόν, τούτου ἕνεκεν τὸν οἰκεῖον θησαυρὸν ἡμῖν γεγηθὼς ἀποκαλύπτει. Οὐκ ἐντολὴν νόμου δίδωσιν, ἀλλὰ γνώμην χάριτος· ὁ νόμος γὰρ ἐντολὴν ἔχει καὶ παράβασιν· ἡ δὲ τοῦ Θεοῦ χάρις, ἣν οὗτος κηρύσσει, οὐκ ἔστιν ὑπὸ νόμον, ἀλλὰ Θεοῦ χάρις ἐστὶ σῴζουσα δωρεὰν πάντας τοὺς πιστεύοντας· δικαίῳ γὰρ νόμος οὐ κεῖται, ὅτι "ὁ δίκαιος ἐκ πίστεως ζήσεται" Ἀββακοὺμ ὁ προφήτης λέγει. Καὶ περὶ τῶν εὐνούχων ἐν τοῖς ἑαυτοῦ Εὐαγγελίοις τοῖς ἀποστόλοις λαλῶν ὁ Χριστός, ἐκείνους ἀξίους ἑαυτοῦ ἔλεγεν, τοὺς διὰ τὴν τῶν οὐρανῶν βασιλείαν εὐνουχίσαντας ἑαυτούς. Διὰ τοῦτο ἔλεγεν αὐτοῖς, ὅτι "Οὐ πάντες χωροῦσι τὸν λόγον τοῦτον", ἵνα ἐκ τῶν πολλῶν τοὺς ἀξίους ἑαυτοῦ ἀναδείξῃ τούτους, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. Μέγα δὲ τοῦτο τὸ ἔργον καὶ ἔνδοξον, δι' οὗ τὴν βασιλείαν τῶν οὐρανῶν ὁ Κύριος τοῖς ἐμμένουσι τοῖς πόνοις ταύτης τῆς ἐργασίας διδόναι ἐπαγγέλλεται. Διὰ τοῦτο ἐν τῇ ἡμετέρᾳ προθέσει τὸ πλήρωμα ταύτης τῆς ἀρετῆς τίθεται λέγων· "Ὁ δυνάμενος χωρεῖν χωρείτω". Ὁ βιαστὴς ἁρπαζέτω· βιαστῶν ἡ δωρεά· ἁρπαζέτω ὁ βουλόμενος· ἀδαπάνητός ἐστιν ὁ θησαυρός· μὴ

19 Ἀββακοὺμ β', 4. — 21/26 Ματθ. ιθ', 12. — 30 Ματθ. ιθ', 12 ‖ βιαστής] Ματθ. ια', 12.

φειδέσθω ὁ ἁρπάζειν ἑαυτὸν δυνάμενος. Τοὺς ταύτην τὴν χάριν ἁρπάζειν βιαζομένους υἱοὺς βασιλείας καὶ Ἀγγέλους ἐκάλεσεν ὁ Χριστός· "οἱ υἱοὶ γὰρ τοῦ αἰῶνος τούτου γαμοῦσι καὶ ἐκγαμίζονται, οἱ δὲ καταξιωθέντες τῆς ἀναστάσεως υἱοὶ γενέσθαι οὔτε γαμοῦσιν, οὔτε γαμίζονται, ἀλλ' ὡς Ἄγγελοί εἰσιν ἐν τῷ οὐρανῷ"· ἐὰν γὰρ ἐν τῷ κόσμῳ τούτῳ ὄντες ἐν σαρκί, ὃ μέλλουσιν οἱ Ἄγγελοι ἐν τῇ ἀναστάσει γίνεσθαι, οὗτοι διὰ τῆς σωφροσύνης τὴν φύσιν νικήσαντες τῆς σαρκὸς καὶ βιασάμενοι, προλαβόντες ἥρπασαν. "Βιαστῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν καὶ αὐτοὶ ἁρπάζουσιν αὐτήν"· ὑπερφρονήσαντες γὰρ τῆς ματαίας καὶ προσκαίρου ἡδονῆς εὐηρέστησαν τῷ Κυρίῳ. Ὅθεν οὐ μόνον τὸν τῆς παρθενείας μισθὸν παρὰ τοῦ σωτῆρος λαμβάνουσιν, ἀλλὰ καὶ τῇ τοῦ πνεύματος πτωχείᾳ μακαριζόμενοι, "ἃ ἡτοίμασεν ὁ Θεὸς ἀγαθὰ τοῖς ἀγαπῶσιν αὐτόν", κληρονομήσουσι· "μακάριοι γάρ", φησίν, "οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν τῶν ζώντων". Τοῦτον τὸν ἀγῶνα καλῶς διεγείρει διὰ τῆς παρακλήσεως, ἐπαλείφων καὶ παραινῶν ὁ ἀπόστολος τὸ μὴ σαίνεσθαι ἐν ταῖς θλίψεσιν, ἀλλὰ τῇ προθέσει τῆς καρδίας ἐμμένοντας τὴν τοῦ Κυρίου ἐμμένειν παρουσίαν· "ὁ γὰρ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται". Ἐὰν γὰρ ὁ ἀκηδιάσας παλινδρομήσῃ εἰς τὸν κόσμον, μᾶλλον τῶν ἀγνοούντων τὴν δωρεὰν τῆς τοῦ Κυρίου χάριτος δίκην δώσει· "δοῦλος γάρ", φησίν, "ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ καὶ μὴ ποιήσας, δαρήσεται πολλάς"· ὁ ἐξουσίαν γὰρ ἔχων τῆς ἑαυτοῦ προαιρέσεως, ὁ ἀπόστολος λέγει, καὶ ταξάμενος τὴν ἑαυτοῦ σάρκα παρθένον ἁγνὴν τηρεῖν τῷ Κυρίῳ, ἀπάτῃ διαβολικῇ δελεασθείς, ἣν τῷ Χριστῷ προσήνεγκεν ἀπαρχήν, ναὸν τοῦ ἁγίου πνεύματος γενομένην, ἐβεβήλωσεν, ὑπόδικον ἑαυτὸν τοῦ κρίματος τοῦ ἀποστόλου καταστήσας· "ὑμεῖς γάρ", φησί, "ναὸς τοῦ Θεοῦ ἐστε καὶ τὸ πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν. Εἴ τις τοίνυν τὸν ναὸν τοῦ

3/5 Λουκᾶ κ', 34-36. — 9 Ματθ'. ια', 12. — 13 Κορινθ. 1, β', 9. Πρβλ. J. H. Ropes, die Sprüche Jesu. Leipzig 1896, σ. 20. — 14 Ματθ. ε', 3. — 19 Ματθ. ι', 22. κδ', 13. Μάρκ. ιγ', 13. — 21/23 Λουκᾶ ιβ', 47. — 24 Κορινθ. ζ', 37. — 26 ναὸν τοῦ ἁγ. πνεύματος] Κορινθ. ς', 19. — 28/112,2 Κορινθ. 1, γ', 16, 17.

Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός· ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς". Οὐ μόνον δὲ παρθένοις, ἀλλὰ καὶ χήραις, σωφροσύνην τῷ Θεῷ ἐπαγγελλομέναις καὶ πάλιν ἐξ ἀσελγείας καταστρηνιασάσαις αὐτοῦ, τὸ αὐτὸ ἀποπέφανται κρῖμα· ἀμφότεραι γάρ, κατὰ τὸν Ἀνανίαν καὶ τὴν Σάπφειραν, τὴν ἑαυτῶν προσφορὰν βεβηλώσαντες, ἐκ τῆς οὐρανίου πολιτείας εἰς τὸν Ἅδην ἑαυτοὺς κατηκόντισαν· "Εἰ γὰρ κατὰ σάρκα ζῆτε", φησίν, "μέλλετε ἀποθνήσκειν· εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε· ὅσοι γὰρ πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ". Μὴ θανατώσητε ἑαυτούς, τέκνα, διὰ τῆς πικρᾶς ἡδονῆς, ἀλλὰ διὰ τὴν μέλλουσαν δόξαν τὴν ἁγίαν συσταυρώθητε τῷ Χριστῷ, ἵνα καὶ ἐν τῇ ἀναστάσει συμβασιλεύσητε αὐτῷ· ἕκαστος γὰρ ἐν τῇ κλήσει, ᾗ ἐκλήθη, μένειν ἐν Χριστῷ παραγγέλλει ὁ ἀπόστολος, ἵνα τὸν τῆς ὑπομονῆς στέφανον παρὰ τοῦ δικαίου μισθαποδότου ἀπολάβωμεν, ὃν ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτόν· γέγραπται γάρ· "Τὴν ἐπιθυμίαν σου διὰ τῆς ὑπομονῆς νίκησον καὶ ἔσῃ τέλειος ἐν Χριστῷ, καὶ τῷ νικῶντι δώσω φαγεῖν ἐκ τοῦ ξύλου τῆς ζωῆς, τοῦ ἐν μέσῳ τοῦ Παραδείσου", λέγει Κύριος. Καὶ πάλιν ἐπαγγέλλεται λέγων· "Ὅστις διὰ τοῦ ξύλου τοῦ σταυροῦ πάντα τὰ τῆς σαρκὸς νικήσας πάθη, τούτῳ δώσω τάβλαν λευκήν, ὄνομα καινὸν γεγραμμένον, ὃ οὐδεὶς οἶδεν, εἰ μὴ ὁ λαμβάνων τὴν τάβλαν τὴν λευκήν"· τουτέστιν ὁ καθαρὸν καὶ ἀμόλυντον χιτῶνα τῆς παρθενείας τῷ Χριστῷ φυλάξας, οὗτος ἀδιστάκτως τὸ καινὸν ὄνομα δεύτερον τῶν μαρτύρων λαμβάνει καὶ τὰ ἀγαθὰ ἐκεῖνα, "ἃ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσεν καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν". Τοῖς οὖν φοβουμένοις τὸν Κύριον τὰ ἀνεκδιήγητα ταῦτα καὶ οἱ τῆς δόξης στέφανοι ἡτοιμάσθησαν· "οὐ γὰρ ἑνὶ τάγματι τῶν ἁγίων ὁ πρὸς τὰς μεθοδείας τοῦ ἐχθροῦ πόλεμος καὶ ἡ κατ' αὐτοῦ νίκη διὰ τῆς τοῦ Κυρίου βοηθείας δίδοται, ἀλλὰ τρισίν, ὡσπερεὶ τοῦ σπέρματος τοῦ ἐπὶ τὴν καλὴν

5 Πράξ. ε', 1-11. — 7/10 Ῥωμ. η'. 13, 14. — 13 Κορινθ. ζ', 24. — 24 κῶδ. *λαμβάνων*. — 25 Κορινθ. 1, β', 9. — 31 κῶδ. *ὡσπερὶ*.

Digitized by Google

γῆν πεσόντος, λέγει ὁ Κύριος· "ἐδίδου γάρ", φησίν, "ὃ μὲν τριάκοντα, ὃ δὲ ἑξήκοντα, ὃ δὲ ἑκατόν". Καὶ τούτων τῶν ταγμάτων ἐρευνῶν τὰς ἁγίας Γραφὰς πολυτρόπως εὑρήσεις *. Μάρτυρες μὲν οὖν εἰσιν οἱ τὸν ἑκατοστὸν ποιοῦντες καρπόν, παρθένοι δὲ οἱ τὸν ἑξηκοστόν, καὶ οἱ λοιποί, οἳ κατὰ τὰς ἐντολὰς τοῦ Θεοῦ σπουδάζοντες ἀμέμπτως ἐν πάσῃ ἀναστροφῇ ἀρέσκουσι τῷ Θεῷ ἑαυτοὺς φυλάσσειν, τριακοστόν». Τούτοις οὖν τοῖς λόγοις τὸ πλῆθος τῶν ἀδελφῶν στηρίξας ὁ ἅγιος κατέπαυσε τὸν λόγον.

25. Πληθυνόντων δὲ τῶν ἀδελφῶν καὶ τῇ τοῦ Κυρίου χάριτι προκοπτόντων ἐν τῇ ἀσκήσει, καὶ πολλῶν μοναστηρίων ταῖς τοῦ ἁγίου ἐκείνου εὐχαῖς ἐν τῇ Παλαιστίνῃ γενομένων, παρεκάλεσαν αὐτὸν τὰ πλήθη τῶν μοναχῶν παραγενέσθαι εἰς τὰ μοναστήρια καὶ εὐλογῆσαι αὐτούς, καὶ τύπον αὐτοῖς δοῦναι τῆς πολιτείας, καὶ στηρίξαι αὐτοὺς περὶ τὴν τοῦ ἐπαγγέλματος ὁμολογίαν καὶ τὴν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστιν. Παρακληθεὶς οὖν πολλὰ παρ' αὐτῶν ὑπὲρ τῆς τῶν δεομένων παρακλήσεως, ὡς ἰδίοις τέκνοις προθύμως τοῦτο ποιεῖν συνέθετο. Ὥρισεν οὖν αὐτοῖς περὶ τούτου τεταγμένον καιρόν, καὶ πρὸ τῶν ἡμερῶν τῆς τρυγῆς παρεγένετο εἰς τὰ μοναστήρια. Πάντες οὖν οἱ ἀδελφοὶ χαίροντες ὑπήντων τῷ ἁγίῳ καὶ μετὰ πολλῆς εὐφροσύνης ἠκολούθουν αὐτῷ, καὶ ἵνα μὴ κόπον παρέχωσι, πρὸς οὓς παραγίνονται ἀδελφούς, τὰς χρείας αὐτῶν ἀπὸ τῶν μοναστηρίων ἀπεκομίζοντο· ἦσαν γὰρ ὡς δισχιλίων καὶ μᾶλλον ἀδελφῶν πλήθη. Ὡς οὖν φωστῆρα μέσον ἑαυτῶν λαμβάνοντες τὸν γέροντα, τῷ λόγῳ τῆς διδασκαλίας αὐτοῦ τρεφόμενοι, μετὰ ἀγαλλιάσεως ἐκύκλευον τὰ μοναστήρια· ἔχαιρον δὲ καὶ οἱ βιωτικοὶ οἱ ἐν τοῖς χωρίοις, ἐν οἷς ἦσαν τὰ μοναστήρια, ὁρῶντες τὸν ἅγιον Ἱλαρίωνα μετὰ τοῦ πλήθους τῶν ἀδελφῶν πρὸς αὐτοὺς παραγινόμενον καὶ τῇ εἰρηνικῇ ἐπιστασίᾳ αὐτοῦ καὶ αὐτοὺς καὶ τὴν γῆν αὐτῶν ἁγιάζοντα, καὶ πολλοὶ ἀπ' αὐτῶν προσπίπτοντες αὐτῷ χριστιανοὶ ἐγίνοντο. Καὶ λοιπὸν μετὰ ἀγαλλιάσεως ἕκαστος οἶκος ἐσπούδαζε πάντα τὰ τῆς χρείας, πρὸς τὴν τῶν ἁγίων ὑποδοχήν, τῷ ἐν τῷ χωρίῳ αὐτῶν μοναστηρίῳ πλουσίως

1 Ματθ. ιγ', 8. — 23 κῶδ. *πλήθει.*

παρέχειν· βλέπων δὲ τὸν ζῆλον τῆς πίστεως ὁ ἅγιος, μετὰ ἀγαλλιάσεως τοῦτο ποιεῖν ἐσπούδαζεν. Εἰ καὶ ἕνα που συνέβη καθέζεσθαι ἀδελφόν, μετὰ πολλῆς σπουδῆς εἰς τὴν κέλλαν αὐτοῦ παρεγίνετο, εἰδὼς ὅτι ὁ κόπος αὐτοῦ προσθήκη τῶν πιστευόντων καὶ σωτηρία πολλῶν ψυχῶν ἐγίνετο. Ἀπερχομένου δὲ αὐτοῦ ἐπὶ τὴν ἔρημον Κάδης ἐπισκέψασθαι ἕνα τῶν μαθητῶν αὐτοῦ, καθεζόμενον ἐκεῖ, συνέβη αὐτὸν μετὰ παντὸς τοῦ πλήθους τῶν ἀδελφῶν διέρχεσθαι διὰ τῆς πόλεως τῆς καλουμένης Λοῦζα, κατ' ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ πᾶν τὸ πλῆθος τῆς περιχώρου πανδημεὶ συνερχόμενον μετὰ τῶν γειτνιαζόντων αὐτοῖς Σαρακηνῶν ἐσέβοντο τὸν Ἑωσφόρον καὶ τὴν Ἀφροδίτην· ἤκουσαν δὲ ὅτι ὁ ἅγιος Ἱλαρίων μέλλει διὰ τῆς πόλεως ἐκείνης διέρχεσθαι· πάντες γὰρ ᾔδεισαν αὐτὸν καὶ οἱ Σαρακηνοί· πολλοὺς γὰρ ἀπ' αὐτῶν πληγέντας ὑπὸ πνευμάτων ἀκαθάρτων ἐκαθάρισε. Συνήχθησαν οὖν πάντες μετὰ τῶν γυναικῶν αὐτῶν καὶ τῶν τέκνων, καὶ ἐξελθόντες ἔξω τῆς πόλεως ὑπήντησαν αὐτῷ· ἰδόντες δὲ αὐτὸν ἔκλιναν τὰς κεφαλὰς αὐτῶν, καὶ ἔκραξαν ὁμοθυμαδὸν συριστὶ λέγοντες· "Βάρεχ, μαρί"· ὅ ἐστι μεθερμηνευόμενον· "Εὐλόγει, κύριε". Ἀπεδέξατο δὲ αὐτῶν ταύτην τὴν ἀγαθὴν πρόθεσιν ὁ ἅγιος μετὰ χαρᾶς, καὶ προσκαλεσάμενος αὐτοὺς εἶπεν, ἵνα τὸν κτίσαντα αὐτοὺς Θεὸν γνωρίσωσι καὶ αὐτὸν μόνον προσκυνήσωσι, καὶ μὴ τοὺς ἀψύχους λίθους καὶ τοὺς τούτοις παρεδρεύοντας Δαίμονας· "οἱ γὰρ θεοὶ τῶν ἐθνῶν δαιμόνιά εἰσιν, ὁ δὲ Κύριος τοὺς οὐρανοὺς ἐποίησεν". Καὶ ταῦτα εἰπών, ἀναβλέψας εἰς τὸν οὐρανόν, ἤρξατο μετὰ δακρύων ἐπὶ πολὺ εὔχεσθαι ὑπὲρ αὐτῶν· καὶ καταπαύσας τὴν εὐχὴν λέγει αὐτοῖς· "Ἐὰν πιστεύσητε εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, προσκυνοῦντες αὐτῷ, ἐν τάχει ποιεῖ μεθ' ἡμῶν τὰ θαυμάσια αὐτοῦ· ἐλεήμων γάρ ἐστιν καὶ φιλάνθρωπος ὁ Θεὸς ἡμῶν". Ταῦτα δὲ αὐτοῦ εἰπόντος, πάντες ὁμοθυμαδὸν οἱ ἀκούσαντες ἐπίστευσαν τῷ Κυρίῳ καὶ οὐκ εἴασαν αὐτὸν ἐξελθεῖν ἐκ τῆς πόλεως αὐτῶν, ἕως οὗ διέγραψεν αὐτοῖς ἐκκλησίαν γενέσθαι καὶ αὐτὸν ἐποίησαν πρῶτον βαλεῖν σπαρτίον εἰς αὐτήν. Τοσαύτη

8 Λοῦζα] ἐν τῷ λατ. κειμένῳ **pervenit Elusam.** — 23 Ψαλμ. ϙε', 5.

Digitized by Google

οὖν τῇ τοῦ Κυρίου χάριτι γέγονεν εἰς αὐτὸν χαρά, ὥστε καὶ τὸν ἱερέα αὐτῶν ἐστεφανωμένον προσελθεῖν τῷ ἁγίῳ καὶ πᾶσαν τὴν διαβολικὴν ἐκείνην φαντασίαν ῥίψαντα τῇ χειρὶ τοῦ ἁγίου τὴν τοῦ Κυρίου σφραγῖδα ἐπὶ τοῦ ἑαυτοῦ μετώπου λαβεῖν. Τούτου δὲ πιστεύσαντος, πάντες οἱ ἐν τῇ πόλει προσελθόντες ἐπίστευσαν καὶ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, καὶ ἐγένετο χαρὰ μεγάλη ἐν τῇ πόλει ἐκείνῃ.

26 Τῷ δὲ ἐρχομένῳ ἐνιαυτῷ κατὰ τὸ εἰωθὸς αὐτῷ ἐξῆλθεν εἰς ἐπίσκεψιν τῶν ἀδελφῶν. Ἐβουλήθη οὖν μεῖναι ἐν τῷ ἐν Σκινδουλᾷ μοναστηρίῳ, ἵνα ἐκεῖθεν ἄλλους ἀδελφοὺς ἐπισκέψηται. Οἱ οὖν ἀδελφοὶ ἰδόντες τινὰ φειδωλὸν τῶν ἀδελφῶν καὶ παντελῶς τῆς φιλοξενίας ἀμνημονοῦντα, θέλοντες αὐτὸν ὡς ἴδιον μέλος διορθώσασθαι, ἠξίουν τὸν γέροντα ἀπελθεῖν πρὸς αὐτόν· εἶπεν δὲ πρὸς αὐτούς· "Διατί καὶ ἑαυτοῖς ὕβριν παρέχειν βούλεσθε κἀκεῖνον σκῦλαι παρὰ πρόθεσιν"; Πάντων δὲ τούτου χάριν παρακαλούντων αὐτόν, συνθέμενος τῇ παρακλήσει αὐτῶν, ἀπῆλθε καὶ ηὔξατο εἰς τὸ κελλίον αὐτοῦ, καὶ ἐπὶ παρουσίᾳ τῶν ἀδελφῶν ὀνομάσας αὖ τὸ μοναστήριον ἐξῆλθεν ἐκεῖθεν, καὶ μετὰ δέκα ἡμέρας ὡς μετὰ τρισχιλίων ἀδελφῶν ἦλθε πρὸς αὐτόν· εἶχεν δὲ ὁ ἀδελφὸς ἐκεῖνος πλησίον τοῦ μοναστηρίου ἐκείνου ἀμπελῶνα, καὶ γνοὺς ὅτι μέλλει ὁ ἅγιος παρέρχεσθαι ἐκεῖθεν, ἐγγίσας πρὸς αὐτόν, βιωτικούς τινας ἀπηνεῖς ἔστησε τηρητάς, ἵνα ὡς ἀλλοτρίου ὄντος τοῦ ἀμπελῶνος μηδένα τῶν ἀδελφῶν συγχωρήσωσιν εἰς αὐτὸν εἰσελθεῖν. Παραγενομένου δὲ τοῦ μακαρίου πρὸς αὐτόν, εὐθέως οἱ ἀδελφοὶ δοκιμάζοντες ὥρμησαν εἰς τὸν ἀμπελῶνα. Οἱ οὖν φύλακες, κατὰ τὰς παραγγελίας αὐτοῦ, μετὰ σφενδονῶν ἀφειδῶς κατ' αὐτῶν βάλλοντες οὐ συνεχώρησαν αὐτοῖς, λέγοντες μὴ εἶναι τοῦ μοναστηρίου τὸν ἀμπελῶνα.

27. Μείνας οὖν παρ' αὐτῷ τὴν ἡμέραν ἐκείνην, τῇ ἕωθεν ἐξελθὼν ἐπορεύετο εἰς τὸ μοναστήριον τοῦ ἀδελφοῦ Σιβᾶ· ἐπηρώτα δὲ τοὺς ἀδελφοὺς ὁ γέρων μειδιῶν· "Πῶς ὑμᾶς ἀνέπαυσεν

9/10 λατ. ad visenda monasteria et dagareret in schedula, apud quos manere, quos in transitu visitare deberet κτλ. — 18 αὖ τὸ] κῶδ. *αὐτὸ*.

*

ὁ ἀδελφὸς ἡμῶν, τέκνα"; Καὶ ταῦτα λέγων ἔφθασε πρὸς τὸν Σιβᾶν, καὶ ὑπεδέξατο αὐτὸν ἀσμένως, χαίρων καὶ δοξάζων τὸν Κύριον. Εὔθυμοι δὲ ἐπὶ τῇ τοιαύτῃ προθέσει αὐτοῦ γενόμενοι οἱ ἀδελφοὶ ἔλεγον τῷ ἁγίῳ· "Νῦν τοῦ ἀπειροκάλου καλοῦ λήθην ποιησάμενοι περὶ τῆς πλουσίας ἀγάπης τοῦ ἀδελφοῦ ἡμῶν Σιβᾶ εὐξώμεθα". Κυριακῆς δὲ οὔσης τῆς ἡμέρας παρακαλεῖ πάντας τοὺς ἀδελφοὺς ὁ Σιβᾶς, ἵνα εἰς τὸν ἀμπελῶνα αὐτοῦ εἰσελθόντες ἕκαστος ἐξ οἵας θέλει ἀμπέλου φάγῃ σταφυλάς· ἀκούσας δὲ ταῦτα ὁ ἅγιος εἶπεν αὐτοῖς· "Ἐπικατάρατος, ὃς πρὸ τῆς πνευματικῆς βρώσεως ἐπὶ τὰς τῆς γαστρὸς ἡδονὰς ὁρμήσει! Πρῶτον οὖν τὴν συνήθη προσκύνησιν ἀποδώσωμεν τῷ Κυρίῳ". Ἀρξάμενος τῆς ψαλμῳδίας ἐπλήρωσε μετ' αὐτῶν τὸν συνήθη κανόνα, καὶ στὰς ἐφ' ὑψηλοῦ τόπου εὐλόγησε τὸν ἀμπελῶνα καὶ ἐπέτρεψεν αὐτοῖς μετὰ πάσης σεμνότητος εἰσελθεῖν εἰς αὐτόν· ἦσαν δὲ ὡς τρισχίλιοι ἄνδρες τῶν ἀδελφῶν. Ἐποίει δὲ πρὸ τούτου, εἴποτε εὐφόρησεν ὁ ἀμπελών, λαγύνια ἑκατόν· τότε ἐποίησεν τριακοσίους στάμνους· ὁ δὲ ἀδελφὸς ἐκεῖνος ὁ φειδωλός, ὁ μὴ ποιήσας αὐτοὺς εἰσελθεῖν εἰς τὸν ἀμπελῶνα αὐτοῦ, ἔλαττον πολὺ τοῦ κατὰ συνήθειαν ἐποίησε, κἀκεῖνο εἰς ὄξος μετεβλήθη· τοῦτο γὰρ μέλλει συμβαίνειν αὐτῷ προειρήκει τοῖς ἀδελφοῖς ὁ γέρων. Ἤκουσεν δὲ καὶ περί τινος τῶν ὄντων ἀδελφῶν μετ' αὐτοῦ, ὅτι ἔχει κῆπον καὶ οὐδένα τῶν ἀπερχομένων πρὸς αὐτὸν ἀδελφῶν συγχωρεῖ εἰσελθεῖν εἰς αὐτόν, καὶ ὅτι φιλοκτήμων ὑπάρχων ὑπερορᾷ τοὺς πένητας. Ἐκεῖνον μὲν οὖν ἀφορίσας ἀπὸ ὄψεως αὐτοῦ ἐποίησε, τοῖς δὲ λοιποῖς παρήγγειλε μηδὲν τῶν παρερχομένων τοῦ κόσμου τούτου κτᾶσθαι, ἀλλὰ πᾶν τὸ ἐμπίπτον αὐτοῖς τοῖς πτωχοῖς διδόναι· τοῦτο γὰρ διὰ τῶν ἁγίων Εὐαγγελίων λέγει ὁ Κύριος· "Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν καὶ δότε ἐλεημοσύνην· ποιήσατε ἑαυτοῖς θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς". Ταῦτα δὲ λέγοντος αὐτοῦ ἔχαιρον πάντες.

28. Ὁ οὖν ἀφορισθεὶς ἀδελφὸς συνεχῶς ἐρχόμενος εἰς τὴν

5 κώδ. *εὐξόμεθα*. — 8 *φάγει*. — 22 *ἀδελφὸν*. — 26 *ἐμπίπτων*. — 27/29 Λουκᾶ ιβ', 33.

μονὴν τοῦ ἁγίου παρεκάλει τοὺς ἀδελφούς, ἐξαιρέτως δὲ τὸν ἅγιον Ἡσύχιον, ὥστε πεῖσαι τὸν γέροντα τοῦ δέξασθαι αὐτόν. Ἐν μιᾷ οὖν καθόδῳ παραγινόμενος ἐκ τοῦ κήπου ἤνεγκε τοῖς ἀδελφοῖς ἐρεβίνθια χλωρά· ἑσπέρας δὲ γενομένου τοῦ ἁγίου παρέθηκαν αὐτῷ ἐξ αὐτῶν. Μὴ δυνηθεὶς οὖν τὴν δυσωδίαν αὐτῶν ὑπενεγκεῖν, κράξας ἐκέλευσεν αὐτὰ ἐπαρθῆναι· ὁ δὲ μακάριος Ἡσύχιος ἔπειθεν αὐτὸν γεύσασθαι καὶ εὐλογῆσαι αὐτά, λέγων· "Ἀδελφός τις ἀπαρχὰς τοῦ κήπου αὐτοῦ πίστει ἤνεγκεν ἡμῖν". Ὁ δὲ λέγει αὐτῷ· "Οὐκ ἀντιλαμβάνῃ, ὅτι ἀπληστίαν ὄζουσι"; Λέγει αὐτῷ ὁ Ἡσύχιος· "Ποίας ἀπληστίας ὀσμὴν ἐρεβίνθια ἔχειν δύνανται"; Λέγει αὐτῷ ὁ γέρων· "Βάλε αὐτὰ τοῖς βουσὶ καὶ βλέπε, εἰ ἅπτονται αὐτῶν". Κατενέγκας δὲ αὐτὰ ἔβαλεν εἰς τὴν φάτνην τῶν βοῶν, καὶ ἀντιλαμβανόμενοι τῆς ὀσμῆς αὐτῶν οἱ βόες, διαρρήξαντες τὰ δεσμὰ αὐτῶν ἔφυγον· εἶχεν γὰρ καὶ ταύτην τὴν χάριν τοῦ Κυρίου ὁ γέρων, ὥστε καὶ ἐκ τῆς τοῦ σώματος ὀσμῆς καὶ ἐκ τῆς ἀφῆς τῶν ἱματίων γινώσκειν ποίῳ πάθει κατέχεται ἕκαστος καὶ παρὰ ποίου πειράζεται Δαίμονος.

29. Ἦν δὲ τότε ἐτῶν ἑξήκοντα τριῶν καὶ διὰ τὸ πλῆθος τῶν ἀδελφῶν ἠναγκάσθη μεγάλην τὴν μονὴν αὐτοῦ ποιῆσαι· πολλοὶ γὰρ ἀπὸ τῶν περιχώρων ποικίλαις νόσοις ἀσθενοῦντες καὶ ὑπὸ πνευμάτων ἀκαθάρτων ὀχλούμενοι ἰάσεως χάριν ἤρχοντο πρὸς αὐτὸν καὶ ἐπληροῦτο τούτων τὸ μοναστήριον, καὶ εἶχεν θόρυβον καὶ ὄχλησιν πολλὴν ὁ γέρων, ὡς μνημονεύοντα αὐτὸν τῆς ἀρχαίας ἡσυχίας καταμόνας καθεζόμενον, κλαίοντα καὶ ἀδημονοῦντα μὴ παύεσθαι· ἐρωτώντων δὲ αὐτὸν τῶν ἀδελφῶν τίνος ἕνεκεν ἐλυπεῖτο καὶ ἔκλαιεν, ἔλεγεν αὐτοῖς· "Κλαίω, ὅτι πάλιν εἰς τὸν κόσμον ὑπέστρεψα, τέκνα, καὶ ἀπέλαβον ἐνταῦθα τὸν μισθόν μου καὶ τὴν δόξαν μου, ὅτι πᾶσα ἡ Παλαιστίνη καὶ ἡ περὶ αὐτὴν χώρα δοξάζουσί με καὶ ὑμεῖς ὁμοίως τιμᾶτέ με ὡς δεσπότην καὶ πάντων τῶν τοῦ μοναστηρίου ἐγὼ κύριος ὀνομάζομαι". Ἀκούσαντες δὲ οἱ ἀδελφοὶ καὶ γνόντες ὅτι λάθρᾳ ἀναχωρῆσαι θέλει, πάνυ ἐλυπήθησαν, ἐξαιρέτως ὁ ἅγιος Ἡσύχιος· ἠγάπα γὰρ τοῦτον ὁ ἅγιος Ἱλαρίων ὡς τὴν ἑαυτοῦ ψυχήν. Ταύτης οὖν ἕνεκεν τῆς αἰτίας ἦν

Digitized by Google

λυπούμενος ἐπὶ ἔτη δύο. Ἦλθεν δὲ πρὸς αὐτὸν Ἀρισταινέτη ἡ γυνὴ Ἐλπιδίου τοῦ ἀπὸ ὑπάρχων, ἧς τοὺς τρεῖς υἱούς, μέλλοντας ἀποθνήσκειν, εἰς Γάζαν παραγενόμενος ἰάσατο τῇ τοῦ Κυρίου χάριτι· συντυχοῦσα δὲ αὐτῷ καὶ εὐλογηθεῖσα ἐβούλετο ἐκεῖθεν πρὸς τὸν ἅγιον Ἀντώνιον πορευθῆναι· γνοὺς δὲ τοῦτο ὁ μακάριος Ἱλαρίων, κλαίων ἔλεγεν αὐτῇ· "Εἰ ἦν μοι καρπὸς ἐν τῷ πορεύεσθαι ἐκεῖ, καὶ εἰ μὴ φροντὶς τῶν ἀδελφῶν ἐκράτει με, μᾶλλον πάντων εὐχή μοι ἦν καὶ πόθος περιόντα ἐν σαρκὶ τὸν ἅγιόν μου πατέρα Ἀντώνιον ἰδεῖν". Καὶ εἰπὼν ταῦτα λέγει αὐτῇ· "Δύο λοιπὸν ἡμέραι εἰσίν, ἀφ' οὗ ὅλος ὁ κόσμος σκυθρωπάζει, τοιούτου ἀποστερηθεὶς φωστῆρος, ἐκδημήσαντος τοῦ ἁγίου Ἀντωνίου ἐκ τοῦ σώματος". Ἀκούσασα δὲ ταῦτα ἡ γυνὴ καὶ οἱ λοιποὶ ἔγνωσαν ὅ τι ἀπεκαλύφθη αὐτῷ, καὶ εὐχαριστήσασα τῷ θεῷ, μετὰ εὐχῆς ἀπολυθεῖσα παρὰ τοῦ ἁγίου, ὑπέστρεψεν εἰς τὰ ἴδια· μετὰ δὲ ἡμέρας ὀλίγας ἠκούσθη ἡ κοίμησις τοῦ ἁγίου Ἀντωνίου. Πάντες οὖν οἱ ἀκούσαντες αὐτοῦ πρὸ τῆς ἀγγελίας λέγοντος τῇ γυναικί, ὅτι πρὸ δύο ἡμερῶν ὁ ἅγιος Ἀντώνιος κεκοίμηται, ἐδόξαζον τὸν Θεόν, τὸν τοιαῦτα τῷ δούλῳ αὐτοῦ Ἱλαρίωνι ἀποκαλύπτοντα καὶ τοιαύτην χάριν αὐτῷ δόντα.

30. Ἤρχοντο δὲ καὶ ἐπίσκοποι καὶ πρεσβύτεροι μετὰ παντὸς τοῦ κλήρου αὐτῶν καὶ τοῦ λαοῦ χάριν τοῦ εὐλογηθῆναι καὶ τοῦ ἀκοῦσαι λόγον παρ' αὐτοῦ. Οὐ μόνον δὲ αὐτοὶ ἤρχοντο πρὸς τὸν ἅγιον, ἀλλὰ καὶ οἱ ἄρχοντες καὶ οἱ μεγιστᾶνες τῶν ἐπαρχιῶν ἐκείνων, καὶ αἱ τούτων γυναῖκες, μετὰ πολλῆς σπουδῆς παρεγίνοντο πρὸς αὐτὸν παρακαλοῦντες, ἵνα εὔξηται ὑπὲρ αὐτῶν καὶ ἄρτον εὐλογημένον καὶ ἔλαιον εἰς ἴασιν καὶ ἁγιασμὸν αὐτῶν τε καὶ τῶν ἀρρώστων αὐτῶν ἐκ τῶν ἁγίων αὐτοῦ χειρῶν δέξωνται· διὰ δὲ ταῦτα μᾶλλον τὸ ἠρεμεῖν ἐσκέπτετο. Τισὶν οὖν τῶν ἀδελφῶν, οἷς μᾶλλον ἐθάρρει, ἐφανέρωσε τοῦτο, καὶ ὁρίσαντος αὐτοῖς ἡμέραν, καθ' ἣν ἔμελλεν ἀναχωρεῖν τοῦ μοναστηρίου, πρὸς τὸ μὴ σκυλῆναι αὐτὸν πεζεύοντα, διὰ τὴν ἀκροτάτην ἄσκησιν καὶ τὸ βαθὺ λοιπὸν γῆρας, ἡτοίμασαν αὐτῷ οἱ ἀδελφοὶ βαδιστήν· καὶ ἀπὸ τῆς ἀτονίας τῶν νηστειῶν μὴ ἰσχύοντος αὐτοῦ καθεσθῆναι, ἐπ'

Digitized by Google

αὐτὸν ἐπιβιβάσαντες αὐτὸν καὶ κρατοῦντες καθ' ἑκάτερα μέρη ἐπορεύοντο. Ἀκούσαντες δὲ οἱ ἀδελφοὶ τοῦτο συνήχθησαν ὁμοθυμαδὸν καὶ πολλὰ πλήθη τῶν τε πόλεων καὶ τῶν χωρῶν, ὑπὲρ δισμυρίους ἀνθρώπων, καὶ καταλαβόντες αὐτὸν ἐκράτησαν αὐτὸν καὶ οὐ συνεχώρουν αὐτῷ καταλεῖψαι αὐτούς, λέγοντες· "Σὲ ἔχομεν πάντες μετὰ Θεὸν ἐν τῇ Παλαιστίνῃ στερεοῦντα ἡμᾶς ἐν Κυρίῳ. Μὴ οὖν καταλίπῃς ἡμᾶς ὡς πρόβατα μὴ ἔχοντα ποιμένα". Ὁ δὲ παρεκάλει αὐτοὺς λέγων· "Τί ποιεῖτε καὶ συντρίβετέ μου τὴν καρδίαν; Γινώσκετε οὖν, τέκνα, ὅτι οὐκ ἄνευ θελήματος τοῦ Κυρίου τοῦτο ποιεῖν βούλομαι, ἀλλὰ τῆς αὐτοῦ χάριτος συνευδοκούσης μοι πορεύομαι, ἵνα μὴ ἴδω καταστρεφομένας τὰς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, καὶ τὰ θυσιαστήρια τοῦ Χριστοῦ καταπατούμενα, καὶ τὰ αἵματα τῶν τέκνων μου ἐκχυνόμενα. Διὰ τὸ οὖν μὴ δύνασθαί με ἰδεῖν ταῦτα, ἐδεήθην τοῦ Κυρίου ἐπιτρέψαι μοι πορευθῆναι ὅπου ἂν ἡ αὐτοῦ χάρις ὁδηγήσῃ με. Μὴ οὖν κρατεῖτέ με, τέκνα, παρακαλῶ". Ἀκούσαντες δὲ ταῦτα ἔγνωσαν, ὅτι ἀποκαλύψεώς τινος αὐτῷ παρὰ τοῦ Κυρίου γενομένης τοῦτο ποιεῖν προῄρηται· καὶ οὐδ' οὕτω συνεχώρουν αὐτῷ, ἀλλὰ πάντοθεν περιστάντες ἐκράτουν αὐτὸν ὀδυνώμενοι. Ἰδὼν δὲ τὴν ἔνστασιν αὐτῶν ὁ μακάριος λέγει αὐτοῖς· "Γινώσκετε, τέκνα, ὅτι, ἐὰν μὴ ἀπολύσητέ με, οὐ μὴ γεύσωμαί τινος· εἰ οὖν οὕτως ἀποκτεῖναί με θέλετε, κρατεῖτέ με". Πείθειν δὲ αὐτὸν νομίζοντες παρέμειναν πάντες, παρακαλοῦντες μὴ χωρισθῆναι αὐτῶν τῶν ἰδίων τέκνων, μήτε τῆς θρεψάσης αὐτὸν πατρίδος. Ἑπτὰ οὖν ἡμερῶν διελθουσῶν καὶ μὴ πεισθέντος αὐτοῦ μεταλαβεῖν τροφῆς, ἰδόντες τὸ ἀμετάθετον τῆς τοιαύτης αὐτοῦ προθέσεως ἀπέλυσαν αὐτόν. Πορευομένου δὲ αὐτοῦ, προέπεμπον αὐτὸν μετὰ δακρύων πάντα τὰ πλήθη. ἐλθὼν δὲ ἅμα πᾶσιν αὐτοῖς ἕως τῆς πόλεως Βιτυλίου, καὶ τῶν συνήθως ὄντων μετ' αὐτοῦ ἀδελφῶν τεσσαράκοντα ἐκλεξάμενος, οὓς ᾔδει ὅτι παντὶ τρόπῳ συγκακουχηθῆναι αὐτῷ δύνανται, θεὶς τὰ γόνατα σὺν πᾶσιν αὐτοῖς καὶ προσευξάμενος καὶ τῷ Κυρίῳ παραθέμενος αὐτοὺς ἀπέλυσεν πάντας. Καὶ ἀπάρας ἐκεῖθεν μετὰ τῶν τεσσαράκοντα ἀ-

1 κῶδ. *μέρει*. — 5 *ἔχωμεν*. — 19 *οδυνόμενοι*.

Digitized by Google

δελφῶν, δι' ἡμερῶν πέντε ἦλθεν εἰς Πηλούσιον, ἵνα ἐπισκέψηται τοὺς εἰς τὴν ἔγγιστα ἔρημον καθεζομένους ἀδελφούς. Εἶχον δὲ οὗτοι τὸ κελλίον ἐν τῷ τόπῳ τῷ καλουμένῳ Λύχνῳ· ἰδὼν δὲ αὐτοὺς ἀπῆλθεν ἐκεῖθεν διὰ τριῶν ἡμερῶν εἰς κάστρον καλούμενον Ταβαστόν, ἵνα ἴδῃ Δρακόντιον τὸν ἐπίσκοπον καὶ ὁμολογητὴν τοῦ Χριστοῦ· ἦν γὰρ ἐκεῖ ἐξορισθεὶς ὁ ἅγιος οὗτος· πάνυ δὲ ἐχάρη καὶ εὐχαρίστησε τῷ Θεῷ ἰδὼν τὸν ἅγιον Ἱλαρίωνα. Ἐκεῖθεν δὲ ἐξελθὼν ἦλθε διὰ τριῶν ἡμερῶν εἰς Βαβυλῶνα, πόλιν τῆς Αἰγύπτου, ἵνα ἴδῃ Φίλωνα τὸν ἐπίσκοπον, ὁμοίως καὶ τοῦτον ὁμολογητήν· τούτους γὰρ τοὺς δύο ἄνδρας Κωνστάντιος ὁ βασιλεύς, τῇ τῶν δυσσεβῶν Ἀρειανῶν κακοπιστίᾳ συνεργῶν, ἐκείνοις τοῖς τόποις ἐξορισθῆναι ἐποίησε. Θεασάμενος δὲ καὶ τοῦτον ὁ μακάριος Ἱλαρίων ἦλθεν ἐκεῖθεν δι' ἡμερῶν δύο εἰς Ἀφροδιτῶν τὴν πόλιν ἐπισκέψασθαι Βαϊσανὸν τὸν διάκονον· ἦν δὲ οὗτος, ὡς ἔλεγεν ὁ ἅγιος Ἱλαρίων, μισθωσάμενος καμήλους, ἵνα τοῖς ἀπερχομένοις ἀδελφοῖς ὅπου ἐκοιμήθη ὁ μακάριος Ἀντώνιος, ὥστε ἐκεῖ τὴν μνήμην αὐτοῦ ποιῆσαι, βαστάξωσιν ὕδωρ. Κἀκεῖθεν ἐξελθὼν διὰ τῆς φοβερᾶς καὶ χαλεπῆς ἐρήμου, ὁδεύσας τρεῖς ἡμέρας, ἦλθεν εἰς τὸ ὄρος, ἐν ᾧ εἶχε τὸ μοναστήριον ὁ μακάριος καὶ ὅσιος τοῦ Χριστοῦ δοῦλος Ἀντώνιος, καὶ εὗρεν ἐκεῖ δύο παραμένοντας μαθητὰς τοῦ μακαρίου, Ἰσαὰκ καὶ Πλουσιανόν· ἦν δὲ ὁ Ἰσαὰκ διερμηνευτὴς τοῦ ὁσίου ἐκείνου. Ἰδόντες τὸν δοῦλον τοῦ Θεοῦ Ἱλαρίωνα πάνυ ἐχάρησαν.

31. Ἄξιον δὲ εἰς μνήμην ἡμᾶς ἐλθόντας τοῦ τόπου, ἐν ᾧ κατῴκει ὁ μακάριος πατὴρ ἡμῶν Ἀντώνιος, εἰς εὐφροσύνην τῶν ἀκουόντων διὰ βραχέων ῥημάτων διηγήσασθαι τὴν ἐπιτήδειον καὶ περικαλλῆ θέσιν τοῦ τόπου ἐκείνου. Ὄρος ἦν ὑψηλὸν καὶ πάνυ τραχύ, ἐπὶ μίλιον ἓν ἔχον τὸ μῆκος· ὑποκάτω δὲ τοῦ ὄρους ἐν τῷ τόπῳ, ἐν ᾧ τὸ μοναστήριον εἶχεν, ἀναβρύει ὕδατα καθαρά, ἃ μὲν αὐτῶν εἰς ἄμμον λήγοντα, ἃ δὲ προβαίνοντα κατὰ βραχὺ εἰς γῆν χω-

5 Ταβαστὸν] ad castrum Theubatum. — 13 venit ad oppidum Aphroditon.— 21 Πλουσιανὸν] Pelusiano. — 24 ἐν τῇ ᾤᾳ: *Περὶ τῆς θέσεως τοῦ τόπου, ἐν ᾧ κατῴκει ὁ ἅγιος Ἀντώνιος.*

Digitized by Google

ροῦσιν· ἡ δὲ τῶν λοιπῶν ὑδάτων ἔκροια ποιεῖ χειμάρρουν, καὶ ἐξ ἀμφοτέρων τῶν μερῶν εἰς τὰς ὄχθας τοῦ χειμάρρου στήκουσι φοίνικες πολλοί, καρπὸν καλὸν καὶ πολὺν φέροντες, καὶ πανταχόθεν κατασκιάζοντες πάνυ τερπνὸν τὸν τόπον ποιοῦσι. Γενομένων δὲ ἡμῶν ἐκεῖ, ὁ μακάριος Ἱλαρίων μετὰ τῶν μαθητῶν τοῦ ἁγίου Ἀντωνίου παραλαβὼν ἡμᾶς περιῆγε τὸν τόπον ἐκεῖνον ὅλον καὶ μετὰ πολλῆς χαρᾶς ἐπεδείκνυον ἡμῖν οἱ μαθηταὶ τοῦ ἁγίου, ὁ Πλουσιανὸς καὶ Ἰσαάκ, λέγοντες "Ἐν τούτῳ τῷ τόπῳ ἔψαλλεν ὁ μακάριος πατὴρ ἡμῶν, καὶ ἐν ἐκείνῳ ηὔχετο, καὶ ἐν τούτῳ ἡσύχαζεν, κἀκεῖ καθεζόμενος σπυρίδας ἐποίει, καὶ ὧδε συνήθειαν εἶχεν ἀπὸ τοῦ καμάτου διαναπαύεσθαι, κἀκεῖ καθεύδειν, καὶ ταύτην τὴν ἄμπελον κἀκεῖνα τὰ δένδρα αὐτὸς ἐφύτευσε, καὶ ταύτην τὴν πρασιὰν ταῖς ἰδίαις χερσὶν ἐποίησε, καὶ τὴν κολυμβήθραν ταύτην τῶν ὑδάτων εἰς τὸ ποτίζειν τὸν κῆπον μετὰ καμάτου καὶ ἱδρῶτος πολλοῦ αὐτὸς ᾠκοδόμησεν· καὶ τοῦτο", φασίν, "τὸ δίκελλον εἰς τὸ σκάπτειν τὴν γῆν ἐπὶ πολὺν χρόνον ἔσχε". Καὶ ἐπιδεικνυόντων ἡμῖν τὰ ἐν τῷ τόπῳ πάντα, ἐλθὼν ὁ γέρων ἀνέπεσεν ἐν τῷ τόπῳ, ἐν ᾧ συνήθως ἐκάθευδεν ὁ μακάριος Ἀντώνιος, καὶ μετὰ φόβου καὶ χαρᾶς κατεφίλει τὸν τόπον· ἦν δὲ ἐν τετραγώνῳ ἡ περιοχὴ τοῦ τόπου, ὅσον εἷς ἄνθρωπος κοιμηθῇ. Εἶχεν δὲ καὶ ἐπ' ἄκρῳ τοῦ ὄρους τοῦ μέτρου τοῦ αὐτοῦ ἄλλα κελλία δύο εἰς λίθον λατομηθέντα, μόνον θύρας ἔχοντα, ἐν οἷς διὰ κοχλίου τῆς ἀνόδου ἀνήρχετο, διὰ τὸ ὑψηλὴν εἶναι τὴν τοῦ ὄρους πρόσβασιν· καὶ εἴποτε ἤθελε τὰς τῶν παραγινομένων ὀχλήσεις φεύγειν, ἐκεῖ ἀπερχόμενος ἡσύχαζεν. Εἰσελθόντων δὲ ἡμῶν εἰς τὸν κῆπον, ἔδειξαν ἡμῖν δένδρα ὀπωρικὰ διάφορα, ἔχοντα καρπὸν πολύν, καὶ φασί· "Ταῦτα πρὸ τριῶν ἐτῶν ἐφύτευσεν ὁ ἅγιος"· ἔλεγον δέ, ὅτι "Κατ' ἀρχὰς προφάσει τῶν ὑδάτων ἤρχοντο αἱ ἀγέλαι τῶν ὀνάγρων καὶ ἠφάνιζον τὸν κῆπον καὶ τοὺς καμάτους αὐτοῦ κατήσθιον. Ἐν μιᾷ οὖν ἡμέρᾳ τὸν συνήθως τῆς ἀγέλης ἡγούμενον κελεύσας στῆναι, λαβὼν ῥάβδον ἠρέμα εἰς τὰς πλευρὰς αὐτοῦ ἔτυπτε λέγων: Διατί με βλάπτετε, μηδέν μου ἀδικοῦντος ὑμᾶς, καὶ λυμαίνεσθε. ἃ οὐκ ἐκάμετε; Καὶ παραγγείλας αὐτῷ τοῦ μηκέτι εἰσελθεῖν εἰς τὸν

Digitized by Google

κῆπον ἀπέλυσεν αὐτόν. Ἀπ' ἐκείνης οὖν τῆς ἡμέρας τὴν παραγγελίαν τοῦ ἁγίου φυλάσσοντες ἤρχοντο καὶ ἔπινον ἐκ τοῦ χειμάρρου καὶ ὑπέστρεφον εὐθέως, μήτε λαχάνου, μήτε ἄλλου τινὸς ἐκ τοῦ ποταμοῦ ἐκείνου ἁπτόμενοι". Ταῦτα δὲ αὐτῶν διηγησαμένων, παρεκάλει αὐτοὺς ὁ γέρων, ὅπως δείξωσιν αὐτῷ τὸν τόπον ὅπου ἔκειτο τὸ σῶμα τοῦ μακαρίου Ἀντωνίου. Ἵνα οὖν μὴ δόξωσιν αὐτὸν λυπεῖν, γενομένης ἑσπέρας, παραλαβόντες αὐτόν, περιήγαγον αὐτὸν [εἰς] τὸν τόπον· ἦν γὰρ παραγγείλας αὐτοῖς ὁ μακάριος μηδενὶ καθόλου τὸν τόπον ἐπιδεῖξαι, καὶ διὰ τὰς ἐντολὰς τοῦ ἁγίου μὴ δυνάμενοι δεῖξαι αὐτῷ ἐσοφίσαντο μὴ εἰδέναι αὐτοὺς τὸν τόπον. Περγάμιος γάρ τις, πιστὸς ἀνὴρ καὶ πλούσιος, πολλὰ κεκτημένος ἐν τοῖς τόποις ἐκείνοις καὶ πάνυ φιλῶν τὸν μακάριον, μετὰ πολλῆς σπουδῆς διερευνῶν τὸν τόπον ἐζήτει, ἵνα, λαβὼν τὸ σῶμα ἐκεῖθεν τοῦ μακαρίου, ἐκεῖ αὐτὸ κατάθηται. Τούτου ἕνεκεν οὔτε τῷ ἁγίῳ Ἱλαρίωνι δεῖξαι ἐτόλμησαν, δεδιότες μήπως τινὲς τῶν σὺν ἡμῖν ἀδελφῶν κατάδηλον τὸν τόπον τῷ μνημονευθέντι ἀνδρὶ ποιήσωσιν.

32. Αὐτάρκως δὲ διαναπαύσας τὴν πάλαι σπουδαζομένην αὐτῷ ταύτην ἐπιθυμίαν ὁ γέρων, ὑποστρέψας ἦλθεν εἰς Ἀφροδιτῶν τὴν πόλιν πρὸς Βαϊσανὸν τὸν διάκονον, καὶ δύο μόνον τῶν συνόντων αὐτῷ ἀδελφῶν κρατήσας μεθ' ἑαυτοῦ, τοὺς λοιποὺς ἐκέλευσεν εἰς τὴν Παλαιστίνην, εἰς τὸ μοναστήριον, ἐπανελθεῖν· καὶ μετὰ τῶν δύο ἀδελφῶν εἰς τὴν πλησίον τῆς πόλεως ἐκείνης ἔρημον ἔμεινε, κατὰ τὴν σπουδαζομένην αὐτῷ πρόθεσιν, νηστείαις καὶ εὐχαῖς καὶ πολλῇ ἡσυχίᾳ διάγων, ὡς οἴεσθαι αὐτὸν τότε ἀρχὴν τῆς ἐν Χριστῷ πολιτείας λαμβάνειν. Ἐγένετο δὲ μετὰ τὴν τελευτὴν τοῦ μακαρίου Ἀντωνίου ἐν τοῖς κλίμασιν ἐκείνοις ἐπὶ ἔτη τρία ἀβροχία καὶ λιμὸς μέγας, καὶ πᾶσα ἡ γῆ ἐκείνη ὡς ἀπὸ πυρὸς τοῖς αὐχμοῖς κατεφλέχθη, ὡς ἅπαντα τὸν λαὸν λέγειν, ὅτι τὴν κοίμησιν τοῦ δικαίου Ἀντωνίου οὐ μόνον οἱ ἄνθρωποι, ἀλλὰ καὶ πᾶσα ἡ γῆ πενθεῖ, ὑετὸν μὴ δεξαμένη, μηδὲ δρόσον ἐκ τοῦ οὐρανοῦ. Ὑπὸ οὖν τῆς ἀπαραιτήτου ἀνάγκης τοῦ λιμοῦ τε τῶν ἀνθρώπων καὶ πάντων τῶν κτηνῶν αὐτῶν φθειρο-

Digitized by Google

μένων, ἀκούσαντες ὅτι ἐν τοῖς τόποις ἐκείνοις ἐστὶν ὁ μαθητὴς καὶ διάδοχος τοῦ ἁγίου Ἀντωνίου Ἱλαρίων, συνήχθη πᾶς ὁ λαὸς τῆς γῆς ἐκείνης σὺν γυναιξὶ καὶ τέκνοις, καὶ ἦλθον πρὸς τὸν ἅγιον Ἱλαρίωνα, ἐκλείποντες ἐκ τῆς ἀνάγκης τοῦ λιμοῦ καὶ μήτε τὰς γλώσσας αὐτῶν ἰσχύοντες κινῆσαι, μήτε φωνὴν εὔσημον φθέγξασθαι δυνάμενοι, καὶ προσέπεσον αὐτῷ λέγοντες· "Διάδοχόν σε ἐν τούτοις τοῖς τόποις τοῦ ἁγίου Ἀντωνίου ἀπέστειλεν ἡμῖν ὁ Κύριος. Σπλαγχνισθεὶς οὖν ἐπὶ τῇ συνεχούσῃ ἡμᾶς ἀπαραιτήτῳ ἀνάγκῃ, δεήθητι τοῦ Κυρίου, ἵνα κοπάσῃ τὴν ὀργὴν αὐτοῦ ἀφ' ἡμῶν καὶ κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ ἐπιλάμψῃ ἡμῖν καὶ δώσῃ ὑετὸν ἐπὶ τὴν καταφθαρεῖσαν γῆν ἡμῶν". Ὁρῶν δὲ πάντας πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ ἐκλείποντας, στενάξας καὶ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανόν, καὶ τὰς χεῖρας ἐκπετάσας, ἐδεήθη τοῦ Κυρίου ἐπιβλέψαι ἐξ ὕψους ἁγίου αὐτοῦ καὶ δοῦναι ὑετὸν καὶ δρόσον ἐπὶ τῆς γῆς· καὶ παραυτίκα, εὐχομένου τοῦ δούλου τοῦ Θεοῦ, ἐγένετο ὑετὸς μέγας· μετὰ δὲ τὸ παύσασθαι τὸν ὑετὸν ἀθρόως τοσοῦτον πλῆθος ἑρπετῶν ἰοβόλων ἀπὸ τῆς γῆς ἐξελθὸν ὥρμησε κατὰ τοῦ πλήθους, ὡς ἀναριθμήτους ἐξ αὐτῶν δηχθέντας πρὸς τοῖς ποσὶ τοῦ μακαρίου πίπτειν ἐκλείποντας· ἰδὼν δὲ τὸ παράδοξον τοῦ πειρασμοῦ, λαβὼν ἔλαιον καὶ ἐπικαλεσάμενος τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἤλειφε τοὺς δηχθέντας καὶ εὐθέως πάντες ἰῶντο, δοξάζοντες τὸν Θεὸν καὶ καταφιλοῦντες τοὺς πόδας τοῦ ἁγίου.

33. Τούτου δὲ τοῦ θαύματος ἐν αὐτοῖς παρὰ τοῦ δούλου τοῦ Θεοῦ Ἱλαρίωνος γενομένου, λοιπὸν πάντας ἔφερον πρὸς αὐτόν. Κἀκεῖ οὖν ὀχλούμενον καὶ τιμώμενον ἑαυτὸν ὑπ' αὐτῶν ἰδὼν ὁ γέρων, ἀπάρας ἐκεῖθεν ἠβουλήθη δι' Ἀλεξανδρείας εἰς Ἀβασσὰν ἀπελθεῖν. Ἐπειδὴ οὖν, ἐξ οὗ γέγονε μοναχός, οὐκ ἔμεινεν εἰς πόλιν, παρελθὼν τὴν πόλιν Ἀλεξάνδρειαν ἀπῆλθεν εἰς Βρούχιον πλησίον Ἀλεξανδρείας χωρίον οὕτω λεγόμενον, καὶ εὑρὼν ἐκεῖ ἀδελφοὺς γνωρίμους ἔμεινε παρ' αὐτοῖς· οἱ δὲ πάνυ μετὰ χαρᾶς

14 ἐπιβλ. ἐξ ὕψους ἁγίου αὐτοῦ] Ψαλμ. ρα', 20.

Digitized by Google

πολλῆς ὑπεδέξαντο αὐτόν. Ὀλίγας οὖν ἡμέρας ποιήσας παρ' αὐτοῖς καὶ ἰδὼν τοὺς ἀδελφοὺς καθ' ὑπερβολὴν τιμῶντας αὐτόν, ἀναστὰς διὰ τῆς νυκτὸς λάθρᾳ αὐτῶν ἐβουλήθη ὁδεῦσαι· τῶν δὲ μαθητῶν αὐτοῦ ἑτοιμαζόντων τὸ ὑποζύγιον, διυπνισθέντες οἱ ἀδελφοὶ καὶ ἰδόντες αὐτὸν ὁρμήσαντα ἐξελθεῖν, προσπεσόντες ὁμοθυμαδὸν παρεκάλουν αὐτὸν ὀλίγας ἡμέρας μεῖναι παρ' αὐτοῖς. Μὴ πειθομένου δὲ αὐτοῦ, ἔρριψαν ἑαυτοὺς ἐπὶ τὴν θύραν λέγοντες· "Δέον ἐστὶν ἡμᾶς κειμένους πρὸς τοῖς ποσί σου ἀποθανεῖν, ἢ οὕτω ταχέως χωρισθῆναι ἀπὸ σοῦ". Ὁ δὲ παρεκάλει αὐτοὺς λέγων· "Ἐγείρεσθε, τέκνα· συμφέρει γὰρ καὶ ὑμῖν καὶ ἐμοί, ἵνα ταχέως ἀπολύσητέ με· ἐὰν γὰρ ἐπίσχητέ με κἂν μίαν ἡμέραν, καὶ ἑαυτοῖς καὶ ἐμοὶ θλῖψιν μεγάλην παρέχετε". Ἀκούσαντες δὲ τοῦτο ἀνέστησαν, καὶ ποιήσας εὐχὴν καὶ ἀσπασάμενος αὐτοὺς ἐξῆλθεν καὶ ὁδεύσας διὰ τῆς ἐρήμου ἀπῆλθεν εἰς Ἀβασσάν· ἔλεγεν δὲ τοῖς ἐν τῷ Βρουχίῳ ἀδελφοῖς τοῦτο, ὃ καὶ ἐκ τῆς Παλαιστίνης ἀναχωρῶν τοῖς τε μαθηταῖς αὐτοῦ καὶ παντὶ τῷ λαῷ, τοῖς ἐπέχειν αὐτὸν βουλομένοις. Ἐκεῖ προεῖπεν [περὶ] τῆς τοῦ σωτῆρος ἡμῶν χάριτος, τὰ μέλλοντα κατ' αὐτοῦ καὶ τὰ κατὰ τῶν ἐν τῷ μοναστηρίῳ ἀδελφῶν αὐτοῦ παρὰ τῶν ἀσεβεστάτων Γαζαίων συμβαίνειν ἀποκαλυπτούσης αὐτῷ· οἱ γὰρ μιαροὶ καὶ ἄθεοι οὗτοι ἐπὶ ταῖς εὐεργεσίαις τῶν σῳζομένων τῇ τοῦ Κυρίου χάριτι παρ' αὐτοῦ καὶ καθ' ἑκάστην ἡμέραν γινομένοις θαυμασίοις τῇ τοῦ πατρὸς αὐτῶν, τοῦ Διαβόλου, κακίᾳ εἰς φθόνον καὶ μῖσος ἀνήκεστον κατὰ τοῦ ἁγίου ἐξαπτόμενοι καὶ μὴ ἰσχύοντες γυμνῶσαι τὴν κατὰ τοῦ ὁσίου ἀνδρὸς ἐνδελεχῶς γυμναζομένην παρ' αὐτῶν ἀπέχθειαν. Μετὰ γὰρ τὴν τελευτὴν Κωνσταντίου τοῦ βασιλέως συνεργὸν τῆς διαβολικῆς αὐτῶν προαιρέσεως τὴν τοῦ ἀποστάτου Ἰουλιανοῦ βασιλείαν εὑρόντες, ἀγνοοῦντες ὅτι τὴν κατὰ τοῦ θεράποντος τοῦ Θεοῦ παρ' αὐτῶν πάλαι βουλευομένην κακίαν προφθάσας ἐμώρανεν ὁ Χριστός, ἀπήμαντον τῆς παρ' αὐτῶν βουλευομένης ἀπάτης τὸν ἑαυτοῦ δοῦλον φυλάττων· κατ' ἐκεῖνον γὰρ τὸν καιρὸν νομίζοντες αὐτὸν ἐν τῷ Βρουχίῳ διάγειν, προσελθόντες τῷ ἐπάρχῳ καὶ ματαίας τινὰς προφάσεις καταγγέλλοντες αὐτῷ, ἠξίουν αὐτὸν διὰ τῆς τάξεως παραστῆναι δίκην δώσοντα· ἦν δὲ ὁ ἔπαρχος τῇ τῶν

Digitized by Google

Ἀρειανῶν αἱρέσει συνεργῶν. Εὑρὼν οὖν τὴν πρόφασιν ταύτην, μᾶλλον ἠγωνίζετο πρὸς τὸ ἀδικῆσαι τὸν ἅγιον, καὶ ἀπεφήνατο κατ' αὐτοῦ διὰ τῆς τάξεως παραστῆναι αὐτόν. Γνόντες δὲ ταῦτα καὶ οἱ τῆς ἀσεβοῦς αἱρέσεως αὐτοῦ κληρικοί, βρύχοντες κατ' αὐτοῦ, ἀπέστειλαν μετὰ τῶν ταξεωτῶν ἀναγνώστας πρὸς τὸ διακονῆσαι αὐτοῖς τὸν δίκαιον ἅμα τε καὶ κακοποιῆσαι. Ἐλθόντες οὖν εἰς τὸν τόπον ὅπου ἔμεινε, πρὸς τοὺς ἀδελφοὺς ἐν τῷ Βρουχίῳ, καὶ μὴ εὑρόντες αὐτὸν ἔλεγον· "Ὁρᾶτε, πῶς ταῖς μαγείαις αὐτοῦ τὰ μέλλοντα συμβαίνειν αὐτῷ κακὰ προγνοὺς ἀφανὴς ἐγένετο"; Ἐμμανεῖς οὖν μᾶλλον γενόμενοι καταλαμβάνουσι τὸν ἀθεώτατον Ἰουλιανόν, καὶ προσελθόντες αὐτῷ ἔπραξαν σάκραν, κελεύουσαν τὸ μὲν μοναστήριον αὐτοῦ ἐκ θεμελίων καταστραφῆναι καὶ τοὺς μοναχοὺς βασανισθέντας ἀπελαθῆναι, αὐτὸν δὲ καὶ Ἡσύχιον, ὅπου δ' ἂν εὑρεθῶσι, διὰ τοῦ ἄρχοντος τῆς ἐπαρχίας βασανισθέντας ἀποθανεῖν.

34. Ὁ δὲ μακάριος τῇ τοῦ Θεοῦ βοηθείᾳ φυλασσόμενος εἰς Ἀβασσὰν διεσώθη, ἡσυχάσας ἐκεῖ καὶ ποιήσας ἐνιαυτόν· δεδιὼς δέ, μήπως τῷ χρόνῳ διὰ τῆς φήμης τῶν γινομένων παρ' αὐτοῦ θαυμασίων τοῖς ζητοῦσιν αὐτὸν κατάδηλος γένηται, ἐσκέπτετο εἰς νῆσον πλεῦσαι ἐκεῖθεν· τοῦτο δὲ αὐτοῦ βουλευομένου, παρεγένετο πρὸς αὐτὸν Ἀδριανός, εἷς τῶν μαθητῶν αὐτοῦ, ἀπὸ τῆς Παλαιστίνης, τὸν θάνατον τοῦ Ἰουλιανοῦ τοῦ ἀποστάτου μηνύων αὐτῷ καὶ εὐαγγελιζόμενος, ὅτι "τῇ τοῦ Θεοῦ χάριτι χριστιανὸς καὶ ὀρθόδοξος γέγονε βασιλεύς, καὶ δέονται οἱ ὑπολειφθέντες ἀδελφοί, ἵνα ὑποστρέψῃς εἰς τὸ μοναστήριον, πρὸς τὰ ἴδιά σου τέκνα". Ὁ δὲ μακάριος γέρων, διὰ τὸ μὴ εὑρεῖν πολλοὺς τῶν μαθητῶν αὐτοῦ, οὓς ἐτιμωρήσαντο οἱ ἀσεβεῖς ἐκεῖνοι, οὐκ ἐπένευσεν ὑποστρέψαι εἰς τὴν Παλαιστίνην, ἀλλὰ μισθωσάμενος κάμηλον διὰ τῆς φοβερᾶς ἐρήμου εἰς παραθαλάσσιον τῆς Λιβύης πόλιν παρεγένετο. Ὁ δὲ Ἀδριανὸς ἰδών, ὅτι οὐ πείθεται αὐτῷ τοῦ ὑποστρέψαι εἰς τὴν Παλαιστίνην μετ' αὐτοῦ, λάθρᾳ λαβὼν τὰ δι' αὐτοῦ παρὰ τῶν ἀδελφῶν ἀποσταλέντα αὐτῷ γράμματα, φιλαρχίας νόσῳ πάλαι κατεχόμενος, εἰς ὕβριν τοῦ γέροντος, εἰς τὴν Παλαιστίνην ὑπέ-

στρεψεν, λοιδορῶν αὐτὸν καὶ ἐναντία τῆς προθέσεως αὐτοῦ ὡς ἀντάρτης τῆς τοῦ Θεοῦ δόξης πράττων· ὃν ὁ Κύριος πρὸς πολλῶν φόβον καὶ διόρθωσιν διὰ τάχους ἠμείψατο· νόσῳ γὰρ πονηρᾷ καὶ ἀνιάτῳ πεσὼν καὶ διαρρεύσας ὅλος, ὡς ἐκ τῆς δυσωδίας μὴ δύνασθαί τινα πλησίον αὐτοῦ στῆναι, ἐξέψυξεν.

35. Ὁ δὲ ἅγιος Ἱλαρίων ἔχων μεθ' ἑαυτοῦ Ζαζάνουν τὸν μαθητὴν αὐτοῦ ἔπλευσε μετ' αὐτοῦ εἰς Βλάσσαν τῆς Σικελίας. Μὴ ἔχων οὖν πόθεν δώσῃ τὸ ναῦλον, ἐσκέπτετο τὸ Εὐαγγέλιον, ὃ ἐβάσταζε, πωλῆσαι καὶ δοῦναι τὸ ναῦλον· ἦν γὰρ αὐτὸς γράψας τὸ Εὐαγγέλιον ἐν τῇ νεότητι αὐτοῦ. Ταῦτα δὲ ἐν τῷ πελάγει τοῦ Ἀδρία πλεόντων αὐτῶν ἐβουλεύετο· ἀθρόως δὲ ὁ υἱὸς τοῦ ναυκλήρου πληγεὶς ὑπὸ Δαίμονος ἤρξατο κράζειν καὶ λέγειν· "Τί σοι καὶ ἡμῖν, Ἱλαρίων, δοῦλε τοῦ Θεοῦ; οὐδὲ εἰς τὸ πέλαγος ἰσχύειν ἡμᾶς συγχωρεῖς, ἀλλὰ καὶ τοῦτο διὰ τῆς ἐπιδημίας ἁγιάζων διώκεις ἡμᾶς; Συγχώρησον οὖν μοι μένειν ἐν τῷ νεανίσκῳ, ἕως οὗ εἰς γῆν φθάσωμεν, ἵνα μὴ ὧδε ἐκβληθεὶς ὑπὸ σοῦ κελευθῶ εἰς τὴν ἄβυσσον κατελθεῖν". Ἀποκριθεὶς δὲ ὁ γέρων λέγει τῷ πνεύματι τῷ ἀκαθάρτῳ· "Ἐάν σοι συγχωρήσῃ ὁ Θεός μου μένειν, μένε· εἰ δὲ αὐτός σοι προστάσσει ἐξελθεῖν ἐκ τοῦ νεανίσκου καὶ εἰς τὸν ἴδιόν σου τόπον καταστρέφεσθαι, τί ἐμοὶ τῷ ταπεινῷ καὶ ἁμαρτωλῷ ἀνθρώπῳ ταῦτα λαλεῖς καὶ φθόνῳ παρέχεις"; Ταῦτα δὲ ἔλεγεν ὁ γέρων διὰ τοὺς ναύτας καὶ τοὺς ἐπιβάτας, ἵνα μὴ φθασάντων αὐτῶν εἰς τὴν γῆν φανερὸν αὐτὸν τοῖς ἐκεῖ ποιήσαντες σκυλμὸν καὶ ὄχλησιν αὐτῷ παράσχωσι· μετὰ δὲ ὀλίγας ἡμέρας εὐξαμένου αὐτοῦ ἐκαθαρίσθη ὁ παῖς καὶ ἀπήτησεν αὐτοὺς λόγον, ἵνα μὴ φανερώσωσι τοῦτο εἰς τὸν τόπον, ἐν ᾧ καταπλέειν ἔμελλον.

36. Κατήντησαν δὲ εἰς Πάχυνον καλούμενον λιμένα τῆς Σικελίας· ὁ δὲ μακάριος ἐδίδου εἰς λόγον τοῦ ναύλου ὑπὲρ ἑαυτοῦ καὶ τοῦ ὄντος μετ' αὐτοῦ ἀδελφοῦ τὸ Εὐαγγέλιον· ὁ δὲ ναύκληρος ὁρῶν αὐτοὺς ἐκτὸς ὧν ἦσαν ἐνδεδυμένοι μηδὲν ἕτερον ἔχοντας, οὐκ ἤθελεν δέξασθαι, καίτοι ἀναγκάζοντος αὐτὸν τοῦ γέροντος λα-

7 εἰς Βλάσσαν] λατ. ascendit **classem, quae Siciliam navigabat.**

Digitized by Google

βεῖν τοῦτο· ὁ δὲ ναύκληρος ὅρκῳ αὐτῷ βεβαιώσας τοῦ μηδὲν καθόλου χάριν τούτου δέξασθαι παρ' αὐτοῦ, συγγνοὺς ὁ μακάριος ὅτι οὐ διὰ τὸ ἰαθῆναι τὸν υἱὸν αὐτοῦ, ἀλλὰ διὰ τὴν πενίαν συμπάσχων αὐτοῖς τοῦτο ἐποίει, ἐν τούτῳ οὖν ἠγαλλιᾶτο, ὅτι οὐδὲν τοῦ ματαίου κόσμου τούτου ὑπῆρχεν αὐτῷ· ὁρῶντες δὲ αὐτοὺς οὕτως εὐτελεῖς τῷ σχήματι οἱ ἐγχώριοι, ἔδοξαν προσαίτας αὐτοὺς εἶναι.

37. Παραθαλασσίας δὲ τῆς πόλεως οὔσης, δεδιώς, μήπως τινὲς τῶν γνωριζόντων αὐτὸν ἐμπόρων καταπλεύσαντες φανερὸν αὐτὸν τοῖς ἐκεῖ ποιήσωσιν, ἀναστὰς εἰς μεσόγαιον τόπον ἀπῆλθε, πορρωτέρω τῆς θαλάσσης διεστῶτα, καὶ καθ' ἑκάστην ἡμέραν συλλέγων ξύλα ἐποίει φορτίον καὶ ἀποφέρων ὁ μαθητὴς αὐτοῦ ἐπώλει αὐτὸ εἰς τὰ πλησίον κείμενα χωρία, κἀκεῖθεν εἶχον τὸν ἄρτον αὐτοί τε καὶ οἱ πρὸς αὐτοὺς παραγινόμενοι. Τούτῳ μὲν οὖν τῷ τρόπῳ κρύπτειν ἑαυτὸν τῷ κόσμῳ ὁ μακάριος ἤθελεν, ὁ δὲ Κύριος τοὺς δοξάζοντας αὐτὸν δοξάζων, πρὸς σωτηρίαν τῶν δεομένων δούλων αὐτοῦ, τὴν ἐπὶ τὸ ὄρος κειμένην πόλιν αὐτοῦ τοῖς πᾶσιν ἐφανέρωσεν· ἀληθεύει γὰρ λέγων, ὅτι "οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη". Σκουτάριος γάρ τις ἐν Ῥώμῃ, ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου Πέτρου, ὑπὸ πνεύματος ἀκαθάρτου πληγεὶς ἔκραζε λέγων· "Ἱλαρίων ὁ δοῦλος τοῦ Χριστοῦ πρὸ ὀλίγων ἡμερῶν ἀπὸ τῆς Ἀνατολῆς εἰς τὴν Σικελίαν ἐλθὼν κρύπτει ἑαυτόν, ὅσον οἴεται, τῶν ἐκεῖσε ἀγνοούντων αὐτόν· ἀλλ' ἐγὼ ἀπελθὼν φανερώσω αὐτόν". Εὐθέως οὖν εἰς πλοῖον ἐμβὰς μετὰ τῶν παίδων αὐτοῦ ἀπῆλθεν εἰς Πάχυνον, καὶ ἐξελθὼν ἀπὸ τοῦ πλοίου, τοῦ Δαίμονος ἐλαύνοντος αὐτόν, παραγίνεται εἰς τὸ σπήλαιον, ἐν ᾧ ἔμενεν ὁ μακάριος, καὶ ῥίψας ἑαυτὸν ἔμπροσθεν τῶν ποδῶν αὐτοῦ εὐθέως ἐκαθαρίσθη. Ταύτης δὲ τῆς ἀκοῆς εἰς ὅλην τὴν χώραν ἐκείνην διαδραμούσης, ἀναρίθμητα πλήθη εὐλαβῶν τε ἀνδρῶν καὶ ποικίλαις νόσοις ἀσθενούντων παρεγίνοντο πρὸς αὐτόν. Εἷς δέ τις πλούσιος καὶ πρῶτος τῶν ἐν τοῖς τόποις ἐκείνοις, ὑδρωπικὸς καὶ ὅλος ἐκ τοῦ πάθους τούτου καθ' ὑπερβολὴν ὠγκωμένος, προσέ-

16 τοὺς δοξάζ. αὐτὸν δοξάζων] Βασιλ. 1, β', 30. — 18/19 Ματθ. ε', 14.

Digitized by Google

πεσε τῷ ἁγίῳ, καὶ εὐξαμένου τοῦ ὁσίου ἐν αὐτῇ τῇ ἡμέρᾳ ὑγιὴς ἐγένετο· ἰαθεὶς δὲ ὁ ἀνὴρ προσήνεγκεν αὐτῷ δῶρα, ὁ δὲ μακάριος Ἱλαρίων λέγει αὐτῷ· "Γέγραπται ἡμῖν παρὰ τοῦ Κυρίου: δωρεὰν ἐλάβετε, δωρεὰν δότε". Καὶ ταῦτα εἰπὼν ἀπέλυσεν αὐτόν, μὴ δεξάμενός τι παρ' αὐτοῦ.

38. Τοῦ οὖν μακαριωτάτου Ἱλαρίωνος ἐν τῇ Σικελίᾳ ὄντος, ὁ τοῦ Χριστοῦ δοῦλος Ἡσύχιος, ὁ μαθητὴς αὐτοῦ, περιῆγεν εἰς πάντα τόπον ζητῶν αὐτόν, ἐξαιρέτως δὲ εἰς τοὺς παραθαλασσίους τόπους τοὺς ἐρήμους, εἰδὼς ὅτι εἰς ἀνυπόπτους τόπους ἔθος ἐστὶ τῷ γέροντι κρύπτειν ἑαυτόν. Εἶτα λογισάμενος, ὅτι ὅπου ἐὰν ᾖ, κἂν αὐτὸς μὴ βούλεται, πρὸς σωτηρίαν πολλῶν τοῦ Κυρίου φανεροῦντος αὐτόν, ἡ περὶ αὐτοῦ φήμη φθάνει πρὸς αὐτόν, πολλὰ κεκμηκὼς τὴν τοιαύτην προσδοκίαν ἐπαύσατο τοῦ ζητεῖν αὐτὸν ἔτι. Μετὰ οὖν τρία ἔτη ἤκουσέ τινος Ἰουδαίου ἐμπόρου λέγοντος· "Προφήτης μέγας τῶν χριστιανῶν ἐν τῇ Σικελίᾳ ἐφάνη, πολλὰ καὶ μεγάλα θαυμάσια ποιῶν, ὡς ἀκούοντά με νομίζειν, ὅτι εἷς ἐκ τῶν ἀρχαίων καὶ ἁγίων ἐστὶν ἀνδρῶν". Ἠρώτα οὖν αὐτὸν ὁ Ἡσύχιος, λέγων· "Ποταπός ἐστι τὴν ἡλικίαν καὶ τὴν ἰδέαν τοῦ προσώπου αὐτοῦ, καὶ ποίᾳ γλώσσῃ λαλεῖ, ὃν λέγεις"; Ἀποκριθεὶς δὲ ὁ ἄνθρωπος εἶπεν αὐτῷ· "Ταῦτα περὶ αὐτοῦ διηγουμένων [ἑτέρων] ἤκουσα, αὐτὸν δὲ κατὰ πρόσωπον οὐκ εἶδον". Ἀκούσας δὲ ταῦτα ὁ μακάριος Ἡσύχιος, εὐθέως εὑρὼν πλοῖον διαπερῶν τὸν Ἀδρίαν, ἐμβὰς εἰς αὐτὸ κατέπλευσεν εἰς Πάχυνον, καὶ ἀποβὰς τοῦ πλοίου περιῄει εἰς τοὺς παραθαλασσίους τόπους ζητῶν τὸν μακάριον· ἤκουσε δέ τινων πρὸς ἀλλήλους λαλούντων, ὅτι "Ποῖα σημεῖα ποιεῖ οὗτος ὁ ἅγιος καὶ οὐδὲν ὅλως παρά τινος δέξασθαι θέλει"! Ἐπύθετο δὲ παρ' αὐτῶν τὸ "Ποῦ διάγει, περὶ οὗ λέγετε"; Καὶ αὐτοὶ ὑπέδειξαν αὐτῷ τὸν τόπον. Ἐλθὼν οὖν καὶ ἰδὼν τὸν μακάριον ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ, καταφιλῶν καὶ τοῖς δάκρυσιν βρέχων αὐτούς. Μόλις οὖν ἴσχυσεν ἐγεῖραι αὐτὸν ἀπὸ τῆς γῆς, ἀμέτρως, καθ' ὑπερβολήν, ἀπὸ τῆς πολλῆς χαρᾶς κλαίοντα. Μετὰ δὲ τρεῖς ἡμέρας αὐτῷ καὶ τῷ Ζαζάνῳ ὡμίλησεν ὁ γέρων μόλις

4 Ματθ. ι', 8. — 20 προσέθηκα τὸ ἑτέρων.

Digitized by Google

λέγων μηκέτι δύνασθαι αὐτὸν [ἐν] τοῖς τόποις ἐκείνοις διάγειν, διὰ τὴν πολλὴν ὄχλησιν· ἀλλὰ δεῖ, φησίν, ἀπελθεῖν αὐτὸν ἐκεῖθεν εἰς τὴν γῆν τῶν Βαρβάρων, ὅπου οὐδεὶς οὔτε εἶδεν αὐτόν, οὔτε ἤκουσε περὶ αὐτοῦ.

39. Καὶ λάθρᾳ ἐξελθὼν ἐκεῖθεν μετ' αὐτῶν ἀπῆλθεν ἐπὶ τὴν Ἐπίδαυρον, πόλιν τῆς Δαλματίας, τοῦ Κυρίου ἐπὶ εὐεργεσίᾳ πολλῶν ὁδηγοῦντος αὐτὸν ἐκεῖ. Ὀλίγας οὖν ἡμέρας ἐν ἀγρῷ τινος ποιήσαντος αὐτοῦ, ἀκουστὸν γέγονε τοῖς ἐκεῖ, ὅτι ἐν Σικελίᾳ ὢν ὁ ἅγιος πρὸς αὐτοὺς παραγέγονε. Πάντες οὖν οἱ ἐν τοῖς τόποις ἐκείνοις ἐλθόντες πρὸς αὐτὸν ἐδέοντο αὐτοῦ βοηθῆσαι αὐτοῖς ἀπὸ τοῦ καταφθείροντος αὐτοὺς καὶ τὰ τετράποδα αὐτῶν λυμαινομένου ἐλευθερῶσαι αὐτούς· δράκων γὰρ ἦν ἐν τοῖς τόποις ἐκείνοις φοβερός, καὶ οὕτω καθ' ὑπερβολὴν μέγας, ὡς τοὺς ἐκεῖθεν βόας, μείζονας τῶν ἄλλων πατρίδων ὄντας, ὁλοκλήρους καὶ ζῶντας καταπίνειν, ὡσαύτως δὲ καὶ τὰ λοιπὰ τετράποδα πάντα· οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ τοὺς νέμοντας αὐτὰ τῇ χαλεπωτάτῃ συνολκῇ τοῦ θανατηφόρου πνεύματος αὐτοῦ σύρων πρὸς ἑαυτὸν κατέπινεν. Ἀκούσας δὲ ταῦτα ὁ ἅγιος ἐκέλευσεν αὐτοὺς ἐνέγκαι ξύλα καὶ μεγίστην πυρὰν ἀνάψαι· ταῦτα δὲ αὐτῶν ποιούντων, θεὶς τὰ γόνατα ὁ μακάριος ἐδεήθη τοῦ Κυρίου εὐσπλαγχνισθῆναι ἐπὶ τὸ ἴδιον πλάσμα καὶ διὰ τάχους εἰς δόξαν τοῦ ὀνόματος αὐτοῦ τῇ ἰδίᾳ δυνάμει ἀναλῶσαι τὸν λυμεῶνα τοῦτον δράκοντα· καὶ πάντων θεωρούντων παραγίνεται τὸ θηρίον, καὶ καλεύσαντος τοῦ ἁγίου εἰσῆλθεν εἰς τὸ πῦρ καὶ παραχρῆμα κατεκάη. Πάντες οὖν ὡς ἐξ ἑνὸς στόματος ἔδωκαν δόξαν τῷ Θεῷ, καὶ καλοῦντες τὸν ἅγιον σωτῆρα τῆς πατρίδος αὐτῶν, προσπίπτοντες εὐχαρίστουν αὐτῷ. Πολλῶν οὖν λοιπὸν καὶ ἐκ τῆς χώρας ἐκείνης ἐρχομένων πρὸς αὐτόν, ἐσκέπτετο κατὰ τὴν διάνοιαν ὁ γέρων ποίους τοιούτους ἀοικήτους τόπους, ἐπιτρέποντας αὐτῷ ἡσυχάζειν, εὑρεῖν δύναται· ὅπου γὰρ εἰ συνέβη αὐτὸν παριόντα καταντῆσαι, ἐκ τοῦ προσώπου οἱ ὁρῶντες αὐτὸν ἐπεγίνωσκον, ὅτι τοῦ Θεοῦ ἄνθρωπός ἐστι, καὶ πάντες ἔτρεχον πρὸς αὐτόν, τοιαύτην χάριν τοῦ Κυρίου δόντος αὐτῷ.

Digitized by Google

40. Ταῦτα δὲ αὐτοῦ σκεπτομένου, συνέβη τοιοῦτον σεισμὸν καὶ σάλον κατὰ πᾶσαν τὴν γῆν γενέσθαι, ὡς τὴν ἐν τοῖς τόποις ἐκείνοις θάλασσαν βρασσομένην καὶ ἐκ τῶν ὅρων αὐτῆς ἐξελθοῦσαν χάος μὲν φοβερὸν καὶ φρικτὸν δεῖξαι, ἀφ' ὧν ἐξῆλθε τόπων, καὶ πάντα τὰ πλοῖα τὰ ἐν αὐτῇ, καθ' ὃν ἂν εὑρέθη τόπον, ἐπὶ κρημνούς τε καὶ φάραγγας καὶ ἀκτὰς καὶ τὰς ἀκρωρείας τῇ βίᾳ τοῦ πνεύματος ἀπορριφέντα ἐπ' αὐτῶν μένειν τῶν τόπων συντριβέντα. Ὁρῶντες δὲ οἱ ἐκ τῆς Ἐπιδαύρου πόλεως καὶ πάντες οἱ κατοικοῦντες τὴν γῆν ἐκείνην μαινομένην τὴν θάλασσαν, ὡς ἐκ τῆς βίας τῶν κυμάτων τὰ ὄρη καὶ πᾶσαν τὴν γῆν αὐτῶν καλύπτεσθαι, δεύτερον οὖν τοῦτον κατακλυσμὸν δόξαντες εἶναι καὶ πᾶσαν τὴν γῆν κατακλυσθεῖσαν καταστραφῆναι προσδοκῶντες, τῆς ἑαυτῶν ζωῆς ἀπεγνωκότες καὶ δεδιότες, μήπως ἀπὸ θεμελίων ἀνατραπεῖσα ἡ ἤπειρος ὑποβρυχίους αὐτοὺς πάντας ποιήσῃ, ὁμοθυμαδὸν πάντες σὺν γυναιξὶ καὶ νηπίοις τὸν οἰκεῖον ὀδυρόμενοι θάνατον πρὸς τὸν ἅγιον Ἱλαρίωνα ἔτρεχον, βοῶντες ἐλεῆσαι αὐτούς, ὁρῶντας τὸν ἐπηρτημένον αὐτοῖς φρικτὸν καὶ βίαιον ἐκεῖνον θάνατον τῇ τοῦ Κυρίου δυνάμει παραγενόμενον ἐπαμῦναι αὐτοῖς καὶ παρ' ἐλπίδας ὡς ἑαυτοὺς ἐθνηδὸν σὺν τῇ πατρίδι αὐτῶν ἀπολλυμένους· "Τῆς γὰρ ἡμῶν", φασίν, "ἕνεκεν ἀντιλήψεως ἴσμεν τὴν φιλάνθρωπον τοῦ Θεοῦ χάριν ἐνταῦθά σε ὁδηγήσασαν". Γονυπετοῦντες οὖν αὐτόν, τὴν πανοπλίαν τοῦ Θεοῦ ἐνδεδυμένον, ὥσπερ εἰς πολέμου ἀντιπαράταξιν πρὸς τὴν φοβερὰν καὶ βιαίαν ὁρμὴν τῆς θαλάσσης ἀντιμαχήσασθαι τὸν ἅγιον ἤγαγον εἰς τὸν αἰγιαλὸν καὶ κατὰ τοῦ ἀνυποστάτου ταύτης ὁρμήματος ἔστησαν· ὁ δὲ ἅγιος τῇ τοῦ Κυρίου φωνῇ ἀδιστάκτῳ τῇ πίστει ἐπερειδόμενος, τῇ λεγούσῃ, ὅτι "Ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει Μετάβηθι καὶ μεταβαίνει", καὶ ὅτι "πάντα τῷ πιστεύοντι δυνατά", ἐποίησεν ἐξ ἐναντίας ὁρμῆς τῆς θαλάσσης ἐκ διαστημάτων ἐπὶ τῆς ἄμμου ἐν τρισὶ τόποις τὸ σημεῖον τοῦ σταυροῦ, καὶ στὰς κατ' ἀνατολὰς ἐξέτεινε τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανόν, δεόμενος τοῦ Θεοῦ κοπάσαι τὴν ὀργὴν καὶ ἵλεων γενέσθαι τῷ πλά-

27/28 Ματθ. ιζ', 20. — 28 Μάρκ. θ', 23.

Digitized by Google

σματι αὐτοῦ, ἐπιτιμήσαντα τῇ θαλάσσῃ καὶ τὴν φοβερὰν ταύτην ὁρμὴν τῷ προστάγματι τῆς δυνάμεως αὐτοῦ τοῖς οἰκείοις τόποις ἀποκαταστήσαντα εἰς ἥμερον γαλήνην διὰ τάχους ταύτην μεταβαλεῖν. Εὐχομένου δὲ αὐτοῦ, εἰς τοσοῦτον ὕψος φρικτῶς βρασσομένη ἡ θάλασσα ἐπήρθη, ὡς πάντα λόγον ἀνθρώπινον τὴν φοβερὰν τοῦ Κυρίου ἐκείνην δύναμιν διηγήσασθαι μὴ ἰσχύειν· θάμβει γὰρ ἀχανεῖ κατεχόμενοι πάντες οἱ ὁρῶντες ἔδοξαν παραυτίκα πᾶσαν τὴν οἰκουμένην καλυφθεῖσαν ἀπολέσθαι. Ἡ μὲν οὖν θάλασσα μέχρι τοῦ ἀέρος ἐξαισίως ὑψουμένη ὥρμα κατὰ τῆς ξηρᾶς, τῇ δὲ ταύτης ἀπειλῇ ἀντιπαραταssομένη ἡ δέησις τοῦ ἁγίου οὐ μόνον τὸν αἰθέρα, ἀλλὰ καὶ πάντας τοὺς οὐρανοὺς διαβᾶσα πρὸς τὸν Κύριον ἔφθασεν, ἵλεων καὶ εὐμενῆ γενέσθαι τῷ πλάσματι αὐτοῦ πρεσβεύσασα, καὶ οὕτως ἥμερον τῆς τοῦ Θεοῦ φιλανθρωπίας παραυτίκα ἐπιλαμψάσης, κατ' ὀλίγον εἰς τὰ ὀπίσω ὑποστελλομένη ἡ θάλασσα τῷ προστάγματι τοῦ Κυρίου εἰς τοὺς ἑαυτῆς ὅρους πάλιν ἀποκατέστη. Ταύτην τὴν φοβερὰν τοῦ Κυρίου δύναμιν καὶ τὰς ὁσίας εὐχὰς τοῦ δούλου τοῦ Θεοῦ Ἱλαρίωνος ἐν Ἐπιδαύρῳ τῇ πόλει καὶ πάσῃ τῇ χώρᾳ ἐκείνῃ πατέρες τοῖς τέκνοις κατὰ γενεὰν καὶ γενεὰν μέχρι σήμερον ἀναγγέλλουσιν, ὅτι τοῖς μὲν ἁγίοις ἀποστόλοις αὐτοῦ εἶπεν ὁ σωτήρ, ὅτι "Ἐὰν ἔχητε πίστιν, ἐρεῖτε τῷ ὄρει Μετάβηθι εἰς τὴν θάλασσαν", ἐνταῦθα δὲ τὸ παραδοξότερον εἰργάσατο, τὴν ἀπειλοῦσαν τὰ ἀμέτρητα ὄρη καλύπτειν θάλασσαν ἔμπροσθεν μὲν τῶν τοῦ γέροντος ποδῶν κατὰ τὸν τύπον τῆς Ἐρυθρᾶς Θαλάσσης πήξας [ὡς] λίθον, εἰς τὰ ὀπίσω δὲ ἀνακάμπτειν ἁπαλῶς ῥέουσαν προστάξας, τοῖς οἰκείοις ὅροις περιετείχισε.

41. Τῆς δὲ παραδόξου ταύτης τοῦ Κυρίου δυνάμεως μέχρις Ἀλώνης καὶ ἐπέκεινα κηρυσσομένης, ὁ ἅγιος ἀπάρας ἐκεῖθεν διὰ τῆς νυκτὸς ἦλθεν εἰς Βρεβίλιμβον, ἐμπόριον τῆς Δαλματίας, καὶ εὑρὼν ἐκεῖ πλοῖον εἰς Κύπρον πλέον ἐνέβη εἰς αὐτό. Πλεόντων δὲ αὐτῶν καὶ περὶ τὸν αἰγιαλὸν τοῦ Μαλεοῦ φθασάντων, ὑφάλου

20/21 Ματθ. ιζ', 20. — 26 κῶδ. *περιετοίχησε*. — 28 Ἀλώνης = Salonis. — 29 διὰ τῆς νυκτὸς ἦλθεν εἰς Βρεβίλιμβον = in brevi lembo clam nocte fugit·

*

καὶ στενῆς τῆς τοῦ πλοίου διαβάσεως οὔσης, μὴ δυνάμενοι κώπαις χρήσασθαι, ἠναγκάζοντο κοντοῖς τὸ πλοῖον διωθούμενοι μετὰ πολλοῦ δέους τὸν τόπον διανήχεσθαι· πειραταὶ δὲ ὄντες ἐκεῖ καὶ προσιδόντες αὐτοὺς ἐρχομένους ἐπῆλθον αὐτοῖς· ἐγένετο δὲ θόρυβος ἐν τῷ πλοίῳ, καὶ κλαίοντες οἱ ναῦται ἤρξαντο κατὰ τὸ εἰωθὸς αὐτοῖς ἑτοιμάζειν ἑαυτοὺς πρὸς ἀντίστασιν τούτων. Κατάφοβοι δὲ γενόμενοι οἱ μαθηταὶ αὐτοῦ, εἶπον τῷ μακαρίῳ περὶ αὐτῶν. Ἰδὼν δὲ αὐτοὺς ὁ ἅγιος ἐμειδίασε, καὶ στραφεὶς λέγει τοῖς ἑαυτοῦ μαθηταῖς· "Τί θορυβεῖσθε, ὀλιγόπιστοι; μὴ περισσότεροι οὗτοί εἰσιν τῆς τοῦ Φαραὼ στρατιᾶς, οἵτινες τῇ τοῦ Κυρίου δυνάμει κατεποντίσθησαν"; Λέγοντος δὲ αὐτοῦ ταῦτα, ἐκεῖνοι ἀπηνεῖ καὶ φονώδει ὁρμῇ ἐχώρουν κατ' αὐτῶν· λαβὼν δὲ ὁ ἅγιος λίθον καὶ μέσον τοῦ αὐτῶν πλοίου καὶ τῶν πειρατῶν εἰς τὴν θάλασσαν ῥίψας ἐπετίμησεν αὐτοῖς λέγων· "Ἱκανούσθω ὑμῖν μέχρι τούτου ἐλθόντας στῆναι". Βιαζομένων δὲ αὐτῶν προσελθεῖν τῷ πλοίῳ, εἰς τὰ ὀπίσω τὰ σκάφη αὐτῶν πολλῷ πλέον ὑπεχώρει. ἐθαύμαζον δὲ οἱ πειραταί, ὅτι διὰ τοσούτων ὡρῶν καὶ τοσούτου καμάτου μόλις πρὸς αὐτοὺς φθάσαντες ἀθρόως ἐν ῥιπῇ εἰς τὸν αἰγιαλὸν ἐξερρίφησαν.

42. Ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα ὡς πρὸς τὴν τοῦ ὁσίου ἐκείνου ἀνδρὸς πίστιν, βραχέα ὄντα, παρέντες, τὸ τούτων πολὺ θαυμαστότερον διηγούμεθα. Ἐκεῖθεν γὰρ ἐρχομένων ἡμῶν καὶ τὰς Κυκλάδας νήσους παραπλεόντων, τὰ ἐν ταῖς πόλεσι καὶ χώραις ἐκείναις ἀκάθαρτα πνεύματα τῇ τοῦ ἁγίου παρόδῳ βασανιζόμενα, συνελθόντα πάντα ἀπὸ τῶν αἰγιαλῶν, ἤρξαντο ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων τοῦ πλοίου κράζειν, λέγοντα· "Τί ἡμῖν καὶ σοί, δοῦλε τοῦ Θεοῦ Ἱλαρίων; τί ἡμᾶς ἐν τοῖς ἡμετέροις ἐλθὼν τόποις βασανίζεις"; Παρελθόντες δὲ τὰς Κυκλάδας νήσους ἀπήλθομεν εἰς Πάφον, πόλιν τῆς Κύπρου, ἥντινα διὰ τὰς γενομένας τὸ πρότερον ἀνομίας ἐν αὐτῇ ὁ Κύριος σεισμῷ κατέστρεψεν αὐτήν. Ἰδὼν δὲ ὁ γέρων ὥσπερ ἔρημον τὸν τόπον ἀπὸ δύο μιλίων τῆς πόλεως ἐκάθισε χαίρων, ὅτι ἐν ὀλίγαις ἡμέραις ἡσύχως ἀπὸ τῶν

3 πειραταὶ] ἐν τῇ ὤᾳ· *καταποντισταί, κατὰ θάλασσαν λησταί.*

Digitized by Google

ὀχλούντων αὐτῷ συνήθως διῆγεν. Ἡμερῶν δὲ εἴκοσι διελθουσῶν, συνήχθησαν πάντες οἱ ἐν ὅλῃ τῇ νήσῳ ἐκείνῃ ἔχοντες πνεύματα ἀκάθαρτα, κράζοντες· "Ἱλαρίων ὁ δοῦλος τοῦ Θεοῦ ἦλθεν ἐνταῦθα, καὶ δεῖ ἡμᾶς πρὸς αὐτὸν ἀπελθεῖν". Καὶ ταῦτα λέγοντες ἔτρεχον πρὸς αὐτόν. Ἐν πάσαις οὖν ταῖς πόλεσιν τῆς Κύπρου τὰ ἀκάθαρτα πνεύματα βοῶντα τὴν τούτου παρουσίαν τοῖς ἀγνοοῦσιν κατήγγελλον· ἀγανακτῶν δὲ κατὰ τῶν ἀκαθάρτων πνευμάτων ὁ ἅγιος, ὅτι θλῖψαι αὐτὸν θέλοντα τοῦτο ἐποίουν, εὐτονωτέρᾳ τοίνυν εὐχῇ καὶ νηστείᾳ κατ' αὐτῶν ὁπλιζόμενος καὶ τῇ τοῦ Κυρίου δυνάμει οὕτως αὐτὰ ἐμάστιζεν, ὡς μὴ φέροντα τὴν διὰ τῶν ἁγίων αὐτοῦ εὐχῶν ἐπερχομένην αὐτοῖς καῦσιν φυγεῖν καὶ ἐν μιᾷ ἑβδομάδι πάντας τοὺς ὑπὸ τούτων ὀχλουμένους καθαρισθῆναι.

43. Ποιήσας δὲ ἐκεῖ ἔτη δύο ἐσκέπτετο ἐκεῖθεν εἰς τὰ ἐν Αἰγύπτῳ λεγόμενα Βουκόλια ἀπελθεῖν, διὰ τὸ τοὺς ἐκεῖ κατοικοῦντας ἀπίστους εἶναι καὶ μὴ τιμᾶν τοὺς χριστιανούς, ἵνα ἐκεῖ ἰδιάσῃ, καθὼς βούλεται. Ταῦτα ἐνθυμούμενος ἐξῆλθε καὶ περιῆγε τοὺς ἐρήμους τόπους τῆς νήσου ἐκείνης, καταμανθάνων εἴπως εὑρὼν οἷον βούλεται τόπον ἐν τῇ Κύπρῳ ἡσυχάσει. Ἀπελθὼν δὲ ὡς ἀπὸ δέκα μιλίων τῆς θαλάσσης εἰς ἀπόκρυφον καὶ πάνυ δύσβατον τόπον, εὗρεν ὄρος ὑψηλὸν καὶ φοβερόν. Ταῖς οὖν χερσὶ καὶ τοῖς ποσὶν ἐρειδόμενος, μόλις ἴσχυσεν ἀνελθεῖν εἰς αὐτό· εἶχεν δὲ δένδρα πέριξ ὁ τόπος καὶ ὕδατα ἀπὸ τῆς κορυφῆς τοῦ ὄρους καταβαίνοντα εἰς αὐτόν, καὶ κῆπον πάνυ τερπνόν, παντοδαπὰ δένδρα ὀπωρικὰ ἔχοντα· ἦν δὲ πλησίον τοῦ κήπου ναὸς κατεστραμμένος, ἐν ᾧ ἀναρίθμητα Δαιμόνια κατῴκει. Τερφθεὶς δὲ διὰ τὴν πολλὴν τοῦ τόπου ἐρημίαν ἔμεινε πέντε ἔτη ἐν αὐτῷ. Οἱ οὖν Δαίμονες, ὡς καταπτήσσοντες τὸν ἅγιον, ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ δίκην παρεμβολῆς πολέμου ἀλαλάζοντες οὐκ ἐπαύοντο· ἐτέρπετο δὲ ὁ γέρων πρὸς τούτους παρατασσόμενος· ἔχαιρεν δὲ καὶ ὁ μακάριος Ἡσύχιος, ὅτι κἂν πρὸ τῆς τελευτῆς αὐτοῦ ὁ γέρων, οἷον ἤθελε τόπον, εὗρε· διὰ γὰρ τὸ τραχὺ καὶ δύσβατον τοῦ τόπου καὶ διὰ τὸ τῶν Δαιμόνων πλῆθος οὐδεὶς ἐτόλμα ἀπελθεῖν

16 κωδ. ἰδιάσει. — 21 αὐτόν. — 31 εὑρών.

καὶ ὀχλῆσαι αὐτῷ. Ἐν μιᾷ οὖν ἡμέρᾳ ἐξερχόμενος τοῦ κήπου ὁ γέρων, εἶδεν πρὸς τῇ ἐξόδῳ τοῦ κήπου ἄνθρωπον παραλυτικὸν κείμενον. Ἠρώτα οὖν τὸν Ἡσύχιον τίς ἐστι καὶ πῶς ἠνέχθη ἐκεῖ· ὁ δὲ ἔφη τοῦ ἐπιτρόπου εἶναι αὐτόν, οὗ διαφέρει ὁ τόπος καὶ ὁ κῆπος, ἐν ᾧ κατοικοῦμεν. Δακρύσας οὖν ὁ ἅγιος καὶ ἐκτείνας τὰς χεῖρας λέγει αὐτῷ· "Ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔγειρε καὶ περιπάτει"· συνέδραμε δὲ τῷ τοῦ ἁγίου ῥήματι ἡ τοῦ Κυρίου χάρις καὶ τὰ παραλελυμένα τούτου μέλη διώρθωσε, καὶ ἀναστὰς περιεπάτει δοξάζων τὸν Θεόν. Τούτου δὲ γενομένου, πάντες λοιπὸν καὶ τῆς τῶν Δαιμόνων ἐπιβουλῆς καὶ δυσκολίας τοῦ τόπου καταφρονήσαντες, προθύμως ἔτρεχον πρὸς αὐτόν. Μνησθεὶς δὲ ὁ ἅγιος τῶν ἐν τῇ Παλαιστίνῃ ἀδελφῶν, ἀπέστειλε τὸν μακάριον Ἡσύχιον ἐπισκέψασθαι αὐτοὺς καὶ προσαγορεῦσαι πάντας· αὐτὸς δὲ ὁ γέρων, ὡς εἶδεν ἑαυτὸν τιμώμενον καὶ ἐκεῖ ὑπὸ πάντων καὶ παρὰ τῶν καμνόντων ὀχλούμενον, καὶ αὐτόθεν φυγεῖν σκεπτόμενος, ἔμενε τὴν τοῦ ἁγίου Ἡσυχίου ἐπάνοδον [ἀναμένων]. Θέλων δὲ ἀβαρῆ ἑαυτὸν πᾶσι φυλάσσειν καὶ μηδὲ ἄρτον παρά τινος δέχεσθαι βουλόμενος, ἔσπειρε κριθὰς καὶ ἐκεῖθεν ποιῶν τὸν ἄρτον τὸν ἑαυτοῦ ἔχαιρεν.

44. Ἦν δὲ τότε ὁ ἅγιος ὀγδοήκοντα ἐτῶν. Χρονίζοντος δὲ τοῦ ἁγίου Ἡσυχίου ἐν τῇ Παλαιστίνῃ, αἰσθόμενος ἑαυτὸν μέλλοντα τοῦ βίου τούτου ἐκδημεῖν, ὥσπερ διαθήκην ἰδιόχειρον γράψας ἐπὶ τῇ τῶν ἀδελφῶν παρουσίᾳ, κατέλειψε τῷ μακαρίῳ Ἡσυχίῳ τὸ ἅγιον Εὐαγγέλιον καὶ παλλίον καὶ στιχάριον τρίχινον καὶ κουκούλλιον· ταῦτα γὰρ ἦν τὰ ὑπάρχοντα αὐτῷ, καὶ διὰ τοῦτο μόνῳ τῷ μακαρίῳ Ἡσυχίῳ κληρονόμῳ ἐχρήσατο, ἐπειδὴ ὁ ὑπηρετῶν αὐτῷ, ὁ μακάριος Ζαζάνους, πρὸ ὀλίγων ἡμερῶν ἦν κοιμηθείς. Μετὰ δὲ τὸ ποιῆσαι αὐτὸν τοῦτο, εὐθέως ἀνωμάλισεν ὁ ἅγιος. Ἀκούσαντες δὲ οἱ ἐκ τῆς Πάφου ἀδελφοὶ παρεγένοντο πρὸς αὐτόν, ἄνδρες εὐλαβεῖς, καὶ ἤκουσαν αὐτοῦ λέγοντος· "Λοιπὸν τοῦ δεσμοῦ τῆς σαρκὸς ἀπολυόμενος, ἀδελφοί, πορεύομαι πρὸς τὸν Κύριον". Ἦλθεν δὲ Κωνσταντία γυνὴ εὐλαβεστάτη, ἧς τὴν θυγατέρα καὶ τὸν γαμβρόν, μέλλοντας τελευτᾶν, ἀλείψας ἐλαίῳ ἁγίῳ ἀνέστησεν. Ἰδὼν

Digitized by Google

δὲ ἑαυτὸν ὁ ἅγιος καλούμενον ὑπὸ τοῦ Κυρίου, ἠξίωσεν αὐτούς, ἵνα, ἐκδημήσαντος αὐτοῦ ἐκ τοῦ σώματος, κατ' αὐτὴν τὴν ὥραν θάψωσιν αὐτὸν εἰς τὸν κῆπον ἐν τῇ γῇ, μηδὲ στιγμὴν ὥρας μετὰ τὸν θάνατον τηρήσαντες· "ἀλλά", φησίν, "αὐτά, ἃ ἐνδέδυμαι, μετ' αὐτῶν θάψατέ με, μήτε προσθέντες τι, μήτε ἀλλάξαντες"· ἦν δὲ φορῶν στιχάριον καὶ παλλίον τρίχινα καὶ κουκούλλιον· τοῦτο γὰρ εἶχε τὸ ἔνδυμα ὁ μακάριος, ἀφ' οὗ ἀπετάξατο.

45. Μέλλων δὲ ἐκλείπειν ὁ μακάριος, νήφων ἐν σεμνῇ καταστάσει ἔλεγεν· "Ἐκπορεύου, ψυχή· τί φοβῇ; Ἔξελθε· τί διστάζεις; Ἑβδομήκοντα ἔτη ἐδούλευσας τῷ Χριστῷ καὶ θάνατον φοβῇ; Χριστός σε καλεῖ· πορεύου χαίρουσα πρὸς αὐτόν". Καὶ εἰπὼν ταῦτα ὁ ἅγιος, καὶ σφραγισάμενος ἑαυτόν, ἐτελειώθη· εὐθέως δὲ οἱ ἀδελφοί, κατὰ τὰς ἐντολὰς αὐτοῦ, ἔθαψαν αὐτόν, ἐν ᾧ προσέταξε τόπῳ, καὶ μετὰ ταῦτα ἐδήλωσαν ἐν τῇ πόλει, ὅτι ὁ ἅγιος Ἱλαρίων κεκοίμηται.

46. Ἀκούσας δὲ ὁ μακάριος Ἡσύχιος ἐν τῇ Παλαιστίνῃ περὶ τῆς κοιμήσεως τοῦ ἁγίου Ἱλαρίωνος, εὐθέως παρεγένετο εἰς τὴν Κύπρον· τὸ δὲ λείψανον τοῦ ἁγίου μετὰ πολλῆς ἀσφαλείας παραμένοντες οἱ Κύπριοι ἐφύλασσον, δεδιότες μήπως κλέψωσιν αὐτὸν οἱ ἀπὸ τῆς Παλαιστίνης παραγινόμενοι μαθηταὶ αὐτοῦ. Ὁ δὲ ἅγιος Ἡσύχιος τοῦτο ποιῆσαι ἀγωνιζόμενος, καὶ ὁρῶν τὴν αὐστηρὰν τῶν φυλασσόντων αὐτὸν παραμονήν, εὔλογον ἀφορμὴν σοφισάμενος τὸ ἐν τῷ τόπῳ ἐκείνῳ ἕως τέλους κατοικεῖν, [ὡς] καὶ διὰ ταύτην τὴν ἀφορμὴν ἐκκόψαι τὴν ὑποψίαν δυνηθῇ, τοίνυν ἐν τῷ κήπῳ, ὅπου ἔκειτο ὁ μακάριος, ἐκεῖ ἔμενεν καὶ τὸν κανόνα τῶν νυκτερινῶν προσευχῶν ἐκεῖ ἐπετέλει, καὶ οὕτω δεκαμηνιαίου χρόνου διελθόντος καὶ μηκέτι τῶν φυλασσόντων αὐτὸν τὴν τοιαύτην ἐπιβουλὴν εἰς αὐτὸν ὑποπτευόντων, ἐδυνήθη, εὔκαιρον νύκτα ἐπιτηρήσας, μετὰ ἀγῶνος καὶ φόβου πολλοῦ κλέψαι τὸ λείψανον τοῦ ἁγίου καὶ ἀπενέγκαι, εἰς δόξαν τῆς Παλαιστίνης πάσης, εἰς τὸν Μαϊουμᾶν, ὅπου εἶχεν τὸ μοναστήριον ὁ μακάριος. Ἀκούσαντες δὲ οἱ ἀδελφοὶ ἐμήνυσαν εἰς τὰς πόλεις τῆς Παλαιστίνης καὶ εἰς τὴν χώραν, καὶ συνήχθησαν πάντες, τῶν τε ἐπαρχιῶν καὶ πόλεων

Digitized by Google

ἀναρίθμητα πλήθη, καὶ ἰδόντες τὸ λείψανον τοῦ μακαρίου ὁλόκληρον, μὴ φθαρὲν ὅλως, καὶ τὸ πρόσωπον αὐτοῦ φαιδρὸν καὶ τὰ ἐνδύματα αὐτοῦ ὁλόκληρα, καὶ θείας τινὸς εὐωδίας ἦν τὸ σῶμα αὐτοῦ πεπληρωμένον· ἰδόντες δὲ αὐτὸν πάντες καὶ τῆς τοιαύτης ἐπιθυμίας πλουσίως ἀπολαύσαντες, μετὰ πολλῆς εὐφροσύνης ψάλλοντες καὶ δοξάζοντες τὸν Θεὸν ἀπήνεγκαν αὐτὸ καὶ κατέθεντο εἰς τὸ ἀρχαῖον μοναστήριον.

47. Δίκαιον δὲ ἡγοῦμαι καὶ τῆς μακαρίας δούλης τοῦ Χριστοῦ Κωνσταντίας, ἥνπερ εἰς τὸν ἅγιον τοῦ Θεοῦ θεράποντα Ἱλαρίωνα ἔσχε σπουδὴν πᾶσι γνωρίσαι τοῖς ὁμόφροσιν· αὕτη γὰρ ἡ ἁγία παρὰ πάντας τοὺς ἐν τῇ Κύπρῳ τιμῶσα καὶ σεβομένη περιόντα τὸν ἅγιον, καὶ τελειωθέντος αὐτοῦ μὴ ἀφισταμένη τοῦ μνήματος αὐτοῦ, ἀλλὰ ἐνδελεχῶς παραμένουσα κἀκεῖ ἀδιαλείπτως προσευχομένη καὶ τελειότητι πίστεως ὡς ζῶντι ἐν σώματι ὁμιλοῦσα τῷ ὁσίῳ καὶ ἀξιοῦσα πρεσβεύειν ὑπὲρ αὐτῆς, γνοῦσα ὅτι κλαπὲν τὸ σῶμα αὐτοῦ ἀπηνέχθη ἐν τῇ Παλαιστίνῃ, ἀπέψυξε· καὶ τοιοῦτος ζῆλος καὶ πόθος ἦν ἐν αὐτῇ πρὸς τὸν ἅγιον, ὥστε ἅμα τῷ μαθεῖν αὐτὴν περὶ τοῦ κλαπέντος τοῦ ἁγίου σώματος παραχρῆμα ἐξέπνευσεν καὶ διὰ τοῦ θανάτου αὐτῆς ἐβεβαίωσε τὸν πόθον, ὃν εἶχε πρὸς αὐτόν. Καὶ τούτοις τοῖς προτερήμασι μέχρι σήμερον Κύπριοι καὶ Παλαιστινοὶ τῇ πνευματικῇ συγγενείᾳ ἐναβρύνονται, οἱ μὲν τὸ σῶμα τοῦ ὁσίου Ἱλαρίωνος, οἱ δὲ τὸ πνεῦμα ἔχειν λέγοντες· ἐν ἀμφοτέροις γὰρ τοῖς τόποις ταῖς τοῦ μακαρίου ἐκείνου πρεσβείαις ἰάσεις καὶ σημεῖα μέχρι σήμερον γίνονται, πολλῷ δὲ πλέον εἰς τὸν κῆπον, ὅπου τελειωθεὶς ἐτέθη ὁ ἅγιος· πάντων γὰρ μᾶλλον τῶν τόπων, ἐν οἷς γέγονε, τοῦτον ἠγάπησεν. Τῷ δὲ Θεῷ ἡμῶν δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Digitized by Google

VII.

ΜΗΝΙ ΜΑΡΤΙΩΙ ΙΑ΄.

Τοῦ σοφωτάτου καὶ λογιωτάτου ἐν μοναχοῖς κυροῦ

ΙΩΑΝΝΟΥ τοῦ ΖΩΝΑΡΑ

ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΣΩΦΡΟΝΙΟΝ ΠΑΤΡΙΑΡΧΗΝ ΙΕΡΟΣΟΛΥΜΩΝ.

(Cod. 547 monasterii Βατοπεδίου, f. 298a - 309a) [1].

Εὐλόγησον, πάτερ.

1. Οἱ τοῖς θείοις καὶ μακαρίοις πατράσι συγγράφοντες τὰ ἐγκώμια, οὐ κλέος ἐκείνοις περιποιούμενοι, πονοῦσι περὶ τὴν συγγραφήν· τίς γὰρ ἂν γένοιτο πρὸς ἀνθρώπων δόξα τοῖς τὴν ἀνωτάτω καὶ θείαν κληρωσαμένοις τιμήν, τὴν μόνιμον καὶ μὴ μετα-

[1] Ὁ τῆς μονῆς τοῦ Βατοπεδίου 547-ος κῶδιξ, ἐξ οὗ τὸ κείμενον ἐλήφθη τοῦ βίου τοῦ ἁγίου Σωφρονίου, ἐγράφη ἔτει 1422-ῳ, καθὰ δηλοῖ τὸ ἐν τῷ ἐσχάτῳ ἐκείνου φύλλῳ σημείωμα, οὕτως ἔχον· «Ἐτελειώθη τὸ παρὸν βιβλίον ἐν ἔτει ͵ϛωϡωλω μηνὶ ἀπριλλίω τῆς ιε-ης ἰνδ. καὶ οἱ ἐντυγχάνοντες τούτω εὔχεσθε τῶ γράψαντι Γρηγορίω, τῶ ἐν μοναχοῖς ἐλαχίστω». Τὸ αὐτὸ κείμενον ὑπάρχει καὶ ἐν τῷ 84-ῳ κώδικι τῆς μονῆς Φιλοθέου, φύλλ. 225 - 235, ἔνθα ἡ ἐπιγραφὴ οὕτως ἔχει· «Ἰωάννου μοναχοῦ τοῦ Ζωναρᾶ ὑπόμνημα» κτλ. Οὗτος δὲ ὁ κῶδιξ ἐγράφη τῇ ιδ΄ καὶ οὐχὶ τῇ ιε΄ ἑκατονταετηρίδι [Σ. Π. Λάμπρου, Κατάλογος τῶν ἐν ταῖς βιβλιοθήκαις τοῦ Ἁγίου Ὄρους ἑλληνικῶν κωδίκων. Τόμος 1-ος. Ἐν Κανταβριγίᾳ 1895, σ. 157]. Τὸ ἐν τῷ κώδικι τοῦ Φιλοθέου κείμενον ἐπήγασεν ἀμέσως ἐξ ἑτέρου τινὸς μεμβρανίνου κώδικος τῆς ιγ΄ ἑκατ., εὑρισκομένου ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Ἀθανασίου τοῦ Ἀθωνίτου· οὗτος δὲ ὁ κῶδιξ οὕτως ὅμοιος ἦν τῷ τῆς μονῆς τοῦ Φιλοθέου, ὥστε καὶ αὐτὰ αὐτοῦ περιεῖχε τὰ γραφικὰ σφάλματα, ἅπερ ὕστερον ὑπό τινος τῶν ἀναγνωστῶν ἀποξεσθέντα διωρθώθη. Τὸν πρῶτον κώδικα ὀνομάζω Α, τὸν ἕτερον Β, τὸν δὲ λαυριωτικὸν Γ.

Digitized by Google

πίπτουσαν; τίς δὲ λόγος ἐκείνοις τῆς κάτω ταύτης δόξης καὶ τῶν κρότων τῶν χαμερπῶν, οἷς ἅπαν διέπτυσται τὸ χαμαίζηλον καὶ οἷς αὖρα καὶ κόνις λελόγισται τὰ κάτω ταῦτα καὶ ῥέοντα; Οὐκ ἐκείνοις τοίνυν κυδαίνοντες οἱ ἐγκωμιασταί, τοῖς δ' ἐντυγχάνειν μέλλουσι τοῖς συγγράμμασι, ψυχικὴν ὠφέλειαν προμηθούμενοι, τὰς συγγραφάς, ὡς εἴρηται, συντιθέασι· τοῖς γὰρ φιλαρέτοις ἐνιέναι ζῆλον πρὸς μίμησιν οἱ τῶν μακαρίων καὶ φιλοθέων ἀνδρῶν βίοι πεφύκασι διηγούμενοι. Κἀγὼ τοίνυν ἄρτι συγγράψασθαι τὸν βίον τοῦ παμμάκαρος Σωφρονίου προθέμενος, οὐχ ὡς ἐκείνῳ χαριούμενος ἐπικεχείρηκα τῷ συγγράμματι, ἀλλ' ὡς ὀνήσων τοὺς ἐντευξομένους αὐτῷ· ὃ μὲν γὰρ οὐκ ἔσται κυδίων τῶν αὐτῷ κατωρθωμένων κηρυττομένων, ὃς καὶ λανθάνειν τὴν ἐνάρετον αὐτοῦ πολιτείαν μάλιστα ἐπετήδευε καὶ πᾶσαν εἰσῆγε πρὸς τοῦτο σπουδήν, οἱ δὲ τῆς διηγήσεως ἀκροώμενοι πάντως ὀνήσονται, πρὸς μίμησιν ἐκ ταύτης ὡς ἐνὸν διαθερμαινόμενοι. Εἰ δὲ τοῦτο δοίημεν ἔσεσθαι, κεχαρισμένον ἔσται λοιπὸν τὸ πόνημα τοῦτο καὶ τῷ ἱερῷ ἐκείνῳ ἀνδρὶ διὰ τὴν τινῶν ἐκ τούτου ὠφέλειαν. Τῇ μὲν οὖν παρούσῃ γραφῇ διὰ τοῦτο ἐπικεχείρηκα, παρακληθεὶς πρὸς ταύτην, οὐκ αὐτὸς ὁρμήσας πρῶτος πρὸς ἐπιχείρησιν· ᾔδειν γάρ μοι τὸν λόγον οὐκ ἀνάλογον πρὸς ἀναγραφὴν πολιτείας ἀνδρὸς τοσοῦδε τὸν λόγον καὶ τοιοῦδε τὸν τρόπον, κεκτημένου τε τὴν ἀρετὴν ἀπαράμιλλον· ἐκεῖνον δ' αὐτὸν ἐπικέκλημαι τὸν τῆς σοφίας καὶ τῆς τῶν λόγων παιδεύσεως τρόφιμον ἐμπνεῦσαί μοι λόγον ἀρκοῦντα πρὸς τὴν ὑπόθεσιν, ὡς ἂν μὴ καθυβρίσαιμι τοῖς ἐγκωμίοις αὐτόν· ἤδη δέ μοι τὸν λόγον οὕτω προκαταστήσαντι ἀρκτέον τῆς κατ' αὐτὸν διηγήσεως.

2. Ὁ θεόπνους οὗτος καὶ θεῖος ἀνήρ, τῆς σωφροσύνης ἐπώνυμος, πατέρων μὲν τετύχηκεν εὐσεβῶν καὶ ἀρετῆς ἐπιμελουμένων καὶ πρὸς εὐαρέστησιν Θεοῦ τὴν ἑαυτῶν ἰθυνόντων ζωήν· ὧν τῷ μὲν ἡ κλῆσις Πλινθᾶς, ἡ δέ γε μήτηρ ἐκαλεῖτο Μυρώ, ἣ μύρον, ὡς ἀληθῶς, τῆς νηδύος τὸν εὐφημούμενον ἐκκεκένωκεν· ὃς πρῶτον

10 *ὀνήσσων* B. — 12 τὸ *κηρυττομένων* ἐλλείπει τῷ B. — 29 τῷ] *τὸ* BΓ. — 30 *πλινθάς* A.

Digitized by Google

μὲν Θεοῦ εὐωδία, κατὰ τὸν μέγαν ἀπόστολον ἐχρημάτισεν, εἶτα καὶ πολλοῖς αὐτὸ τοῦτο τῷ Θεῷ γενέσθαι γέγονεν αἴτιος ἔκ τε τοῦ κατ' αὐτὸν ὑποδείγματος καὶ τῆς τῶν λόγων πειθοῦς. Πατρὶς δὲ τῷ θεσπεσίῳ τούτῳ πατρὶ πόλις ἀρχαία καὶ πολλαχόθεν κληρωσαμένη τὸ εὔδαιμον ἔκ τε τοῦ πλήθους καὶ τοῦ πλούτου τῶν πολιτῶν, ἔκ τε τοῦ λελαχέναι θέσεως εὖ καὶ τοῦ ὑπ' ἀέρος εὐκραοῦς καταπνέεσθαι, κἀκ τῶν παραρρεόντων αὐτὴν ποταμῶν, οἳ τὴν περιοικίδα ταύτης κατάρδοντες, πρὸς γεωργίαν ἐπιτηδείως ἔχειν καὶ πάμφορον εἶναι παρασκευάζουσι καὶ γονιμωτάτην πρὸς πάντα καρπόν· ἡ δὲ πόλις, ἡ Δαμασκός, πόλις ἀρχαία, ἣν οἱ παλαιοὶ συγγραφεῖς δι' εὐφήμου τῆς μνήμης ἄγουσι καὶ ἐν ᾠδῇ μυρία πεποίηνται· εἰ δὲ καὶ τοσούτοις καλοῖς τῆς εὐδαιμονίας ηὐμοίρησεν, ἀλλὰ μᾶλλον χρεὼν αὐτὴν ἐκ τοῦ τοιοῦτον ἄνδρα προενεγκεῖν καὶ τῷ βίῳ χαρίσασθαι εὐδαιμονίζεσθαί τε καὶ μακαρίζεσθαι.

3. Τοιαύτης οὖν πατρίδος καὶ θεοφιλῶν οὕτω πατέρων ἐκφὺς ὁ θεῖος Σωφρόνιος, κατάλληλον ἐσχήκει καὶ τὴν ἀναγωγήν, λόγοις ἐντραφεὶς παιδόθεν τῆς τε θειοτέρας σοφίας, τῶν ἡμετέρων λέγω δογμάτων καὶ μυστηρίων ὑπερφυῶν, καὶ τῆς θύραθεν, τῆς ἑλληνικῆς δηλαδὴ παιδείας· οὕτω δὲ φύσεως ἔσχηκε καὶ σπουδῆς, ὡς βραχὺν ἀρκέσαι χρόνον αὐτῷ πρὸς τὴν τῶν μαθημάτων ἀνάληψιν καὶ ταχέως πάντας ὑπερβαλέσθαι τοὺς ἥλικας· ὥσπερ τις γὰρ πτερωτὸς διὰ τὴν φυσικὴν τοῦ νοὸς τυγχάνων ὀξύτητα, καὶ ταύτην ἐπικουφίζων τῷ πνεύματι τῆς σπουδῆς, πολλὰς τῶν λογικῶν ἐπιστημῶν δι' ὀλίγου κατώρθωσε, τόν τε νοῦν λεπτύνας καὶ παραθήξας πρὸς νοημάτων τόκον σοφῶν καὶ τὴν γλῶτταν ἐπιεικῶς καθηράμενος, ἵν' ἐκφέροι φωνὴν ἀττικίζουσαν καί οἱ ὁ λόγος τῷ ταύτης ἄνθει ἐπικοσμοῖτο. Ἆρ' οὖν τοιοῦτος μὲν ἐν λόγοις ὁ εὐφημούμενος ἦν καὶ τοσαύτην ἐν τούτοις εἰσήνεγκε τὴν σπουδήν,

1 θεοῦ εὐωδία] Κορινθ. 2, β', 15. Ἐφεσ. ε', 2. — 9 *ἔχει* B. — 12 *πεποίειν-ται* B. — 13 *εὐμοίρησεν* ΒΓ || τὸ *τοῦ* ἐλλείπει τοῖς κώδιξι ΒΓ. — 18 τῆς] *τοῖς* B.— 19 *ἑλληνικῆς* ΒΓ. — 23 τὴν *τοῦ νοὸς φυσικὴν* ΒΓ. — 25 *κατόρθωσε* B. — 27 *ἀττι-κίζουσαν* B.

Digitized by Google

τῆς δὲ τῶν ἠθῶν εὐκοσμίας καὶ τῆς τῶν τρόπων ἠμέλει χρηστότητος; Ἐν τούτοις μενοῦνγε θαυμασιώτερος ἦν ὁ μέγας οὗτος ἀνὴρ καὶ πλείονα λόγον τῆς ἐν ἤθεσιν ἀρετῆς ἢ τῶν λόγων πεποίητο, καὶ τῶν κατ' αὐτὸν ἐν λόγοις κρατῶν μᾶλλον · ἐν τρόποις εἶχε τὸ ἀπαράβλητον· θερμότατος γὰρ ἦν τῆς ἀρετῆς ἐραστής, καὶ ταύτην μετῄει μὲν καὶ τὴν πόλιν οἰκῶν καὶ ἐν ἀγορᾷ καὶ πολιτείᾳ στρεφόμενος, καὶ οὐδὲν ἧττον τῶν ἐν ἐρήμοις διαιτωμένων προσανεῖχε Θεῷ. Εἶτα καὶ σφοδροτάτῳ πυρὶ τοῦ ταύτης ἔρωτος ἐκκαυθείς, καταφρονεῖ μὲν πατρίδος οὕτω καλλίστης τε καὶ περιφανοῦς, καταφρονεῖ δὲ τῆς τῶν γονέων στοργῆς, τὴν τῶν ἡλικιωτῶν ξυναυλίαν περιορᾷ, καὶ πάντα λιπὼν τὰ τοῖς μικροψύχοις καὶ φιλοκόσμοις ἡδέα καὶ περισπούδαστα, καταλαμβάνει τὴν Παλαιστίνην καὶ τῇ τοῦ μεγάλου Θεοδοσίου μάνδρᾳ φέρων δίδωσιν ἑαυτόν, καὶ μέτεισι τὴν ἀρετὴν ἐκεῖ σπουδαιότερον, καὶ σχολάσας κατὰ τὸν θεοπάτορα γινώσκει Θεὸν καὶ ὑπ' ἐκείνου μᾶλλον γινώσκεται· ἐγγίζει γὰρ ὁ Κύριος τοῖς ἐγγίζουσι καὶ τοῖς αὐτὸν ζητοῦσι τίθησιν ἑαυτὸν ἐμφανῆ, καθὼς ἐνὸν ἐκείνοις γνῶναι τὸν Κύριον, ἀναλόγως δηλαδὴ τῆς δι' ἀρετῆς πρὸς αὐτὸν οἰκειώσεως.

4. Οὕτω δὲ χρόνον συχνὸν φροντίσας τῆς ἀρετῆς κατὰ τὸ ῥηθὲν φροντιστήριον, καὶ ἐγκρατείᾳ καὶ ἀγρυπνίᾳ καὶ παντοίῳ σαρκὸς ὑπωπιασμῷ τὸ σαρκικὸν λεπτύνας νέφος, εἴτε προκάλυμμα, καὶ τὸν νοῦν ἐλλαμφθείς, αὖθις εἰς πόθον ἔρχεται σοφίας τελεωτέρας· "ὁ προστιθεὶς γὰρ γνῶσιν"—τὸ τῆς Γραφῆς—"προστίθησιν ἄλγημα". Ἵνα τοίνυν αὐτῷ θεραπευθείη τοῦτο τὸ ἄλγημα, τὴν πρὸς Αἰγύπτῳ κειμένην καταλαμβάνει πόλιν, τὴν περιώνυμον Ἀλεξάνδρειαν· ἤνθει γὰρ ἐκείνη τοῖς λόγοις ἔτι καὶ παιδευτῶν [ἦν] εὐποροῦσα σοφῶν καὶ βίβλων παντοδαπῶν· οὔπω γὰρ τὰς βίβλους πάσας ἀφῄρητο, ἃς ὁ Πτολεμαῖος συναγαγὼν ἐν αὐτῇ τεθησαύρικε, τοῖς ἐρῶσι παιδείας προκειμένας εἰς μάθησιν. Ἐν αὐτῇ τοίνυν παραγενόμενος καὶ ἀνδρὶ περιτυχὼν τῶν ἐκεῖ ἐν λόγοις κρατιστεύοντι καὶ παιδείας ἁπάσης ἐς τὸ ἀκρότατον ἥκοντι—Ἰωάννης ἐκείνῳ τὸ

12 φιλοκόσμοις Α, *φιλοσάρκοις* ΒΓ. — 15 Ψαλμ. με', 11. — 21 *ὑποπιασμῷ* Β.— 23 Ἐκκλ. α', 18.

Digitized by Google

ὄνομα —, πρόσεισι τῷ ἀνδρί, καὶ κολληθεὶς ὀπίσω αὐτοῦ ὁμόστεγος ἦν αὐτῷ, τραπέζης κοινωνῶν, σιτούμενος ἀπὸ τῆς αὐτῆς, συνεχῶς ὁμιλῶν καὶ τοῦ τῆς σοφίας κρατῆρος μετέχων διηνεκῶς, καὶ σπῶν ἀπλήστως ἐξ ἐκείνου τῶν λόγων τοῦ νάματος, ἔστι δ' οὗ καὶ αὐτὸς τῶν οἰκείων ἐκείνῳ μεταδιδούς· ὅθεν αὐτῷ καὶ κατακόρως ἐμφορηθῆναι τῶν τῆς σοφίας θυμάτων καὶ τοῦ οἴνου, ὃν ἐκείνη κεκέρακεν, ἐξεγένετο. Εἰ δὲ τοῖς ἄφροσι καὶ τοῖς ἐνδεέσι φρενῶν παρὰ τῆς σοφίας ἐπήγγελται, φαγοῦσι τὸν ἄρτον αὐτῆς καὶ τὸν οἶνον πιοῦσι, κτήσασθαι φρόνησίν τε καὶ σύνεσιν, τί χρὴ περὶ τοῦ θείου τούτου πατρὸς οἴεσθαι, ᾧ καὶ πρὶν ἐπήνθει φρόνησίς τε καὶ σύνεσις; Ὁ μὲν οὖν οὕτω τὸν νοῦν ταῖς θείαις ἐκάθηρε θεωρίαις καὶ τοῖς ἐκ τῶν λόγων τεχνικοῖς θεωρήμασι, τῷ δέ γε βασκάνῳ καὶ παλαιῷ πολεμίῳ τοῦ τῶν θείων χειρῶν πλαστουργήματος οὕτω βιοὺς οὐκ ἔμελλεν ἀβάσκαντος ἔσεσθαι. Ἐξαιτεῖται τοίνυν καὶ τοῦτον εἰς πεῖραν, ὡς τὸν Ἰώβ, καὶ ὅτι μὴ κτῆσις ἦν αὐτῷ, ἵν' ἐκείνῃ ἐπίθηται, πάλαι ταύτης καταφρονήσαντι, αὐτῷ τῷ σώματι τοῦ μάκαρος ἐπιτίθεται καὶ πλήττει καιρίᾳ μάλα καὶ δεινῇ τῇ πληγῇ, οὐχ ὁλοσώματον μὲν ταύτην ἐπενεγκών, ὥσπερ δῆτα καὶ τῷ Ἰώβ, παντὶ δὲ τῷ τοῦ μάκαρος σώματι διὰ τοῦ πληγέντος μέλους ἀπραξίαν ἐπαγαγών· τοιαύτη γὰρ ἡ πληγὴ κατὰ τοῦ ἁγίου τῷ πονηρῷ μεμηχάνητο· ἣ δὲ ἦν ἀορασία καὶ πάθος περὶ τοὺς ὀφθαλμούς (ἐπίχυσιν τὴν νόσον παῖδες ἰατρῶν ἢ νεφέλιονὀνομάζουσι), ἣν οὐκ ἄν τις εἴποι πάντως ἐξ ἀκρασίας ἐπισυμβῆναι τῷ θεσπεσίῳ τούτῳ πατρί· ταῦτα γὰρ τοῖς πολλοῖς ἀκρατῶς διαιτωμένοις ἐπισυμβαίνειν πεφύκασι, τῷ δὲ ὅλος ὁ βίος ἐγκράτεια ἦν.

5. Ἐντεῦθεν δῆλον, ὅτι παρὰ τοῦ πονηροῦ τὸ δρᾶμα τετύρευτο, καὶ ὅρα μοι τὸ βάθος τῆς πονηρίας τοῦ δυσμενοῦς· ἐκεῖ γὰρ πλήττει τὸν θεόφρονα, ἔνθα περ ᾔδει τὴν πληγὴν ἐκείνου μᾶλλον καθάψασθαι μέλλουσαν· ἐπεὶ γὰρ ἑώρα τοὺς λόγους ὄντας ἐκείνῳ καὶ πνοὴν καὶ ζωήν, καὶ ὅτι τούτοις γέγηθε κἀπιλήθεται κακῶν τῇ ἀναγνώσει σχολάζων καὶ λογογραφῶν τὴν εὐσέβειαν, καὶ ἄμφω ταῦτα διὰ μιᾶς ἀφαιρεῖται πληγῆς, ὡς μήτε βιβλίοις

7/9 Παροιμ. θ', 5-6. — 9 *ποιοῦσι* A.

ὁμιλεῖν ἐξεῖναι αὐτῷ, μήτε κινεῖν τὴν χεῖρα πρὸς συγγραφήν· ὃ δὲ καὶ οὕτως ἀθρόον πληγεὶς καὶ πληγήν, ἣ μέσης αὐτοῦ τῆς καρδίας, ὃν εἴρηται τρόπον, καθίκετο, ἔφερε γενναίως καὶ "οὐκ ἔδωκεν ἀφροσύνην τῷ Θεῷ", ἀλλ' εὐχαριστῶν ἐκεῖθεν ᾔτει τὴν λύσιν τοῦ πειρασμοῦ. Καὶ μέντοι γε καὶ τυγχάνει ταύτης οὐκ εἰς μακράν· τοὺς γὰρ μεγάλους ἐπικαλούμενος μάρτυρας, τοὺς θαυματοφόρους τοὺς πάνυ, Κῦρον καὶ Ἰωάννην φημί, τὴν ἴασιν ἔσχηκεν (ὧν ὁ μὲν Κῦρος ἐκεῖθεν ἐξέφυ· Ἀλεξανδρεὺς γὰρ τὸ γένος οὗτος ὁ ἅγιος· καὶ ἄμφω δὲ τὸν τῆς μαρτυρίας δρόμον ἐν αὐτῇ τετελέκασι καὶ πολλοῖς τὴν πόλιν κατεκόσμησαν θαύμασιν, ἐξόχως τε τιμῶνται παρὰ τῶν πολιτῶν τῆς πόλεως ταυτησί), ἀκέστορας ἐκείνους αὐτῷ τοῦ πάθους τοῦ κρείττονος ἐπιπέμψαντος. Ὁ μὲν γὰρ τῷ ναῷ τῶν μαρτύρων τούτων προσήδρευε, θερμῶς παρ' αὐτῶν τὴν θεραπείαν αἰτούμενος καὶ ζεούσῃ πίστει τὴν ὁρατικὴν ἀποκαταστῆσαι αὐτῷ δεόμενος δύναμιν καὶ ἀποδοῦναι τὴν αἴσθησιν ἐνεργόν, ὡς τὸ πρότερον· εἶχε μέντοι καὶ τὸν διδάσκαλον Ἰωάννην συμπαρόντα καὶ συναντιλαμβανόμενον αὐτῷ τῆς δεήσεως καὶ τοὺς μάρτυρας αἰτοῦντας τοῦ φοιτητοῦ τὴν ἀνάρρωσιν. Ἡ δὲ τῶν θείων τούτων ἀθλητῶν ξυνωρὶς ὄναρ ἐπιφοιτήσασα καὶ ἀμφοῖν, τῷ μύστῃ λέγω καὶ τῷ μυσταγωγῷ, ἐδόκει μὲν διαλέγεσθαι περὶ τοῦ πάθους αὐτοῖς, εἶθ' ὁ Κῦρος ἐῴκει τῷ λιχανῷ δακτύλῳ σταυρὸν τυποῦν κατὰ τῶν ὀμμάτων τοῦ πάσχοντος, οὐχ ὥστε μέντοι καὶ αὐτοῦ τοῦ μέλους ἐφάπτεσθαι, ἀλλ' ὡς ἀφεστηκέναι τι μέτριον καὶ τοῦτο τρισσάκις ποιήσασθαι καὶ ἐπιλέγειν τῇ τοῦ σταυροῦ ἐκτυπώσει τὸ "Εὐλογητὸς ὁ Θεός". Καὶ ἐπὶ τούτοις οἱ μὲν ἅγιοι μάρτυρες ἔδοξαν ἀπιέναι καὶ ἀμφοῖν ἀπαλλάττεσθαι, τοῦ διδασκάλου φημὶ καὶ τοῦ φοιτητοῦ, οἳ δὲ τὸν ὕπνον αὐτίκα ἐκτιναξάμενοι τὴν τοῦ πάθους ἔγνωσαν ἴασιν· καὶ ὁ μὲν μυσταγωγὸς τῶν πεπηρωμένων ὀμμάτων τῷ μαθητῇ τὴν ῥῶσιν εὐηγγελίζετο, ὃ δὲ ταύτην ἐν πράγμασιν ἐπεγίνωσκεν—ἑώρα γὰρ τηλαυγῶς—, καὶ τῷ μὲν Θεῷ ὕμνον καὶ δόξαν ἀνέπεμπε, τοῖς δὲ μάρτυσι χάριτας τῆς θεραπείας ὁμολο-

1 ἐξ εἶναι Γ.—2 οὗτος Α ‖ ἡ Γ.—3/4 Ἰὼβ α', 22.—5 οὐκεισμακρὰν Α.—28 29 τῶν πεποιημένων τῷ μαθ. τὴν ῥῶσιν τῶν πεπηρωμένων ὀμμάτων εὐηγγελίζετο ΒΓ.

Digitized by Google

γῶν, καὶ τοῦ ἄκους οἷον ἀντιδιδοὺς ἀμοιβὴν χαριστήριον, κινεῖ τὴν χεῖρα πρὸς συγγραφὴν τῶν αὐτοῖς καθ' ἑκάστην τελουμένων θαυμάτων καὶ τῶν ἰάσεων, καὶ τὴν εὐχὴν ἀποδίδωσιν, ἣν πρὸ τῆς ἰάσεως ηὔξατο· ἔφθη γὰρ ἐπαγγειλάμενος τοῖς μάρτυσι τοῦ Χριστοῦ γραφῇ παραδοῦναι τὰ σφίσιν εἰργασμένα θαυμάσια, εἴπερ αὐτῷ χαρίσαιντο τὸ ὁρᾶν καὶ τὴν πρὸς τὸ γράφειν ἀκινησίαν τῆς χειρὸς αὐτοῦ διαλύσωσιν, ἵνα μὴ τῷ χρόνῳ παραρρυῶσι καὶ λήθης ἐπικαλυφθῶσι βυθοῖς ἔργα μάλα μὲν ἐξαίσια, μάλα δέ γε θαυμάσια καὶ εἰς δόξαν Θεοῦ ἐσόμενα τοῖς μετέπειτα, ἃ καὶ ἀφ' ἑαυτῶν τὸ θαυμαστὸν καὶ χαρίεν ἔχοντα μᾶλλον ἐκεῖνος τῇ δυνάμει τῶν λόγων ἀπέφηνε χαριέστερα. Οἷος ἐκεῖνος ἡδὺς τὸν λόγον καὶ τὴν φράσιν ἐπίχαρις καὶ κομψὸς τὴν διήγησιν καὶ—ἵνα συνελὼν εἴπω—λαμπρὰν ἔχων τὴν τῆς γλώσσης παραβολήν! Τοιοῦτος οὖν τὸν λόγον ὁ θεόληπτος τυγχάνων Σωφρόνιος πολλῷ τῷ μέσῳ τὴν ἀρετὴν ὑπῆρχε περιφανέστερος. Οὐκ ἔδει τοίνυν τὸν λύχνον ὑπὸ τὸν μόδιον κρύπτεσθαι, οὐδὲ τῷ τῆς ἀφανείας νέφει τὸν λαμπρὸν ἀστέρα καλύπτεσθαι· καὶ μέντοι τοῦτο καὶ ᾠκονόμηται παρὰ τῆς ἄνωθεν διοικήσεως.

6. Ἄρτι τοίνυν τοῦ τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας τότε προϊσταμένου ἐξ ἀνθρώπων οἰχομένου καὶ πρὸς τὴν ἀΐδιον μεταταξαμένου ζωήν—ἦν δ' ἐκεῖνος ὁ καὶ τὴν πίστιν καὶ τὸν βίον μέγιστος Μόδεστος—, ὁ προστησόμενος ἐζητεῖτο τῆς ἁγίας πόλεως Ἱερουσαλήμ, τῆς μητρὸς πασῶν τῶν ἐκκλησιῶν· καὶ πολλῶν ὀνομαζομένων εἰς τὸ θεῖον τοῦτο λειτούργημα, ὁ ἱερὸς Σωφρόνιος ἁπάντων προυκέκριτο καὶ πάσαις ψήφοις πρὸ τῶν ἄλλων ἐψήφιστο. Ἕτερος μὲν οὖν τις ἴσως θείαν εἶναι τὴν κλῆσιν ἐνόμισε καὶ προσέδραμεν ἂν ἑτοίμως τῇ ψήφῳ, ὡς ἄνωθεν διὰ ταύτης καλούμενος· ὃ δ' ὑπεχώρει μᾶλλον καὶ ἀνεδύετο καὶ ὑπὲρ αὐτὸν ἐκάλει τὸ μέγα τοῦτο τῆς ἀρχιερωσύνης ἀξίωμα. Καὶ ἦν

2 τὸ *καθ' ἑκάστην* ἐλλείπει τῷ Α. — 3 *ἦν* Β. — 5 πρότερον ἐν τῷ Γ *χαρίσαιντο*, εἶτα *χαρίσοιντο*. — 10 *χάριεν* ΑΒΓ. — 12 *φρᾶσιν* ΒΓ. — 15 λύχνον ὑπὸ τὸν μόδιον] Ματθ. ε', 15. Μαρκ. δ', 21. — 17 *τούτω* ΒΓ. — 26 *ἐψήφιστο* Β· οὕτω πρότερον καὶ ἐν τῷ Γ.

ἀγὼν τοῖς τε ψηφισαμένοις καὶ τῷ μεγάλῳ τούτῳ πατρί, τῷ μὲν διαδρᾶναι τὴν ψῆφον καὶ τὴν χειροτονίαν μὴ καταδέξασθαι, τοῖς δὲ πεῖσαι τοῦτον ὑπελθεῖν τὸ λειτούργημα καὶ τὸ χρῖσμα μὴ ἀπανήνασθαι. Ἔδει μέντοι νικῆσαι τὸ πνεῦμα τὸ ἅγιον, ἐπεὶ κἀκεῖθεν ἡ ψῆφος ἐξήνεκτο· καὶ μέντοι γε καὶ νικᾷ καὶ χρίεται τὸ χρῖσμα τὸ ἱερὸν ὁ τούτῳ προσήκων καὶ ἀτεχνῶς τοῦ βήματος ἄξιος, καὶ τοὺς τῆς ἐκκλησίας οἴακας ἐγχειρίζεται ὁ τούτους εἰδὼς εὐφυῶς καὶ τεχνηέντως μεταχειρίζεσθαι· καὶ οὐκ ἔστιν εἰπεῖν ὅση γέγονε τῆς τῶν πιστῶν ἐκκλησίας ἐπίδοσις ἐκ τῆς δεξιᾶς τοῦδε τοῦ ἀνδρὸς μεταχειρίσεώς τε καὶ κυβερνήσεως.

7. Ἀλλ' οὐκ ἔμελλεν αὖθις ἠρεμήσειν ὁ πονηρὸς τὴν τοῦ Κυρίου ποίμνην ἐπιδιδοῦσαν ὁρῶν καὶ τὴν ἑαυτοῦ μερίδα μειουμένην ἑκάστοτε. Ἐπεγείρει τοίνυν καὶ τότε πόλεμον κατὰ τῶν χριστωνύμων βαρύτατον καὶ τοὺς τῆς Ἄγαρ κατὰ τῆς Ῥωμαϊκῆς ἀρχῆς ἐπανίστησι καὶ κατὰ τῆς πόλεως αὐτοὺς ἐπιστρατεύει τῆς ἱερᾶς, λέγω δῆτα τῆς Ἱερουσαλήμ· οἳ δὴ καὶ πολιορκοῦσι ταύτην καὶ αἱροῦσιν—ὢ τῶν ἀνεφίκτων σου κριμάτων Χριστέ—, καὶ ὑφ' ἑαυτοὺς πεποίηνται δορυάλωτον· ὅτε καὶ τοῦ τῆς στρατιᾶς ἐκείνης κατάρχοντος εἰσδύντος [εἰς] τὸν τοῦ Κυρίου ναόν, καὶ τοῦτον βουληθέντος μετασκευάσαι καὶ τῶν οἰκείων βδελυγμάτων ποιήσασθαι τέμενος, εἰπεῖν ἱστόρηται τὸν πανόλβιον ἄνδρα τοῦτον, ὡς νῦν ὁ τοῦ Κυρίου λόγος πεπλήρωται, φήσαντος· "Ὅταν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως ἑστὼς ἐν τόπῳ ἁγίῳ, οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη", καὶ ὅσα τούτοις ἑξῆς. Τότε τοίνυν καὶ ὁ μέγας οὗτος πατὴρ τὴν Παλαιστίνην ἀφεὶς μεταχωρεῖ πρὸς τὴν Αἴγυπτον, καὶ ἀφικνεῖται πρὸς Ἀλεξάνδρειαν καὶ τῷ μεγάλῳ πρόσεισι ταύτης τῆς πόλεως ἀρχιποίμενι· ὁ περιώνυμος οὗτος ἦν Ἰωάννης, ὁ τὴν κλῆσιν ἐκ τῆς ἀρετῆς κληρωσάμενος, ὁ τῆς ἐλεημοσύνης ἐπώνυμος, ᾧ τὸ ῥεῖθρον τοῦ ἐλέους ἀέναον καὶ πλημμυροῦν ὑπὲρ τὸν Νεῖλον τὸν ποταμὸν τὸν Αἰγύπτιον· ὁ μὲν γὰρ ἐφ' ἕνα τοῦ ἔτους καιρὸν ἀναβαίνων καὶ ὑπερβλύζων πιαίνει τὴν Αἴγυπτον καὶ τὴν ἐν καρ-

18 *πεποίειται* B. — 22.24 Ματθ. κδ', 15. Μάρκ. ιγ', 14. — 25 *παλαιστήνην* ΒΓ. — 28 ὁ τῆς ἐλ. ἐπώνυμος] ἐλλείπει ταῦτα τῷ **Α**.

Digitized by Google

ποῖς εὐδαιμονίαν τοῖς Αἰγυπτίοις χαρίζεται, τῷ δ' ἡ πλήμμυρα διηνεκής, καὶ οὐ μόνην τὴν Αἴγυπτον ἄρδουσα καὶ ποτίζουσα, ἀλλὰ καὶ πᾶσαν σχεδὸν τὴν ὑφ' ἥλιον καὶ μικροῦ τῆς γῆς ἀπάσης τὸ πρόσωπον. Παρὰ τοῦτον ἄπεισιν ὁ θεῖος Σωφρόνιος· καὶ οὐδὲ τοῦτο γίνεται προνοίας ἄτερ τῆς ἄνωθεν· συγγενόμενος γὰρ ἐπί τινα χρόνον τῷ Πακτωλῷ ἐκείνῳ καὶ πλέον δέ τι κεκτημένῳ τοῦ Πακτωλοῦ — τὸν μὲν γὰρ ψήγματα χρυσοῦ, φασί, τοῖς μεταλλεύουσιν αὐτὰ χορηγεῖν, ὃ δὲ τάλαντα ὅλα τοῖς ἐνδεέσιν ἐδίδου χρυσοῦ —, καὶ ἱστορήσας τῆς χειρὸς ἐκείνου τὸ πρὸς τὸν ἔλεον ἀκρατὲς καὶ τὸ πρὸς μετάδοσιν τῆς γνώμης ἀκόρεστον, καὶ τὸν ἄλλον δῆτα τρόπον τοῦ ἀγχιθέου ἐκείνου πατρὸς τὸν ἰσάγγελον, ἐπεὶ πρὸς τὰς αἰωνίους ἐκεῖνος μετῆρε μονὰς καὶ πρὸς τὴν πρώτην πηγὴν τοῦ ἐλέους μετεσκηνώσατο, κινεῖ τὴν γραφίδα πρὸς ἐπιτάφιον καὶ διὰ τούτου δῆλα τίθησι καὶ τοῖς ὀψιγόνοις τὰ ὑπερφυῆ τοῦ ἀνδρὸς κατορθώματα.

8. Εἶτα τῶν Ἰσμαηλιτῶν ἀπελαθέντων τῆς Ἱερουσαλὴμ καὶ αὖθις τῇ τῶν Ῥωμαίων ἡγεμονίᾳ τῆς Ἁγίας Πόλεως ἐπανασωθείσης, ἐπανῆλθε καὶ ὁ καλὸς οὗτος ποιμὴν εἰς τὴν ποίμνην τὴν ἑαυτοῦ καὶ τοῦ ποιμαίνειν ταύτην ἐπιμελῶς εἴχετο καὶ τοὺς λύκους ταύτης ἀποσοβεῖν, τοὺς λυμαντῆρας λέγω τοὺς τῶν ψυχῶν, τοὺς τῶν ὀρθῶν δογμάτων φθορεῖς, τοὺς τῇ ἀγέλῃ τοῦ Χριστοῦ ἐπεμβαίνοντας καὶ ταύτην διασπαράσσοντας· ἦν γὰρ τότε τὸ τῶν Μονοθελητῶν δόγμα ἐπικρατοῦν καὶ κατὰ πάσης σχεδὸν ἕρπον τῆς οἰκουμένης καὶ διὰ τῶν κακοηθεστέρων τοὺς ἁπλουστέρους ἁπανταχοῦ οἰκειούμενον, ἐπεὶ καὶ τὴν ἐκ βασιλέως ῥοπὴν ἐκληρώσατο· ὁ γάρ τοι Ῥωμαίων ἄναξ Ἡράκλειος ἦρχε τότε, τῶν ἐκ τῆς Ἄγαρ τὴν ὑπὸ Ῥωμαίους ἑῴαν μοῖραν κατατρεχόντων καὶ τὸ σύμπαν ταύτης ληϊζομένων, καὶ τοὺς μὲν συγκοπτόντων τοῖς ξίφεσι, τοὺς δ' ἐν ἀπαγωγῇ ποιουμένων καὶ δούλους τιθεμένων τοὺς εὐγενεῖς· κατ'

1 *πλημμύρα* ΑΒΓ. — 2 *μόνον* Γ. — 7 *φησι* ΒΓ || *μεταλεύουσιν* ΑΒΓ. — 10 *προσμετάδοσιν* Γ. — 13 *διατούτου* ΒΓ. — 13/15 συγγραφῆς τινος τοῦ Σωφρονίου περὶ τοῦ ἁγίου Ἰωάννου τοῦ ἐλεήμονος μέμνηται Λεόντιος ὁ Νεαπόλεως. Leontios' von Neapolis Leben des Heiligen Johannes des Barmherzigen - - herausgegeben von H. Gelzer. Freiburg 1893, σ. 2. — 17 τὸ *ἁγίας*, ὡς φαίνεται, ἐλλείπει τῷ Α.

αὐτῶν ἐξορμήσας καὶ συμπλακεὶς τοῖς ἀλάστορσι καὶ ἀποδοὺς αὐτοῖς "εἰς τὸν κόλπον αὐτῶν ἑπταπλάσια", ἅ τ' ἔλαβον ἐκ τῆς πόλεως Ἱερουσαλὴμ τίμια ξύλα τοῦ σωτηρίου σταυροῦ ἀφελόμενος αὖθις καὶ τοὺς περιόντας τῶν αἰχμαλώτων λύσας τῶν τῆς αἰχμαλωσίας δεσμῶν καὶ φῶς ἐλεύθερον αὐτοῖς χαρισάμενος, ἐπανέζευξεν εἰς Ἱεροσόλυμα θύσων τε τῷ Θεῷ χαριστήρια καὶ ἀποκαταστήσων τῷ τοῦ Κυρίου ναῷ ἃ τοῖς βαρβάροις ἐκεῖθεν ἀφήρηντο τίμια, τὰ μέρη λέγω τοῦ ζωηφόρου σταυροῦ. Οὗ γενομένου, ὁ τῶν Ἰακωβιτῶν προσεληλύθει καθολικὸς Ἀθανάσιος, ὃν καλεῖν οἱ αἱρεσιῶται πατριάρχην οὐκ ἀπενάρκησαν· ᾧ καὶ λόγους κινήσαντι πρὸς τὸν βασιλέα περὶ τῆς πίστεως αἰτίαν προσῆγεν Ἡράκλειος, ὅτι μὴ δέχοιτο τὴν ἐν Χαλκηδόνι σύνοδον καὶ μὴ δύο φύσεις ἐν Χριστῷ ἡνωμένας ὁμολογεῖ· ὡς εἴ γε τὴν σύνοδον δέξοιτο καὶ δύο φύσεις ἐπὶ τοῦ σωτῆρος ἀσυγχύτους ὁμολογήσει, καὶ ὁμόδοξον αὐτὸν ἡγήσοιτο καὶ τῆς Ἀντιοχέων ἐκκλησίας πατριάρχην προβάλοι. Ὁ δὲ πανοῦργος ὢν καὶ δεινὸς καὶ τὸ ἦθος ἔχων ὑποκαθήμενον, θεραπεῦσαί τε τὸν βασιλέα βουλόμενος, ἵνα μὴ ἀτακτήσῃ τοῦ ἐπαγγέλματος, τήν τε σύνοδον ὑποκεκριμένως ἐδέξατο καὶ δύο φύσεις ἐπὶ Χριστοῦ λέγειν ἡνωμένας ἀσυγχύτως κατέθετο· περὶ δέ γε τῶν θελημάτων καὶ τῶν ἐνεργειῶν ἐπυνθάνετο, ὅπως περὶ τούτων δοξάζειν χρεὼν καὶ εἰ διττὰ ταῦτα δεῖ λέγειν, ἢ ἑνιαῖά τε καὶ μοναδικά.

9. Ὁ δ' αὐτοκράτωρ Ἡράκλειος, τῇ σκηνῇ τοῦ ποικίλου τὴν πονηρίαν ἀνδρὸς ὑπαχθεὶς ἐκείνου, γράφει πρὸς τὸν τότε πατριαρχοῦντα τῆς κατὰ Κωνσταντινούπολιν ἐκκλησίας—Σέργιος ἦν ἐκεῖνος—, ὅπως χρὴ τὰ περὶ τῶν ἐνεργειῶν καὶ τῶν θελήσεων τοῦ Χριστοῦ δογματίζεσθαι· ὃ δὲ πάλαι τὰ τῆς Μονοθελητῶν πρεσβεύων αἱρέσεως ἀντιγράφει τῷ βασιλεῖ μίαν φυσικὴν θέλησιν καὶ μίαν ἐνέργειαν δεῖν δογματίζειν ἐπὶ τοῦ σωτῆρος Χριστοῦ. Ἀλλὰ καὶ Φάσιδος ἐπίσκοπον Κῦρον ὁ βασιλεὺς μετακαλεσάμενος, ὃν μετέπειτα καὶ πατριάρχην Ἀλεξανδρείας προεχειρίσατο, ἤρετο περὶ

2 Ψαλμ. οη', 12. — 11 *προσῆγεν* A, *προσῆπτεν* ΒΓ. — 12 *τὴν ἐν χ. μὴ δέχοιτο* ΒΓ. — 15/16 *προβάλοιτο* ΒΓ.

Digitized by Google

τούτων καὶ συνῳδὰ τῷ Σεργίῳ καὶ τοῦτον εὗρηκε λέγοντα. Τούτοις οὖν ὁμοδοξεῖν καὶ ὁ εἰρημένος εἴρηκεν Ἀθανάσιος, ἐπεὶ μὴ εὗρε τοὺς ἄνδρας ἐκείνους ἑτερογνώμονας· ᾔδει γάρ, ὡς, εἰ μία λέγοιτο θέλησις καὶ μία ἐνέργεια, ἕπεται πάντως καὶ τὸ μίαν φύσιν ἐπὶ τοῦ σωτῆρος δοξάζεσθαι. Ταύτης τῆς δόξης καὶ ὁ βασιλεὺς Ἡράκλειος γίνεται, τοῖς λόγοις ὑποσυρεὶς τῶν μισθωτῶν, ἀλλ' οὐ ποιμένων ἐκείνων, οἳ πρὸς νομὰς ὀλεθρίους καὶ πόας δηλητηρίους καὶ θανασίμους ἐξῆγον τὰ ποίμνια καὶ ἀνατροπὴν ἐπότιζον θολεράν. Ἐντεῦθεν τὴν ἐκ βασιλέως προσειληφότες ῥοπὴν καὶ μετ' ἐξουσίας ποιούμενοι τῆς οἰκείας κακοδοξίας τὸ κήρυγμα, πᾶσαν τὴν οἰκουμένην, εἰ δύναιντο, τῶν οἰκείων ἀρκύων ἐντὸς ζωγρεῖν ἐβιάζοντο.

10. Ἀλλ' οὐκ ἠρέμησεν ὁ ποιμὴν ὁ καλός, ὁ τοῦ πρώτου ποιμένος καὶ ἀρχιποίμενος μύστης καὶ μιμητής· οὐδ' εἰ τὸ οἰκεῖον ὀρθοτομοῖτο ποίμνιον καὶ τὸν λόγον τῆς ἀληθείας ἀνόθευτον ἐκδιδάσκοιτο ἀρκετὸν ἥγητο ἑαυτῷ, καὶ κηρύττειν οὐκ ἤθελεν ὑπερόρια, ἀλλὰ μίαν εἰδὼς τὴν ἀποστολικὴν ἐκκλησίαν καὶ μίαν ποίμνην τοὺς πεπιστευκότας Χριστῷ, κἂν τοῖς τόποις διῄρηνται, ὑπ' ἐκείνῳ ποιμαινομένους, ὡς ἀρχιποίμενι, καὶ ὅποι ἂν ὑπὸ λύκων τὰ πρόβατα φθείροιντο τὴν ἀγέλην ἐλαττονεῖσθαι τὴν τοῦ Χριστοῦ, θερμότατα διανίσταται καὶ τοῖς θηρσὶ τοῖς λυμαντῆρσιν ἀντικαθίσταται καὶ τῇ ποιμαντικῇ σφενδόνῃ τούτους λιθολευστεῖ, τοῖς λόγοις ἀντὶ λίθων χρησάμενος, καὶ πλήττει τούτους καιρίως, ὡς ὁ Δαυὶδ τὸν Γολιὰθ τὸν ἀλλόφυλον· ἀλλόφυλον γὰρ ἐνόμιζον τὸν μὴ τοῖς λόγοις τῶν σεπτῶν ἀποστόλων καὶ τῇ παραδόσει τῶν πατέρων ἑπόμενον, ἀλλ' ἑτέρως λαλοῦντα καὶ παραχαράττοντα τὴν ἀλήθειαν. Τί οὖν ποιεῖ καὶ πῶς τὴν κατ' ἐκείνων ὁρμὴν αὐτοῦ διατίθησι; Συναθροίσας τοὺς ὑπ' αὐτὸν ἐπισκόπους, σύνοδον συγκροτεῖ, καὶ πρῶτον μὲν ταῖς τῶν θείων πατέρων δόξαις καὶ γραφικαῖς χρησάμενος χρήσεσιν, εἶτ' ἐπὶ ταύταις

7 *ποιμαίνων* Α. — 15 *ὀρθοτομοῖ τὸ* Β. — 19 *ποιμενομένους* ΒΓ. — 20 *διαφθείροιντο* ΒΓ. — 24 Βασιλ. 1, ιζ', 49 || *ἐνόμιζον ἅπαντα* Α. — 27 *γοῦν* ΒΓ. — 30 *ἐπὶ ταύθ'* Β: οὕτω πρότερον καὶ ἐν τῷ Γ.

*

ἐπιστημονικαῖς ἀποδείξεσιν ἐλέγχει μὴ συμβαίνοντας ταῖς ἀποστολικαῖς διδασκαλίαις, μηδὲ ταῖς τῶν σεπτῶν πατέρων, τοὺς ἓν θέλημα καὶ μίαν ἐνέργειαν ἐπὶ τοῦ Κυρίου διδάσκοντας, ὡς μίαν φύσιν ἄντικρυς ἐπ' αὐτοῦ δογματίζοντας καὶ σύγχυσιν καὶ φύρσιν εἰσάγοντας τῶν διττῶν ἐκείνου καὶ ἀσυγχύτων ἀφύρτων τε φύσεων. Οὕτω δὲ στηλιτεύσας τοὺς αἱρετίζοντας καὶ ἀναθέματι τοὺς αὐτὰ φρονοῦντας ὑποβαλών, γραφῇ τε δοὺς τὰ συνοδικῶς διεγνωσμένα καὶ δεδογμένα αὐτῷ, καὶ τῷ πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης — Ἰωάννης ἐκεῖνος ἦν — πέπομφε τὴν περὶ τούτων γραφήν, καὶ ἔσχεν ἐν ἅπασι κἀκεῖνον σύμψηφόν τε καὶ ὁμογνώμονα.

11. Τοιοῦτος ἦν τὴν πίστιν καὶ τὸν ζῆλον ὁ μέγας οὗτος πατήρ, τὴν μὲν ὀρθός τε καὶ ἀπαρέγκλητος, τὸν δὲ θερμός τε καὶ ἀδυσώπητος, μήτε δυναστῶν θρασύτητα εὐλαβούμενος, μήτ' ὀργὴν βασιλέως ὑποστελλόμενος· οὗ Θεὸς τὸ προκείμενον καὶ πίστεως ἀκρίβεια τὸ κινδυνευόμενον. Τοσοῦτον δ' ἦν τὸ παρὰ πᾶσιν αἰδέσιμον τοῦ ἀνδρός, καὶ τοιαύτην λόγου δύναμιν περιέκειτο, ὡς καὶ τὸν Ἡράκλειον αὐτὸν μαθόντα τὰ πεπραγμένα τῷ ἀγχιθέῳ τούτῳ πατρὶ καὶ ὡς ἐστηλίτευσε μὲν καὶ ἀνέτρεψε τὸ δόγμα τὸ μονοθέλητον καὶ τοὺς τοῦτο φρονοῦντας ἀναθέματι κατεδίκασεν, αἰσχυνθῆναι διά τε τὴν πρὸς τὸν ἄνδρα αἰδῶ καὶ διὰ τὴν τῶν γραφέντων ἰσχύν, καὶ μὴ ἀποστῆναι μὲν τῆς αἱρέσεως, βεβαμμένον ἤδη ταύτῃ δευσοποιά τε καὶ δυσαπόνιπτα· οἷόν τι δὲ φάρμακον, εἰς θεραπείαν τάχα τοῦ ἀθέσμου δόγματος κεραννύς, θέσπισμά τι γράφει βασίλειον μήτε ἑνιαίαν ἐνέργειαν, μήτε διπλῆν ὁμολογεῖν ἐν Χριστῷ, κακῷ τὸ κακὸν ἐξιώμενος· ὃ οὐκ ἐκείνῳ μόνον ἔδοξε καταγέλαστον τῷ τρισμάκαρι, ἀλλὰ καὶ αὐτοῖς τοῖς τὰ Σευήρου φρονοῦσι καὶ ἀντιδιατιθεμένοις πρὸς τὸ ὀρθόδοξον. Οὐ τοῖς μίαν δὲ θέλησιν εἰσάγουσιν ἐπὶ τοῦ Χριστοῦ καὶ μίαν ἐνέργειαν προφανῶς ἠναντίωτο, τὸν λόγον ὀρθοτομῶν καὶ κρατύνων τὸ εὐσεβές, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν, οἳ ποσῶς πρὸς τὸ ὀρθοδοξοῦν ἀντέβαινον, συνεπλέκετο· ὡς γάρ τις πέλεκυς δίστομος τὰς τῶν ἑτεροδόξων συνέκοπτε φάλαγγας.

9 *ἰωάννῃ* ΒΓ. — 19 *τῷ ἀναθέματι* ΒΓ. — 24 *ἑνιαῖαν* ΒΓ. — 25 *ἐξ ἰώμενος* ΒΓ. — 30 *ἀνταίβαινον* Α.

Digitized by Google

12. Καὶ οὐ περὶ ταῦτα μόνον ἠσχόλητο, ἀλλὰ καὶ ᾄσματα συνετίθει καὶ τῇ ἐκκλησίᾳ παρέδωκεν εἰς ὕμνον τοῦ κρείττονος· ἅπερ οἷα μὲν τὸν νοῦν καὶ τὴν φράσιν εἰσίν, οἷα δὲ τὸν φθόγγον καὶ τὴν ἁρμονίαν καὶ τὸν ῥυθμὸν καὶ τὸ μέλος τὸ ἐκ τούτων συντιθέμενον ἢ κιρνώμενον, ὁ τούτοις ἐντευξόμενος καὶ ᾀδομένοις τὰς ἀκοὰς ὑποθεὶς εἴσεται καὶ θαυμάσεται. Καὶ οὐδὲ μέχρι τούτων ἔστη τῷ σοφῷ τούτῳ καὶ θεοφόρῳ πατρὶ τὸ φιλόπονον, ἀλλὰ καὶ συγγράμματα τῇ τῶν ὀρθοδόξων ἐκκλησίᾳ καταλέλοιπε, ψυχικὴν ὠφέλειαν περιποιοῦντα τοῖς ἐπιοῦσι ταῦτα προσεκτικώτερον· οἷον καὶ τὸ περὶ τῆς Αἰγυπτίας Μαρίας τῆς ὁσίας καὶ σεβασμίας γυναικὸς ἐκείνης ὑπάρχει διήγημα, δι' οὗ παρακαλεῖ πρὸς μετάνοιαν καὶ τοὺς ἡμαρτηκότας ἀσύγγνωστα, ὑπόδειγμα παρατιθεὶς τὴν ἀοίδιμον ἐκείνην τοῖς πταίουσι καὶ ὡς ἐν πλάσματι διηγήσεως δεικνὺς αὐτοῖς τῆς μετανοίας τὴν δύναμιν καὶ τοῦ Θεοῦ τὸ συμπαθὲς καὶ φιλάνθρωπον· οὗ δῆτα λόγου τί ἄν τις πρῶτον θαυμάσαιτο; τὴν συνθήκην; τὸ κάλλος; τὸ δίαρμα; τὴν ἐν τῇ διηγήσει τῶν ἀσέμνων σεμνότητα; τὸν ποικίλον τοῦ λόγου σχηματισμόν; τὸ εὐκρινές; τὴν σαφήνειαν; Δόξαις ἂν ἐνωτιζόμενος, ἀκροατά, τὴν διήγησιν οὐκ ἀκροᾶσθαι τῶν γεγονότων, ἀλλ' ὁρᾶν ἄρτι ταῦτα γινόμενα· οὕτως ἐναργῶς ὁ λόγος τὰ πραχθέντα παρίστησι! Τοιοῦτος ἦν τὸν λόγον ὁ εὐφημούμενος καὶ οὕτω τὴν γλῶτταν εἶχε χαρίτων μεστήν.

13. Τοῦτον δὲ τὸν τρόπον βιώσας καὶ τῶν ὀρθῶν δογμάτων ὑπεραγωνισάμενος, καὶ θεὶς τὴν ψυχὴν ὑπὲρ τῆς ποίμνης τῆς τοῦ Χριστοῦ, καὶ ποιμὴν ὡς ἀληθῶς φανείς, ἀλλ' οὐ μισθωτός, ἐπεὶ μὴ τῶν λύκων ἐπιόντων φεύγειν καὶ σῴζειν ἐβούλετο ἑαυτόν, ἀλλ' ἀντεπαλαμᾶτο πρὸς τούτους καὶ ἀνδρικῶς ἀντεμάχετο, καὶ ἀποσοβῶν αὐτοὺς τῇ νοουμένῃ καλαύροπι τὸ ποίμνιον ἔσῳζε καὶ συνετήρει τῷ ἀρχιποίμενι, καὶ πρὸς γῆρας πῖον κατηντηκὼς ἀνεπαύσατο (κατὰ γὰρ τὴν γνώμην τὴν σολομώντειον "θάνατος

8 *καταλοίπει* Β· οὕτω πρότερον καὶ ἐν τῷ Γ· *καταλελοίπει* Α. — 9 *περὶ ποιοῦντα* Β. — 13 *ἀοίδημον* Β. — 18 *σχιματισμὸν* Γ. — 25 μισθωτός;] Ἰωάν. ι', 12, 13. — 28 *καλάβροπι* ΑΒΓ. — 30 *σολομόντειον* Α.

ἀνδρὶ ἀνάπαυσις", καὶ μᾶλλόν γε τῷ τοσούτους ἀναδεδεγμένῳ κόπους καὶ ἱδρῶτας οὕτω βαρεῖς, τοὺς μὲν ἵνα ταπεινώσῃ τὴν σάρκα καὶ ὑποτάξῃ ταύτην τῷ πνεύματι, τοὺς δ' ἵνα τηρήσῃ τὴν πίστιν ἀνόθευτον καὶ τὴν τῶν θείων πατέρων παράδοσιν ἀπαράτρωτον), καὶ τὴν κάτω λιπὼν Ἱερουσαλὴμ μετέβη πρὸς τὴν ἄνω, τὴν τῶν πρωτοτόκων μητρόπολιν, ἣν πατοῦσι πόδες πραέων, τῶν ἐπεγνωκότων γνησίως τε καὶ ὀρθῶς τὸν Θεὸν καὶ πατέρα καὶ τὸν μονογενῆ αὐτοῦ Λόγον καὶ ὁμοούσιον καὶ τὸ πνεῦμα τὸ ἅγιον, τὴν μακαρίαν τριάδα καὶ συμφυῆ καὶ ὁμότιμον· ᾗ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1 Ἰὼβ γ', 23. 6 ἣν πατ. πόδες πραέων] Ἠσαΐου κς', 6.

Digitized by Google

VIII.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΣΩΦΡΟΝΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

λόγος εἰς τὸ ἅγιον βάπτισμα.

(Cod. 228 monasterii Διονυσίου in monte Atho, f. ρλα'-ρμγ')[1].

1. Πάλιν φῶς προερχόμενον, καὶ πάλιν ἐγὼ φωτιζόμενος· πάλιν αὐγὴ αὐγάζουσα, καὶ πάλιν ἐγὼ αὐγαζόμενος· πάλιν φαιδρότης φαιδρύνουσα, καὶ πάλιν ἐγὼ φαιδρυνόμενος. Πάντα φωτεινὰ καὶ ὑπέρλαμπρα, πάντα διαυγῆ καὶ ἀστράπτοντα καὶ τὴν τῆς ἡμέρας βοῶντα φαιδρότητα. Οὐρανῶν αἱ δυνάμεις εὐφραίνονται καὶ ἡ γῆ τοῖς οὐρανίοις συναγάλλεται· τὸν ἐμὸν φωτισμὸν ἑορτάζοντα τὰ ὄρη σκιρτάτωσαν καὶ τὰ τῶν κριῶν μεγάλα μιμείσθω πηδήματα· οἱ βουνοὶ διαλλέσθωσαν καὶ τὰ τῶν ἀνθρώπων ἐκτελείτωσαν ἅλματα· φευγέτω θαλάττια ὕδατα, τὰ τὴν εὐρύχωρον καὶ θαλαττίαν ἁμαρτίαν ἡμῖν ὑπογράφοντα. Ὁ Ἰορδάνης τρεχέτω δρόμον δι' ἐμὲ τὸν ὀπίσθιον· ἐγὼ γάρ εἰμι ὁ καλῶς εἰς τὰ ὀπίσω στρεφόμενος καὶ αὖθις παιδίον γινόμενος διὰ τῆς πνευματικῆς καὶ ὑδα-

[1] Σ. Π. Λάμπρου, Κατάλογος τῶν ἐν ταῖς βιβλιοθήκαις τοῦ Ἁγίου Ὄρους ἑλληνικῶν κωδίκων. Τόμος πρῶτος, σ. 376. Ὁ 228-ος κῶδιξ τῆς μονῆς τοῦ Διονυσίου ἐγράφη μεταξὺ τῶν ἐτῶν 1420 καὶ 1421. Ὁ αὐτὸς λόγος τοῦ ἁγίου Σωφρονίου εὑρίσκεται καὶ μεταξὺ τῶν φύλλων 104-1C8 τοῦ 158-ου τῆς αὐτῆς μονῆς κώδικος, ὃς ἐγράφη ὑπό τινος Δανιὴλ τῇ ἑκκαιδεκάτῃ ἑκατονταετηρίδι· τούτου δὲ τοῦ κώδικος, ὃν ὀνομάζω B ἐν ταῖς ὑποσημειώσεσι, παρατίθεμαι ἐνταῦθα τὰς μέχρι τοῦ 7-ου κεφαλαίου συλλεγείσας διαφορότητας. Ἕτερον ἀντίγραφον τοῦ εἰς τὸ βάπτισμα λόγου τοῦ Σωφρονίου ὅρα παρὰ τῷ Φαβρικίῳ, Bibl. graeca, τ. X, σ. 242.

Digitized by Google

τώδους ἀναγεννήσεως, καὶ οὕτως ὡς παιδίον ἀρτιγενὲς καὶ ἀπόνηρον καὶ κακίας πάσης ἐλεύθερον εἰς βασιλείαν οὐρανῶν ἀναγόμενος. Διὰ τοῦτο χαρὰ τοῖς οὐρανίοις ἐφήπλωται δι' ἐμὲ τὸν ἀπὸ γῆς εἰς οὐρανοὺς ἀνυψούμενον· διὰ τοῦτο θυμηδίας τερπνῆς ἀγαλλίασις τοῖς ἐπιγείοις ἐγκεκράτηται σήμερον, ὅτι τῆς ἐμῆς ὁρᾷ σωτηρίας τὴν γέννησιν, ὅτι τῆς ἐμῆς δᾳδουχίας δέρκει τὴν ἔλλαμψιν, ὅτι τῆς ἐμῆς δουλείας ὁρᾷ τὴν ἀπόθεσιν, ὅτι τῆς ἐμῆς ἐλευθερίας ὁρᾷ τὴν προέλευσιν, ὅτι τῆς ἐμῆς ῥυπαρίας ὁρᾷ τὴν ἀπόνιψιν, ὅτι τῆς ἐμῆς καθαρότητος νοεῖ τὴν λαμπρότητα, ὅτι τῆς ἐμῆς υἱοθεσίας βλέπει τὴν γέννησιν, μᾶλλον δὲ θαυμαστὴν ἀναγέννησιν — οὕτω γὰρ εἰπεῖν εὐπρεπέστατον—, οὐκ ἐκ θελήματος σαρκὸς ἀναθρώσκουσαν, οὐδὲ ἐκ θελήματος ἀνδρὸς ἀναβλύζουσαν, ἀλλ' ἐκ θελήματος Θεοῦ ἀνατέλλουσαν. Ἐκεῖνα τῆς κάτω γεννήσεως, ταῦτα τῆς ἄνω κυήσεως· ἐκεῖνα τοῦ πρώτου Ἀδὰμ τὰ χαρίσματα, ἅπερ αὐτοῦ τοῖς τέκνοις, ἡμῖν, προεξένησε, Θεῷ γεγονὼς ἀνυπήκοος καὶ παραβὰς αὐτοῦ τὸ διάταγμα. Ταῦτα τοῦ δευτέρου Ἀδὰμ τὰ δωρήματα, ἅπερ ἡμῖν τοῖς αὐτοῦ φοιτηταῖς ἐδωρήσατο, Θεῷ γεγονὼς τῷ τεκόντι ὑπήκοος καὶ φυλάξας αὐτοῦ τὴν ἐντολὴν ἀπαράτρωτον, ὡς κατ' ἐμὲ γεγονὼς ἄνθρωπος καὶ μέχρι σταυροῦ καὶ θανάτου τὴν ὑπακοὴν ἐνδειξάμενος· "ἐντολὴν γὰρ ἔλαβον", φησί, "παρὰ τοῦ πατρός μου τί εἴπω καὶ τί λαλήσω, καὶ ἐγὼ τὴν ἐντολὴν τοῦ πατρός μου ἐφύλαξα". Οὐκ ἀπαξιοῖ ταῦτα λέγειν δι' ἐμὲ καὶ φθέγγεσθαι, ἐπειδὴ γενέσθαι κατ' ἐμὲ κατηξίωσε, σάρκα προσλαβὼν ὁ ἀσώματος ἐκ παρθένου βλαστήσασαν αἵματος καὶ ψυχὴν νοερὰν καὶ ἀόρατον καὶ ψυχαῖς ταῖς ἡμετέραις ὁμόφυλον· ταῦτα γὰρ καὶ πᾶς πέφυκεν ἄνθρωπος ἐξ Ἀδὰμ φυσικῶς καταγόμενος καὶ σῴζων πρὸς αὐτὸν τὴν συγγένειαν ὡς συμφυὴς υἱὸς καὶ ἀπόγονος. Ταῦτα καὶ ὁ Λόγος τοῦ Θεοῦ καὶ Θεὸς ὁ τούτων κτίστης γεγένηται, σῶσαι βουληθεὶς τὸ ἀνθρώπινον φύραμα, ὡς ἔργον ἰδικὸν καὶ πλαστούργημα τοῦ τεκόντος Θεοῦ, συνθελήσαντος καὶ τοῦ συγγενοῦς εὐδοκήσαντος πνεύματος· μία γὰρ

2 *ἀναγόμενον* A. — 6 *δέρκει* A, *βλέπει* B. — 17 *δωρήματα* B, *ῥήματα* A. — 21 Ἰωάνν. ιβ', 49. ιε', 10 || *παρὰ* A, *ἀπὸ* B. — 27 τὸ *φυσικῶς* ἔλαβον ἐκ τοῦ B.

Digitized by Google

τῆς μακαρίας τριάδος ἡ βούλησις, ἐπειδὴ καὶ μία αὐτῆς οὐσία καὶ θεότης πεπίστευται. Διὰ ταῦτα φῶς πρὸς τὸν λύχνον πορεύεται, τὸν ἐμὸν φωτισμὸν οἰκειούμενος καὶ ποιῆσαι τὸν λύχνον οὗπερ ἦν φωτεινότερον· καὶ ὁ Λόγος πρὸς τὴν φωνὴν παραγίνεται, τὸν ἀλογωθέντα με ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ πάθεσι λογῶσαί τε καὶ σοφῶσαι βουλόμενος· καὶ ὁ δεσπότης πρὸς τὸν δοῦλον κατέρχεται, τὸν δοῦλον ἐμὲ ἐλευθεροῦν ἐφιέμενος· καὶ τῷ στρατιώτῃ ὁ βασιλεὺς ὑποκλίνεται, εἰς βασιλείαν ἐμὲ προαγόμενος, καὶ ταύτην οὐράνιον, ἐπειδὴ καὶ αὐτός ἐστι βασιλεὺς ἐπουράνιος· τὸν δρόμον, τὸν Πρόδρομον, ἐνδείκνυται ὁ πανταχοῦ παρὼν ὡς Θεὸς ἀπερίγραπτος, καὶ στείλας αὐτοῦ προτρέχειν τὸν Πρόδρομον, καὶ βοᾶν αὐτοῦ τὴν σωτήριον ἄφιξιν, καὶ κηρύττειν αὐτοῦ τὴν θεουργὸν θεοφάνειαν· θεοῖ γὰρ ἐμὲ τὸν σαρκικὸν ἐμφαινόμενος καὶ Θεῷ προσοικειοῖ τῷ γεννήτορι τὸν πάλαι Θεοῦ φυγάδα γενόμενον καὶ δραπέτην μέχρις αὐτοῦ χρηματίσαντα.

2. Ἀλλὰ καὶ πρὸς τὸν Ἰορδάνην καὶ Ἰορδάνου τὰ νάματα τῆς ζωῆς ἡ πηγὴ καὶ τῆς ἀθανασίας πρόεισιν, οὐχ ἁλμυρὸν ἐπικλύζουσα, οὐδὲ φθαρτικὸν ἐπιρρέουσα, ἀλλὰ ζωοποιὸν πελαγίζουσα καὶ φωτοειδὲς ἐξαστράπτουσα· ἀλλὰ καὶ πρὸς τὸν βαπτιστὴν αὐτὸν καὶ βαπτίζοντα μόνον τοῖς ὕδασιν ὁ βαπτίζων ἐν πνεύματι γίνεται καὶ βαπτισθῆναι ζητεῖ, καὶ τὴν κάθαρσιν σκήπτεται ὁ πάντων καθαίρων τὰ πταίσματα καὶ πάντα ῥύπον ψυχικὸν ἀπορρύπτων τῷ πνεύματι, τὴν ἐμὴν μνηστευόμενος κάθαρσιν καὶ τὴν ἐμὴν τεχνιτεύων λαμπρότητα. Διὰ τοῦτο ἡ φωνὴ μὲν βοᾷ, καταχτυπεῖ δὲ μεγάλως τὴν ἔρημον καὶ ἐκφοβεῖ τὸν Ἰορδάνην τῷ φθέγματι· "ἑτοιμάσατε τὰς ὁδοὺς Κυρίου· εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν"· ὁ γὰρ Θεὸς ἦν αὐτοῦ καὶ πλάστης καὶ κύριος ὁ πρὸς αὐτὸν σαρκικῶς ἀφικνούμενος καὶ σαρκικὸν λαμβάνειν ὀρεγόμενος βάπτισμα· τοῦτο γὰρ καὶ πάσης δικαιοσύνης τὸ πλήρωμα· τίς γὰρ στόμα φέρων ἀνθρώπινον; ὁ φράσαι Θεοῦ δικαιοσύνην δυνάμενος, ἥτις καὶ πᾶσαν βαθυτάτην τοῖς πταίσμασι

17 οὐκ AB. — 24 τεχνῄτεύων B. — 25 καταχτυποῖ B. — 26 Ματθ. γ', 3. Μάρκ. α', 3. Λουκ. γ', 4.

Digitized by Google

φάρυγγα τῆς θείας ποιεῖ πληροῦσθαι πληρώσεως, καὶ πᾶν ὄρος τυραννικὸν καὶ ὑπερήφανον, τὴν κατὰ Θεὸν νοσοῦν τυραννικὴν τραχηλίασιν, ταπεινὸν ἀποδείκνυσι καὶ χθαμαλὸν ἀπεργάζεται, καὶ τὰ σκολιὰ εὐθῆ δημιουργεῖ καὶ ὀρθότατα, καὶ τὰ τραχέα καὶ δυσχερῆ καὶ δυσπόρευτα πρὸς λείας ὁδοὺς μετατίθησι καὶ πρὸς εὐπορεύτους πορείας μεθίστησιν· ἔχει γὰρ ἰσορροποῦντα τὸ θέλειν, τὸ δύνασθαι, καὶ σύνδρομον τῇ βουλήσει φέρει τὴν δύναμιν. Ταύτης ὁ βαπτιστὴς δεδιὼς τὴν ἐμφάνειαν, καὶ μάλα γενικῶς ὑποτρέμων τὴν ἄφιξιν, ὀκνηρότερος γίνεται πρὸς τὴν τῶν αὐτῷ κελευομένων ἐγχείρησιν, κηρύττων τὸ δι' ὕδατος βάπτισμα, ὅπερ ἦν τοῦ σωτηρίου βαπτίσματος πρόδρομον· ᾗ μόνον γὰρ ἐνῆγεν εἰς μετάνοιαν τὸν προκαθαρτικῶς αὐτὸ βαπτισάμενον. Ἀναδύεται καὶ ἀναβάλλεται καὶ δειλιῶν προφανῶς ὑποστέλλεται καὶ μεγάλῃ βοᾷ τῇ φωνῇ, Χριστὸν ὀφθαλμοῖς θεασάμενος, τῆς θείας δικαιοσύνης τὸν τέκτονα· "Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι καὶ σὺ ἔρχῃ πρός με"; Καὶ οὐ ψεύδεται τοῦτο φθεγγόμενος· ἥττηται γὰρ τῇ τοῦ Θεοῦ δικαιοσύνῃ τὰ σύμπαντα καὶ ἀσυγκρίτως κεῖται κατώτερα τῆς ἀκροτάτης αὐτοῦ καθαρότητος. "Καὶ πῶς βαπτίζεις, ὦ βαπτιστά, αὐτὸς βαπτισθῆναι δεόμενος; καὶ πῶς καθαίρεις τοὺς ῥυπαροὺς ἁμαρτήμασι, χρήζων αὐτὸς τοῦ καθαίροντος, διὰ τοῦτο δέ", φησί, "πόρρω τυγχάνων θεϊκῆς τελειότητος καὶ ἀνθρωπίνων μολυσμῶν οὐκ ἀμέτοχος; οὐδεὶς γὰρ καθαρὸς ἀπὸ ῥύπου, οὐδ' ἂν μίαν ἡμέραν μόνον βιώσειε, καὶ οὐδεὶς ἁγνὴν τὴν καρδίαν ἔχειν καυχήσοιτο, φύσιν χοϊκὴν κληρωσάμενος".—"Ἐγὼ μὲν βαπτίζω ὑμᾶς τοὺς ἐμοῦ πλεῖον ῥυπῶντας τῷ ὕδατι, μικρὰν ὑμῖν τῇ μετανοίᾳ παρεχόμενος ἔκπλυσιν καὶ προκαθαίρων ὥσπερ ὑμᾶς τῆς ἀπείρου τε καὶ δυσεκπλύτου ῥυπάνσεως, μέσος δὲ ἕστηκεν, ὃν ὑμεῖς οὐ γινώσκετε, ὅστις ὑμᾶς πυρὶ βαπτίσει καὶ πνεύματι, καταφρύγων ὑμῶν πᾶσαν ἁμαρτημάτων τὴν ἅλωνα καὶ ἐκφυσῶν πάντα τῆς ὑμῶν πλημμελείας τὰ ἄχυρα· οὗ τὸ πτύον χειρὶ τῇ θείᾳ βαστά-

5 *λίας* A. — 6 *τῷ* B. — 14 *θείας* A, *θεοῦ* B. — 15 Ματθ. γ', 14. — 21 δὲ] γὰρ AB || τὸ *φησὶ* ἐλλείπει τῷ B. — 22 οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου] Ἰὼβ ιδ', 4. — 24 ἐγὼ μὲν βαπτίζω κέ] Ἰωάν. α', 26-27. Ματθ. γ', 11-12. Λουκ. γ', 16, 17.

Digitized by Google

ζεται καὶ ὅλην αὐτοῦ διακαθαίρει τὴν ἅλωνα, καὶ ᾧ τὸν μὲν σῖτον αὐτὸς τὸν καθαρὸν αὐτῷ προσφερόμενον καὶ ζιζανίων ὄντα κακίστων ἐλεύθερον εἰς ἀποθήκην τιθεῖ τὴν οὐράνιον, ὅπου σὴς οὐκ ἐκφαίνεται καὶ ὅπου λῃστὴς οὐκ εἰσέρχεται, ὃ μὲν φθείρων κακῶς τὸ ἀπόρρητον, ὃ δὲ κλέπτων χαλεπῶς τὸ θησαύρισμα· τὸ δὲ ἄχυρον ἀσβέστῳ πυρὶ κατακαύσειεν, ὡς ἀποθηκῶν οὐρανίων οὐκ ἄξιον. Ἔχει δὲ τῆς δικαιοσύνης ὁ πρύτανις καὶ τὴν ἀξίνην τῷ πτύῳ συνόμιλον καὶ τῇ ῥίζῃ τῶν δένδρων ἀκόλουθον, πᾶν δένδρον μὴ καρποφοροῦν καρπὸν τὸν θεάρεστον ἀκαμάτως ἐκκόπτουσαν (Θεοῦ γὰρ τοῦτο δικαιοσύνῃ ψηφίζεται) καὶ ἀσβέστῳ πυρὶ παραπέμπουσαν, ἐν ᾧ τὸ ἄχυρον καίεται, ἀκοιμήτῳ φλογὶ βυθιζόμενον. Μετανοίας οὖν καρπὸν εὐθύνω τὸν ἄξιον, τοὺς μετανοίᾳ δεχομένους τὸ βάπτισμα, καὶ μὴ ταῖς ἐξ Ἀβραὰμ κελεύω προσβολαῖς ἐναβρύνεσθαι, ἀλλὰ πίστει καὶ ἔργοις τοῖς Ἀβραὰμ καλλωπίζεσθαι· τοὺς γὰρ τοῦτο δρᾶν οὐκ ἐθέλοντας, ἐχιδνῶν καλῶ δικαίως γεννήματα καὶ οὐ πατριάρχου Ἀβραὰμ βλαστήματα. Τοῦτο δέ φημι καὶ ἀληθῶς ἀποφαίνομαι, ὅτι δύναται ὁ Θεὸς ὁ παντοδύναμος καὶ ἐκ λίθων ἀκάρπων τῆς ἐθνικῆς ἀγνοίας ἐγεῖραι τέκνα φανότατα, Ἀβραμιαίαις ἀρεταῖς καλλυνόμενα καὶ εἰκότως αὐτῷ τῷ Ἀβραὰμ διὰ τῆς αὐτῆς οἰκειούμενα πίστεως, ἅπερ ἐξ ἀγριελαίου παλαιοῦ πάλαι φυόμενα καὶ νεκρότητα λίθων τῇ ἀκαρπίᾳ μιμούμενα εἰς καλλιελαίου φύσιν μετάγεται, μετακεντριζόμενά τε καὶ μεταλλευόμενα καὶ ἄμειψιν τὴν καλὴν ὑπομένοντα, καὶ καρποφοροῦντα τῷ Θεῷ τῷ τὸν μετακεντρισμὸν αὐτῷ ἐνεργήσαντι καὶ καρπὸν αὐτῷ θυμηρέστατον, οὐ τὸν παλαιὸν καὶ πικρότατον, ἀλλὰ τὸν νέον ἀληθῶς καὶ καινὸν καὶ γλυκύτατον· πίστιν φημὶ τὴν Ἀβραὰμ καὶ ἀμώμητον, ἧς Ἰουδαῖος ὁ νῦν ἀπωλίσθησε, καὶ πράξεις πατριαρχικὰς καὶ προαίρεσιν, ὧν ὁ σαρκικὸς Ἰσραὴλ ἀποπέπτωκε· τὰ γὰρ ἀρχαῖα καὶ παλαιὰ νυνὶ παρελεύσεται, καὶ τὰ

9 πᾶν δένδρον κέ] Ματθ. γ', 10. ζ', 19. — 13/19 Ματθ. γ', 9. Λουκ. γ', 8. — 16 *οὐκ Ἀβραὰμ τοῦ πατριάρχου* B. — 19 *φανώτατα* A. — 22 Ῥωμ. ια', 24 || *μετακεντριζόμενα* B, *μακαριζόμενα* A. — 24/26 Ῥωμ. ζ', 5-6. — 27 *ἀπολίσθησε* A. — 29 Κορινθ. 2, ε', 17.

Digitized by Google

πάντα Θεοῦ καινὰ γίνεται χάριτι Χριστοῦ τοῦ τοῖς παλαιοῖς ἐπιλάμψαντος καὶ δρῶντος αὐτῶν δυνάμει θείᾳ τὴν ἐγκαίνισιν, τὴν μὴ κλινομένην ποτὲ πρὸς παλαίωσιν, καὶ φθορὰν παντελῶς οὐ γινώσκουσαν, καὶ ἀφανισμὸν ἰδεῖν οὐκ ἐθέλουσαν· διὰ τοῦτο γὰρ καὶ νόμος ὁ Μωσαϊκὸς πεπαλαίωται καὶ Χριστὸν ἡμῖν ἀνατέταλκεν ὁ πάσης καινιστὴς τῆς ἐξ Ἀδὰμ παλαιότητος καὶ πάντα νεουργῇ καὶ νεότευκτα σοφίᾳ καὶ σθένει θεϊκῷ προβαλλόμενος”.

3. Καὶ ταῦτα μὲν Ἰωάννης βοάτω τὰ ῥήματα τοῖς αὐτὸν ἐρωτᾶν δολερώτατα θέλουσιν, μᾶλλον δὲ ἰουδαϊκώτατα καὶ κακουργότατα σπεύδουσι· “Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστός, οὐδὲ Ἠλίας, οὐδὲ ὁ προφήτης”; Χριστὸς μὲν γὰρ αὐτὸς οὐκ ἐτύγχανεν, ἀλλὰ Χριστοῦ προελήλυθε πρόδρομος, κατασκευάζειν πεμφθεὶς λαὸν περιούσιον, καλῶν ἔργων ζηλωτὴν καὶ ἀξίων δηλονότι τῆς χάριτος· καὶ Ἠλίας οὐκ ἦν ὁ Καρμήλιος, ἀλλ' Ἠλιοὺ προεληλύθει τῷ πνεύματι καὶ ἄσκησιν Ἠλιοὺ φορῶν καὶ ἐνδύματα καὶ ἔρημον οἰκῶν, ἐξ ἧς Ἠλιοὺ ἐνεργείαις ἀγγελικαῖς ἁρπάζεται καὶ ὡς εἰς οὐρανὸν (οὐ γὰρ εἰς οὐρανὸν) ἀναφέρεται· ἀλλ' οὔτε “ὁ προφήτης”. Ἰωάννης προώριστο ὁ τοῖς ἐπιγείοις εἰς σωτηρίαν ἐλθεῖν προσδοκώμενος· Χριστὸν γὰρ ἡμῖν κατεμήνυεν ὁ προφήτης μετὰ τοῦ ἄρθρου λεγόμενος, καὶ τοῦτο ἔχων τῆς ἐνηλλαγμένης αὐτοῦ σημασίας τὸ γνώρισμα· προφήτης γὰρ καὶ ἕκαστος τῶν προφητῶν προσηγόρευτο, ὡς προφητικοῦ χαρίσματος μέτοχος, ἀλλ' οὐ μετὰ τοῦ ἄρθρου λεγόμενος, οὔτε τὸ ἄρθρον ἔχων τῆς τοιαύτης προηγούμενον κλήσεως· “ὁ προφήτης” δὲ μόνος ὁ Χριστὸς ὠνομάζετο, ὁ τὴν πατρικὴν βουλὴν προσφθεγγόμενος, ὡς Θεοῦ βουλὴ καὶ λόγος καὶ σύμβουλος, καὶ πᾶσι προφήταις αὐτὸς διδοὺς τὸ προσφθέγγεσθαι, καὶ πνεῦμα τὸ προφητικὸν χαριζόμενος, καὶ ταύτῃ τῶν ἄλλων προφητῶν διιστάμενος καὶ τὴν πρὸς αὐτοὺς οὐ δεχόμενος σύμβασιν. Ἀλλὰ τί; Τοῦτον ὁ βαπτιστὴς θεασάμενος καὶ καταπλαγεὶς αὐτοῦ τὴν ταπείνωσιν, ἔνθους πληρούμενος καὶ πνεύματος ἔφησεν· “Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι καὶ

2 ἐγκένισιν B. — 6 κενιστὴς B. — 9 κακουργώτατα B. — 10/11 Ἰωάν. α', 25. — 31 Ματθ. γ', 14.

Digitized by Google

σὺ ἔρχῃ πρός με"; καὶ καλῶς ὁ νόμος λέγει τῇ χάριτι· ἔχρῃζε γὰρ ὁ νόμος τῆς χάριτος, ἐπεὶ μηδὲν ἐλθὼν τετελείωκε, μήτε τὴν ἀνθρωπείαν νόσον ἰάσατο, ἣν ἐν Παραδείσῳ πάλαι ἡ φύσις ἡ ἀνθρωπεία νενόσηκεν, ἀλλὰ παιδαγωγὸς μὲν ἄριστος γέγονε καὶ καλῶς εἰς Χριστὸν παιδαγωγήσας τοὺς τὸ βάθος αὐτοῦ τὸ μυστικὸν κατοπτεύσαντας καὶ οὐ τοὺς μόνῃ τῇ ἐκλείψει τοῦ γράμματος τὴν πᾶσαν αὐτοῦ περιγράψαντας δύναμιν καὶ πάντῃ αὐτοῦ τὸν σκοπὸν ἀγνοήσαντας καὶ τὸ ἐν αὐτῷ κρυπτόμενον οὐ νοήσαντας ἴαμα. "Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι καὶ σὺ ἔρχῃ πρός με; ἁμαρτίαν αὐτὸς οὐ πεποίηκας, οὔτε δόλον ἐκ στόματος ἔλεξας, καὶ τί τοῦ ἐμοῦ προσδέῃ βαπτίσματος; Αὐτός με βαπτίζειν τοὺς ῥυπῶντας ἀπέστειλας καὶ πῶς σε βαπτίσω τὸν ῥύπον μὴ ἔχοντα; πῶς σε βαπτίσω τὸν καθαρὸν καὶ ἀμίαντον, αὐτὸς ἐγὼ τοιαύτην οὐ πλουτῶν καθαρότητα; πῶς σε βαπτίσω πάντας καθαίροντα, αὐτὸς τῆς σῆς μᾶλλον χρῄζων καθάρσεως; πῶς σε βαπτίσω τὸν μετανοίας οὐ χρῄζοντα; βάπτισμα γάρ μοι μετανοίας δεδώρησαι· τοῦτο τῶν ἁμαρτίαις βεβαρημένων ὑπάρχει τὸ βάπτισμα, οὐδὲ τούτων αὐτοῖς παρεχόμενον ἄφεσιν, ἀλλὰ πρὸς ἐπιστροφὴν καλοῦν καὶ μετάνοιαν, ἵνα εἰς σὲ τὸν σωτῆρα πιστεύσωσιν, ἵνα εἰς σὲ τὸν μετ' ἐμὲ φανησόμενον τὰς αὐτῶν ἐλπίδας ἀναρτήσωσι. Πῶς σε βαπτίσω τοῖς ὕδασι τὸν βαπτίσαι με μέλλοντα πνεύματι, οὗπερ ἐγὼ πρὸ πάντων βαπτίσματος δέομαι, ὡς μετὰ πάντων καὶ αὐτὸς μολυσμοῖς ἐνεχόμενος: Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με";

4. Ὁ λύχνος τῷ φωτὶ διαλέγεται, ἡ φωνὴ τῷ λόγῳ προσφθέγγεται, ἡ πηλὸς τῷ κεραμεῖ ἀποκρίνεται, ὁ δοῦλος τῷ δεσπότῃ φησὶν ἐκπληττόμενος· "Τί τοῦτο ποιεῖς, ὦ δέσποτα; οἶδά σε τίς εἶ καὶ πόθεν ἐλήλυθας· ἐν κοιλίᾳ σε προσεκύνησα, ἐν γαστρὶ ἔτι τελῶν τὴν σὴν ὡμολόγησα δύναμιν· κόλποις ἔτι τῆς ἐμῆς μητρὸς ἐνειλούμενος, παρουσίαν τὴν σὴν κατενόησα· μυστικωτάτῳ σκιρτήματι τὴν σὴν ἠγαλλιασάμην τοῖς πᾶσι χαροποιὸν ἐμφάνειαν

11 τί τοῦ A, τοιοῦτ' B. — 17 βεβαρυμένων B || ὑπάρχοντα βάπτισμα A. — 29 ἐμῆς μητρὸς A, μητρικοῖς B.

Digitized by Google

καὶ τῇ μητρικῇ γλώττῃ καὶ στόματι κυριότητα τὴν σὴν ἀνεκήρυξα, ἐπεί μοι φύσις τότε λαλεῖν οὐκ ἐπέτρεπε· νῦν δὲ λαλῶ καὶ ἐξίσταμαι, ἐπειδή μοι λόγον παρέσχηκας καὶ ζῷον λάλον ἐπὶ γῆς ἐδημιούργησας· πῦρ καταναλίσκον εἶ τῇ θεότητι, καὶ πῶς σου τολμήσω ἐφάψασθαι; οὐκ εὐθέως ὅλως καυθήσομαι τολμῶν ἀνθρώποις ἀτόλμητα; Παῦσον, ὦ δέσποτα, ἐμοὶ θεσμοθετῶν τὰ ἀδύνατα· ἀδύνατον γάρ τοῦτό ἐστι καὶ ἀμήχανον, οὐ μόνον ἀνθρώποις, ἀλλὰ καὶ Ἀγγέλοις αὐτοῖς τὸ ἐπιχείρημα. Ἕτοιμός εἰμι πρὸς τὴν κέλευσιν, ἀλλὰ φόβος με κωλύει τοῦ πράγματος καὶ τῆς τοιαύτης ἐγχειρήσεως ἵστησιν. Οἶδ' ὅτι πολλὴν τὴν συγκατάβασιν δέδειχας, πρὸς τοσαύτην κατελθὼν ταπεινότητα· ἀλλ' ὑπεραίρει τοῦτο τὴν ἀνθρωπίνην εὐτέλειαν· ποῖον δὲ πῦρ βαπτισθήσεται νάμασιν, ἢ βαπτισθὲν εὐθὺς οὐ σβεσθήσεται; Σὺ δὲ πῦρ ὑπάρχων ἀίδιον, πῶς προσκαίροις βαπτισθῆναι κελεύεις τοῖς ὕδασι; πῶς δέ σε ἰδὼν ὁ Ἰορδάνης οὐ φεύξεται, τόπον εὑρηκὼς ἀποδράσεως, ἣν μένειν αὐτὸς αὐτῷ μὴ κελεύσῃς; δύνῃ γὰρ ἅπαντα, ὡς ὄντως ὢν τῶν ἁπάντων ἡνίοχος, δημιουργός τε καὶ κτίστης καὶ πρύτανις". "Ἀλλὰ τί ταῦτα"; τὸ φῶς τὸ ἀληθινὸν πυνθανόμενον πρὸς τὸν λύχνον φησὶ τὸν φθεγγόμενον· "Εἰ Θεόν με φῂς εἶναι παντοδύναμον, πῶς καὶ τοῦτο δ' ἂν οὐ δυνήσομαι, ἵνα σε μὴ φλέξω πυρὶ τῆς πάντα μου φλέγειν δυνάμεως, τὸν ἐμῇ κελεύσει καὶ οὐ τόλμῃ βαπτίζοντα; Εἰ προφήτης ἐμὸς τυγχάνεις καὶ πρόδρομος, πῶς ὄμμασι προφητικοῖς οὐ τεθέασαι, ὡς μήτρᾳ μὲν παρθένου συνελήφθην καὶ νηδὺς κεκυοφόρηκεν ἄσπορος, καὶ φύσις με θηλῆς λελόχευκε; καὶ πῶς ἐγὼ τεχθεὶς ἀνθρωπότητι παρθενικῶν μαζῶν ἀπεθήλασα, καὶ ὠλέναις μητρικαῖς νηπιάζων βεβάσταγμαι καὶ οὐδέν, ὧν σὺ δειλιᾷς καὶ πεφόβησαι (ταῦτα πάντα σωματικῶς ἐνεργήσας ἐνήργησα· οὐ γὰρ κρῖναι τὸν κόσμον ἐλήλυθα, ἀλλὰ σῶσαι τὸν κόσμον ἀπὸ θλίψεως), πέφυκα, ὡς ἐμὸν καὶ οὐκ ἄλλου τινὸς δημιούργημα; Τί οὖν ἀμελεῖς καὶ ἀναβάλλῃ τὴν κέλευσιν;

8 *ἐγχείρημα* B. — 13 *ὑπάρχον* B. — 16 *ἣν - - κελεύσας* A. — 18 φῶς τὸ ἀληθινὸν] Ἰωάν. 1, β', 8. — 21 *δυνάμεως* A, *δυναμένης θεότητος* B. — 25 *λελόγχευκε* B. — 28/29 Ἰωάν. ιβ', 47.

Digitized by Google

῞Ορα μὴ κριθῇς ἐξ εὐλαβείας ἀνήκοος καὶ γένῃ παρακοῆς τῆς πατρῴας συμμέτοχος. Ἐγὼ κελεύω καὶ τί τὸ ἀντίπαλον; ἐγὼ θεσπίζω καὶ τίς ἀντιτάξεται; οὐκ ἔστι γὰρ τὸ τοῖς ἐμοῖς ἀντιστῆναι δυνάμενον θελήμασι".

5. Τούτῳ Ἰωάννης πειθόμενος, καὶ παιδευθεὶς ἐκ τῶν παρθενικῶν ἐν ταὐτῷ καὶ μητρικῶν ὑποθέσεων Χριστοῦ τοῦ ὄντως τὰ μυστήρια, ἀντιλέγειν ἢ ἀντιφέρεσθαι πέπαυτο καὶ πρὸς τὴν πρᾶξιν ἐβάδιζε, καὶ βαπτίζει Χριστὸν Ἰορδάνου τοῖς νάμασι, τὸν Ἰωάννην αὐτὸν ὁμοῦ καὶ τὸ νᾶμα καθαίροντα καὶ Ἰορδάνην αὐτὸν ἁγιάζοντα· καὶ τοῦτο δεδρακὼς ὁ θεσπέσιος εὐθέως ὁρᾷ τὸν οὐρανὸν ἀνοιγόμενον, κἀκεῖθεν τὸ πνεῦμα ἐκ πατρὸς κατερχόμενον, οὐχ οἷον τῇ οὐσίᾳ καθέστηκεν—τοῦτο γὰρ ὀφθαλμοῖς ἀνθρώπων ἀδιάβατον—, ἀλλ' ἐν εἴδει περιστερᾶς καθιπτάμενον καὶ ἐπὶ Χριστὸν αὐτὸν ἀφικνούμενον, ὡς συγγενὲς ὁμοῦ καὶ ὁμόφυλον καὶ τῆς αὐτῆς ὑπάρχον θεότητος· ἀκούει δὲ καὶ φωνὴν πατρικήν, ὡς ἐρήμου φωνὴ θεοκίνητος, ὑψηλὸν λεγούσης καὶ διαπρύσιον· "Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα". Ὦ φωνῆς οὐρανίας, μαρτυρούσης μὲν Χριστῷ τὴν αὐτὴν τῷ τεκόντι θεότητα (πατρὸς γὰρ ἦν ἡ φωνὴ τοῦ γεννήσαντος), μυσταγωγούσης δὲ τοὺς ἀκούοντας καὶ πρὸ πάντων αὐτὸν τὸν βαπτίσαντα, τῆς μακαρίας τριάδος τὴν ἀρχικωτάτην τε καὶ ἑνιαίαν θεότητα· τό τε γὰρ πνεῦμα ἅγιον, ἀδιάστατον ὂν πατρὸς καὶ υἱοῦ καὶ ἀχώριστον ἐκ πατρός, ἐπὶ τὸν υἱὸν κατελήλυθε, τὴν πρὸς ἄμφω φυσικὴν δεικνύον συγγένειαν, ὡς μίαν νοεῖσθαι καὶ λέγεσθαι ἐν ὁμοτίμῳ τριάδι θεότητα· ἥ τε φωνὴ ἐκ πατρὸς καταθρώσκουσα ἐπὶ τὸν υἱὸν κατεφέρετο, καὶ τοῦτον εἶναι τῷ βαπτιστῇ σαφῶς ὑπεδείκνυε πατρὸς τοῦ βοῶντος υἱὸν ὁμοούσιον, ὡς ἀΐδιον ἀπ' αὐτοῦ τὴν γέννησιν ἔχοντα καὶ αὐτῷ φυσικῶς ὁμοιούμενον οὐσίᾳ καὶ μορφῇ καὶ θεότητι, καὶ οὕτως ἀπ' ἀρχῆς καὶ ἐς ἀεὶ διαμένοντα, ὡς οὐκ ἀπ' ἄλλης οὐσίας καὶ φύσεως ἢ ἐξ ἑτέρας τινὸς ὑποστάσεως, ἀλλ' ἐκ πατρὸς γεννηθέντα καὶ τὴν

3 *ἀντιτάσσεται* B. — 5 *πυθόμενος* AB. — 8/17 Ματθ. γ', 16, 17. — 13 *ἀδιάβατον* A, *ἀδύνατον* B. — 15 *δὲ* B, *τε* A. — 16 *διαπύρσιον* B. — 23 *δεικνύων* A.

πρὸς αὐτὸν οὐσιώδη ταὐτότητα φέροντα καὶ οὐ κατά τι γοῦν παραλλάττουσαν τῶν θεϊκῶν ἀγαθῶν τὴν ἐμφέρειαν· τοῦτο γὰρ προφητικῶς καὶ ὁ βαπτιστὴς ἐπεπαίδευτο καὶ βοῶντος ἀκηκόει τοῦ φήσαντος· "Ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ καὶ πυρί". Ἔνθεν καὶ πρὸ τῆς μαρτυρίας καὶ πράξεως προφητικώτερον ἔφασκεν· "Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι καὶ σὺ ἔρχῃ πρός με"; ὡς γὰρ προφήτης ἁγνότατος τῶν προρρηθέντων ἐθεώρει τὴν ἔκβασιν, ἐπεὶ πῶς πρὸ τοῦ σημείου τε καὶ γνωρίσματος τοῦ δοθέντος αὐτῷ πρὸς τὴν Χριστοῦ τοῦ σωτῆρος φανέρωσιν ἐβόα καὶ ἔκραζεν "Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι καὶ σὺ ἔρχῃ πρός με"; Ἀλλ' ὄντως μεγάλα Θεοῦ τὰ μυστήρια· οὐ μόνον γὰρ προφητείας πνεῦμα τοῖς προφήταις χαρίζεται καὶ τῶν μελλόντων παρέχει τὴν εἴδησιν, ἀλλὰ καὶ πρὸ τῆς τῶν γνωρισμάτων ἀφίξεως ἐμπνεῖ καὶ αὐτὴν τῶν γνωσθησομένων σημείων τὴν δήλωσιν καὶ ἐφ' ὃν ταῦτα προελθόντα φανήσεται· τίνος γὰρ ἑτέρου καθέστηκε τὸ πυρὶ βαπτίζειν καὶ πνεύματι, ἀλλ' ἢ μόνου Θεοῦ τοῦ πυρὸς μὲν διὰ τὴν θείαν φύσιν ὑπάρχοντος, ἔχοντος δὲ καὶ τὸ πνεῦμα τὸ ἅγιον σύμφυτον, ὡς κοινωνὸν τῆς αὐτοῦ φυσικῆς καὶ οὐσιώδους θεότητος; Οὕτω Χριστὸς κατὰ σάρκα βαπτίζεται, τῆς μακαρίας τριάδος εἷς γνωριζόμενος καὶ οὐ διαιρῶν εἰς θεοὺς καὶ θεότητας τὴν μίαν αὐτῆς καὶ οὐ τεμνομένην θεότητα· οὕτω μυσταγωγεῖ τὸν βαπτίζοντα τίς ὁ βαπτίζων πυρὶ τυγχάνει καὶ πνεύματι καὶ τί τὸ μυστήριον τοῦ κατ' αὐτὸν ὑπάρχει βαπτίσματος· οὕτω καθαίρει τὴν φύσιν τοῦ ὕδατος, πυρὶ θεϊκῷ πυρσεύων ὁμοῦ καὶ καθαίρων τῷ τὰ πάντα μυστικῶς ἐκκαθαίροντι, καὶ περιπνέων καὶ ἁγιάζων τῷ πνεύματι τῷ τὰ πάντα πνευματικῶς ἁγιάζοντι, οἷς ἂν ἁγιαστικῶς ἐπιφέροιτο καὶ ἐπὶ πτῆσιν θεϊκὴν ἐπεδείκνυτο.

6. Ποῦ νῦν Ἄρειός ἐστιν καὶ Εὐνόμιος οἱ τὸν μονογενῆ δεινῶς πολεμήσαντες καὶ μὴ εἶναι αὐτὸν ὁμοούσιον πατρὶ τῷ τεκόντι λυττήσαντες, ἵνα καὶ νῦν θεασάμενοι τὸν υἱὸν ὑπὸ πατρὸς μαρτυρού-

4 Ἰωάν. α', 33, 34. — 8 *ἀγνώτατος* A. — 14 *παρέχῃ τὴν εἴδεισιν* A. — 17 *Θεοῦ* A, *Χριστοῦ* B. — 19 *τὸ ἅγιον πνεῦμα* B.

Digitized by Google

μενον, ὡς εἴη ἀγαπητὸς αὐτοῦ υἱὸς δια ταὐτότητα φύσεως, αἰδεσθῶσιν αὐτοῦ τὴν θεότητα, τὴν οὐκ ἄλλην οὖσαν παρὰ τὴν πατρὸς καὶ τοῦ πνεύματος; μία γὰρ τῆς μακαρίας τριάδος ἡ θεότης καθέστηκε, καθὰ καὶ οὐσία μία καὶ φύσις πεπίστευται. Ποῦ νῦν ὁ μιαρός ἐστι Μακεδόνιος ὁ πνευματομάχου κληρώσας ἀξίως καὶ καλῶς τὸ ἐπώνυμον, ἵνα καὶ νῦν ἴδῃ τὸ πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ πατρὸς ἐπὶ τὸν υἱὸν κατερχόμενον καὶ τὴν ἀχώριστον μονὴν ἐπ' αὐτῷ ποιησάμενον, ὅπως καὶ τὸ τῆς οὐσίας ἀχώριστον ἔργῳ δηλώσῃ καὶ πράγματι, ἵνα κἂν νῦν ὁ παγκάκιστος ἔμαθεν, ὡς συγγενές ἐστι καὶ ὁμότιμον πατρὶ καὶ υἱῷ τὸ πνεῦμα τὸ ἅγιον, ὁμοούσιόν τε καὶ ὁμόφυλον καὶ τῆς αὐτῆς ἀμφοῖν κοινωνοῦν ἀπαραλλάκτως καὶ ἀμερίστως θεότητος, καὶ τῆς πνευματομάχου λύττης λοιπὸν ἀποπαύσοιτο; Ποῦ νῦν ἐστιν ὁ θεομάχος Νεστόριος, ὁ ἕνα τῆς μακαρίας τριάδος Χριστὸν ὁμολογεῖν μὴ βουλόμενος, ἀλλὰ ψιλὸν αὐτὸν εἰσηγούμενος ἄνθρωπον καὶ ἕνα τῶν καθ' ἡμᾶς δυσφήμῳ διηγούμενος στόματι, καὶ διὰ τοῦτο οὐδένα τῆς τριάδος εἰπεῖν ἀνεχόμενος, ἀλλ' ἕτερον παρὰ τὴν τριάδα βεβήλως δεχόμενος καὶ τετράδα προσώπων, ὡσαύτως δὲ καὶ ὑποστάσεων, λυττῶν τοῖς ληρήμασιν, ἵνα κἂν νῦν ὁ πανάθλιος ἔμαθεν, ὡς ὄντως τριὰς ἡ τριὰς καὶ τετρὰς οὐδέποτε γέγονεν, οὐδὲ μετέπειτα γίγνεται (εἷς γὰρ καὶ μόνος πατὴρ καθέστηκεν ἅγιος, καὶ εἷς υἱὸς πέφηνεν ἅγιος, καὶ πνεῦμα ἓν καὶ μόνον ἅγιον ἔγνωσται, καὶ διὰ τοῦτο ὁ μὲν πατὴρ βαπτιζομένῳ τῷ υἱῷ μεμαρτύρηκε, τὴν φυσικὴν αὐτῷ προσμαρτυρήσας ἀγάπησιν καὶ δι' αὐτῆς τὸ ταὐτὸν τῆς θεότητος, καίτοι σῶμα ἦν τὸ ὁρώμενον καὶ τότε βαπτιζόμενον ὕδατι καὶ τὴν πατρικὴν μαρτυρίαν δεχόμενον, ἀλλ' οὐ κεχωρισμένον θεότητος, οὔτε τῆς πρὸς αὐτὴν φυσικῆς ἀπερρηγμένον ἑνώσεως· τὸ δὲ πνεῦμα τὸ ἅγιον περιστερᾶς ἐν εἴδει καθίπταται καὶ τὸν μαρτυρούμενον τῷ βλέποντι δείκνυσιν, ἐπ' αὐτὸν τῇ πτήσει γενόμενον καὶ ἀπ' αὐτοῦ μηδαμῶς ἀνιπτάμενον, ἀλλὰ μένον ἐπ' αὐτὸν εἰς ἀεὶ διὰ τὴν εἰς αὐτὸν τμηθῆναι μὴ δυναμέ-

9 δηλώσει AB.

Digitized by Google

νην συγγένειαν καὶ τὸ ταὐτοειδὲς τῆς μιᾶς ὁμοῦ καὶ φυσικῆς ἁγιότητος), ἵνα κἂν νῦν ὁ ἐπάρατος ἔμαθεν, ὡς οὐκ ἄλλος ἦν ὁ υἱὸς ὁ Ἰορδάνου βαπτιζόμενος ὕδατι καὶ ἄλλος υἱὸς ὁ ἔξω διατελῶν τοῦ βαπτίσματος, ὃς καὶ πατρὶ καὶ τῷ πνεύματι κατὰ φύσιν ἦν ὁμοούσιος, ἀλλ' εἷς Χριστὸς καὶ εἷς μονογενὴς καὶ εἷς υἱὸς καὶ εἷς ἐτύγχανε κύριος ὁ τότε σαρκικῶς βαπτιζόμενος, καθὸ ἐξ ἡμῶν λόγος ὢν καὶ σῶμα τὸ ἡμῖν ὁμοούσιον ἔσχηκε, καὶ εἷς ἦν καὶ ὁ αὐτὸς ἀόρατός τε καὶ ὁρώμενος, ἀσχημάτιστος καὶ σχῆμα φέρων ἀνθρώπινον, Θεὸς καὶ σάρξ, λόγος καὶ σῶμα, φυσικὴν συνάφειαν ἔχοντα καὶ σύνθεσιν τὴν καθ' ὑπόστασιν φέροντα, ἥτις καὶ ἕνα Χριστὸν ἡμῖν καὶ υἱὸν ἀποδείκνυσι καὶ οὐ δυάδα Χριστῶν καὶ υἱῶν τὸ παράπαν νοεῖν ὑποτίθεται, καὶ σῴζει μὲν ἑκατέρας τὸ διάφορον φύσεως, ἀναιρεῖ δὲ διὰ τῶν δύο προσώπων καὶ υἱῶν τὸ διάφορον; ὁ γὰρ τῆς ἀρρήτου λόγος ἑνώσεως οὐκ ἀγνοεῖ μὲν τὴν διαφορὰν καὶ διάκρισιν, οὐδὲ τῶν ἑνωθεισῶν οὐσιῶν τὸ ἀσύγχυτον, ἐξίστησι δὲ διαμπὰξ τὴν διαίρεσιν καὶ σὺν αὐτῇ τὴν Νεστορίου τοῦ διαιροῦντος κακόνοιαν, καὶ ἕνα ἡμῖν υἱὸν καὶ Χριστὸν παρατίθεται, τὸν τέλειον Θεὸν καὶ τέλειον ἄνθρωπον τὸν αὐτὸν γνωριζόμενον, τὸν καὶ τότε μὲν ὕδασι δι' ἡμᾶς βαπτιζόμενον καὶ μετὰ ταῦτα δὲ βαπτίζοντα πνεύματι, τὸν ὑπὸ πατρὸς μὲν φωνῇ θεϊκῇ μαρτυρούμενον, ὑπὸ δὲ πνεύματος εἴδει περιστερᾶς τῇ καταπτήσει δεικνύμενον. Ποῦ νῦν Εὐτυχής ἐστιν ὁ θεήλατος, ὁ σῶμα μὴ θέλων ἀνθρώπινον ἐσχηκέναι Χριστὸν καὶ τοῖς ἀνθρώποις ἡμῖν ὁμοούσιον, ἀλλ' ἀσώματον εἰσηγούμενος καὶ μὴ εἶναι λυττῶν κατὰ ἀλήθειαν ἄνθρωπον; ἐλύπει γὰρ αὐτὸν ἡ ἀλήθεια, ἐπειδὴ ψευδολογίας ὑπῆρχε διδάσκαλος· πῶς γὰρ ἄσαρκος ὢν ἐβαπτίζετο, ἢ πῶς σῶμα μὴ ἔχων ἡμῖν ὁμοούσιον τὴν κεφαλὴν ὑπετίθει τῇ χειρὶ τοῦ βαπτίζοντος; σωμάτων γὰρ ἡ ἁφὴ γνωρίζεται, τὸ δὲ ἀνέπαφον καὶ ἔξω γνωρίζεται σώματος, τάχα δὲ καὶ τὸ σχῆμα διώσοιτο καὶ τὸ τριχῇ διαστατὸν ἀπαρνήσοιτο· τοιοῦτον γάρ ἐστι τὸ ἀσώματον. Ἀλλ' ὄντως Λόγος καὶ Θεὸς ὁ ἀσώματος· ἐν γαστρὶ τῆς θεοτόκου παρθένου γενόμενος, ἐξ ἀχράντων αὐτῆς καὶ παρθενικῶν αἱμάτων τὸ σῶμα προσείληφε, καὶ τοῦτο ἑαυτῷ καθ' ὑπόστασιν ἥνωσεν,

Digitized by Google

ἐμψυχωμένην λογικὴν ψυχὴν κατὰ ἀλήθειαν· τούτῳ γὰρ καὶ πᾶς ἄνθρωπος ἀναντιρρήτως γνωρίζεται.

7. Οὕτως ὁ Λόγος ἀσπόρως γενόμενος ἄνθρωπος καὶ κυοφορίας τῆς ἡμῶν ἀνασχόμενος, καὶ ἀληθῶς ἀποτίκτεται, τέλειος ὢν ὁ αὐτὸς ἐν θεότητι καὶ τέλειος ἐν ἀνθρωπότητι, καὶ θεοτόκον αὐτοῦ τὴν γεννήτριαν δείκνυσι καὶ παρθένον, ὡς ἦν μετὰ γέννησιν, μένουσαν (ἐπεὶ πάντα Θεῷ δυνατά), εἷς μένων υἱὸς ἔξω συγχύσεως καὶ εἷς μένων Χριστὸς ἐκτὸς διαιρέσεως, ἐκ δύο μὲν ἔχων τὴν ἕνωσιν φύσεων, θεότητός τε καὶ ἀνθρωπότητος, καὶ ἐν δύο γνωριζόμενος φύσεσι, θεότητί τε καὶ ἀνθρωπότητι, καὶ οὔτε ἐκεῖ πάσχων ἀνάχυσιν, ἐκ δύο λεγόμενος φύσεων, οὔτε ἐνταῦθα μερισμὸν ὑφιστάμενος, ἐν δυσὶ γνωριζόμενος φύσεσιν. Οὕτως οὖν καὶ τότε βαπτίζεται, Θεὸς μὲν ἀφανῶς πιστευόμενος διὰ τὴν ὀφθαλμοῖς οὐ βλεπομένην θεότητα, ἄνθρωπος δὲ καθ' ἡμᾶς θεωρούμενος καὶ ἀφῇ χειρὸς ψηλαφώμενος καὶ οὕτως ὑπέχων τὴν ὑπερτάτην κεφαλὴν τοῦ βαπτίζοντος τῇ χειρί· Θεὸς οὐρανῶν, ὁ αὐτὸς ἀναφὴς καὶ ἀκράτητος, ἁπτὸς ὁ αὐτὸς ὑπῆρχε καὶ κάτοχος σώματι καὶ οὐ φαντασίᾳ φαινόμενος ἄνθρωπος, ὡς ὁ μιαρὸς Εὐτυχὴς τερατεύεται καὶ πρὸ αὐτοῦ Μανιχαῖος λελύττηκε καὶ οἱ τούτων ἐκμανῶς ζηλοῦντες Ἀκέφαλοι, ἵνα τούτοις ὁ βδελυρὸς διδασκόμενος, ὡς σῶμα εἶχε Χριστὸς τὸ ἡμέτερον, μηκέτι παραφρονεῖν καταδέχοιτο, ὡς εἴη Χριστὸς τὸ πρὸς ἡμᾶς φυγὼν ὁμοούσιον καὶ ἄλλου τινὸς κοινωνίαν δεξάμενος σώματος· εἰ γὰρ ὁμολογεῖ κατὰ ἀλήθειαν ἐν Ἰορδάνῃ Χριστοῦ γενέσθαι τὸ βάπτισμα, ὁμολογεῖται καὶ τὸ σῶμα τοῦ Λόγου, περὶ ὃ καὶ τὸ βάπτισμα γέγονεν. Ὁ γὰρ Λόγος σώματος γυμνωθεὶς οὐ βαπτίζεται, ἀλλὰ ἀληθῶς σεσαρκωμένος τὸ βάπτισμα δέχεται· δι' ἡμᾶς γὰρ τοὺς ἀνθρώπους βεβάπτισται, ἵνα, καθάρας τὴν φύσιν ἡμῶν καὶ τὰ ὕδατα, τελείαν καὶ τὴν σωτηρίαν ἡμῖν πραγματεύσηται. Καὶ οὐ τούτου γενομένου χάριν ὁ Λόγος καὶ Θεὸς καθ' ἡμᾶς γεγονὼς ἐβαπτίσθη, ἐπειδή περ αὐτὸς πρὸς Νικόδημον ἔφασκε, τὴν ἡμῶν δημιουργῶν ἀναγέννησιν, ὡς, "ἐὰν μή τις γεννηθῇ δι' ὕδατός τε καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ".

31/32 Ἰωάν. γ', 5.

*

8. Πολλοὶ δὲ πάλιν προφῆται καὶ δίκαιοι, οἵ, ποθοῦντες αὐτοῦ τὴν παρουσίαν θεάσασθαι καὶ ἰδεῖν αὐτὸν ὀφθαλμοῖς ἀφικόμενον σώματι, τῆς παρούσης ζωῆς ὑπεξέβησαν, ἐξ ὕδατος μὴ γεννηθέντες καὶ πνεύματος, καὶ διὰ τοῦτο τῆς οὐρανίου βασιλείας, ταὐτὸν δὲ φάναι τῆς ὄντως ζωῆς ἠλλοτριῶντο, κατὰ τὸν ὅρον αὐτοῦ τὸν θεόλεκτον, τὸν πάντας τῆς οὐρανίου βασιλείας ἐκκλείεσθαι φήσαντα, τοὺς ἐξ ὕδατος μὴ βαπτισθέντας καὶ πνεύματος, μήτε τὴν ἄνωθεν ὑπομείναντας γέννησιν. Ἐκείνοις τὸ βασιλεύειν ἐν οὐρανοῖς χαριζόμενος, τῆς τούτων γὰρ βασιλείας ἐστέρηντο, εἰ μὴ εἰς τὸ αὐτῶν βαπτίζεται πρόσωπον, ὡς πάσης ἔχων τῆς ἀνθρωπότητος πρόσωπον, διὰ τοῦτο καὶ "υἱὸν ἀνθρώπου" συνεχῶς ἑαυτὸν ἐπωνόμαζεν, ἵνα τῷ ἀορίστῳ τοῦ τοιούτου ὀνόματος τῶν ἀνθρώπων τὸ κοινὸν ἡμῖν ὑπεμφήνειεν· ἠδύνατο γὰρ ὡς Θεὸς πάντα δυνάμενος καὶ ἐξ ὕδατος βαπτίσαι καὶ πνεύματος τοὺς αὐτῷ τῇ πίστει προστρέχοντας, οὐ βαπτισθεὶς αὐτὸς Ἰορδάνου τοῖς ῥεύμασι, καθὰ καὶ Ἰωάννης πεποίηκε, βάπτισμα δὲ δούς, αὐτὸς μὴ δεξάμενος βάπτισμα· ἀλλ' ἀνόνητον τοῦτο τοῖς πρὸ αὐτοῦ προφήταις καὶ δικαίοις ἐπεγίνετο· ἔξω γὰρ τῆς βασιλείας ηὐλίζοντο, ἐξ ὕδατος οὐ βαπτισθέντες καὶ πνεύματος, μήτε τὴν ἄνωθεν ἀναγέννησιν ἔχοντες. Ἀλλὰ καὶ τοῦτο τῆς αὐτοῦ φιλανθρωπίας μέγιστον πέφηνε, γνωριμώτατον γενόμενον σήμαντρον, ἣν αὐτὸς πληροῦν εἰς ἡμᾶς προελήλυθεν· ἄδικον γὰρ τοῖς πᾶσιν ἐφαίνετο, εἰ ἐκεῖνοι προφῆταί τε καὶ πατριάρχαι καὶ δίκαιοι οἱ θεαρέστως βιώσαντες καὶ ζωὴν ἐπαινουμένην διώξαντες, ἔργα τε τῆς οὐρανίου βασιλείας τελέσαντες ἄξια, ἔξω τῆς βασιλείας ὑπέμενον, γέννησιν πνευματικὴν οὐ δεξάμενοι, τὴν ἐξ ὕδατος ἡμῖν μετὰ ταῦτα δοθεῖσαν καὶ πνεύματος· τῷ χρόνῳ γὰρ ἂν διεμέμφοντο καὶ Θεοῦ διαβάλλειν εἶχον τὸ δίκαιον, εἴπερ μὴ πονηρία τις αὐτοὺς παρεξέκλινε πράξεων, ἀλλ' ἡ τοῦ χρόνου διαφορὰ καὶ διάκρισις τὴν κατάκρισιν αὐτοῖς ἐπρυτάνευε. Διὰ τοῦτο ὁ Χριστός, ὁ πάσης πληρῶν δικαιοσύνης τὸ ἔννομον, ὑπὲρ αὐτῶν ὡς δικαιοκρίτης βαπτίζεται, ἵνα ἐν αὐτῷ καὶ αὐτοὶ βαπτισάμενοι καὶ τὴν ἄνωθεν εἰσδεξάμενοι γέννησιν καὶ εἰς τὴν ἐν οὐρανοῖς βασιλείαν εἰσέλθωσιν, μηδαμῶς αὐτῆς ἐξειρ-

Digitized by Google

γόμενοι διὰ τὴν μεγαλοδωρεὰν ταύτην, εἶτουν τοῦ βαπτίσματος· καὶ διὰ τοῦτο τάχα καὶ ἡ τῆς ἐρήμου φωνὴ διαπρύσιον ἔκραζεν· "Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου"· οὐ μόνον γὰρ τὴν διὰ σταυροῦ σφαγὴν ὑπηνίσσετο (ἔμελλε γὰρ ὁ Χριστὸς ὡς ἀμνὸς τοῦ Θεοῦ ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς σφαγιάζεσθαι καὶ λυτροῦσθαι ἰδίου προσχύσεσιν αἵματος τυραννίδος διαβολικῆς ἀνθρώπων τὸ φύραμα), ἀλλὰ καὶ ταύτην τὴν ἐξ ὕδατος καὶ πνεύματος· κάθαρσιν, ἣν ὁ Χριστὸς βαπτισθεὶς ἡμῖν ἐχαρίσατο, καινὴν ἡμῖν δεδωκὼς ἀναγέννησιν, ὕδατι ταύτην καθάρας καὶ πνεύματι, ἐπειδὴ τὴν προτέραν Ἀδὰμ ὁ προπάτωρ ἐβεβήλωσε καὶ ἐνάμαρτον διὰ τῆς οἰκείας παρακοῆς κατειργάσατο.

9. Τίς οὖν σωφρονῶν καὶ κατανοῶν Χριστοῦ καλῶς τὰ μυστήρια οὐκ ἐπὶ ταῖς τοσαύταις αὐτοῦ δωρεαῖς εὐφρανθήσεται, Χριστοῦ γεγονὼς φαιδρότητος ἔμπλεως; Σκιρτήσωμεν οὖν καὶ ἡμεῖς, ποθεινότατοι, τὸ ἐξ ὕδατος λαβόντες καὶ πνεύματος βάπτισμα, καὶ τὰ ὄρη μιμούμενοι καὶ τοὺς βουνοὺς εἰκονίζοντες καὶ τὴν δοθεῖσαν ἡμῖν ἀγαλλίασιν τοιούτοις ψυχῆς ὀρχισμοῖς ἐνδεικνύμενοι καὶ ὡς νέον ἅπαξ γενόμενοι φύραμα καὶ τὴν παλαιὰν ἀποθέμενοι γέννησιν, τὴν ῥυπανθεῖσαν ἤδη καὶ μολυνθεῖσαν κακῶς ἁμαρτήμασιν, "ἐν καινότητι ζωῆς περιπατήσωμεν" καὶ τῶν παλαιῶν μολυσμῶν παυσώμεθα· μὴ χράνωμεν καὶ ταύτην τοῖς πλάσμασιν, ἔργα διιόντες τῆς αὐτῆς ἀγλαΐας ἀνάξια· μὴ κώμοις καὶ μέθαις σχολάσωμεν· μὴ κοίταις καὶ ἀσελγείαις ἑαυτοὺς ἐκμιάνοιμεν· μὴ πρὸς ἁρπαγὰς ἑαυτοὺς διεγείρωμεν· μὴ ταῖς κατ' ἀλλήλων ἀμοιβαῖς ἑαυτοὺς καθοπλίσωμεν· μὴ τοῖς ἀλλήλων ἐπιχαίρωμεν πτώμασι· μὴ κακὸν ἀντὶ κακοῦ παρεχώμεθα, ἢ τὰ τούτοις ὅμοια πράσσοιμεν, ἃ τῆς παλαιᾶς ὑπῆρχε γεννήσεως ἴδια, ἃ τοῦ γηΐνου φρονήματος ἐπεφύκει γεννήματα, ἃ Χριστὸς ἐπιφανεὶς καταλέλυκε καὶ τὴν ἄνωθεν ἡμῖν ἀναγέννησιν δέδωκε, οὐκ ἐξ αἱμάτων φθορᾶς τὴν πρόοδον ἔχουσαν, ἀλλ' ἐξ ὕδατος ἡγιασμένου καὶ στίλβοντος πνεύματος, θεϊκῶς ἁγιάζοντος τὰ ἁγιασμοῦ θεϊκοῦ προσ-

2 *διαπύρσιον* A. — 3 Ἰωάν. α', 29. — 11 *κατηργάσατο* A. — 15 *ποθηνότατοι* A. — 18 νέον γ. φύραμα] Κορινθ. 1, ε', 7. — 20 Ῥωμ. ς', 4. — 21 *παυσόμεθα* A.

δεόμενα καὶ καθάρσεως μυστικῆς ἐφιέμενα. Καθαρθέντες οὖν καλῶς τῇ καθάρσει τοῦ πνεύματος, καὶ πάντα μολυσμὸν ἀποθέμενοι τῇ μυστικῇ προσψαύσει τοῦ νάματος καὶ τῇ πυρώσει τοῦ τὸ νᾶμα περιπνέοντος πνεύματος, καθαροὶ καθαρῶς τὸ τοῦ Χριστοῦ καθαρὸν ἑορτάσωμεν βάπτισμα, καὶ λαμπροὶ λαμπρῶς Χριστῷ τῷ λαμπροδότῃ προσέλθοιμεν, καὶ φαιδροὶ φαιδρῶς τῷ φαιδροποιῷ Χριστῷ προσπελάσοιμεν· οὕτω γάρ, εἰ προσέλθοιμεν, ζωὴν καθαρὰν καὶ ἀμόλυντον ἔχοντες, ἀσμένως ἡμᾶς καὶ γεγηθότως προσδέξεται, καὶ μάλιστα τὸ δῶρον αὐτοῦ θεασάμενος καθαρὸν ἡμῖν φυλαττόμενον καὶ μὴ χρανθὲν ἁμαρτίας μολύσμασι· τοιούτους γὰρ ἡμᾶς αὐτὸ καὶ πάντως αὐτῷ παριστᾶν ἀπαιτήσειεν, ὁποῖον ἡμῖν αὐτὸ δεδώρηται.

10. Ἀλλά με τὰ πράγματα ἐναντία φρονεῖν περὶ τῆς ἡμῶν ἀναγκάζει βιώσεως· πόθεν γὰρ παρ' ἡμῖν πολιτεύονται πόλεμοι; πόθεν βαρβαρικαὶ πλεονάζουσιν ἔφοδοι; πόθεν Σαρακηνῶν ἡμῖν ἐπανίστανται φάλαγγες; πόθεν τοσαύτη φθορὰ καὶ λεηλασίαι πεπλήθυνται; πόθεν ἀνθρωπίνων αἱμάτων ἐκχύσεις ἄπαυστοι γίνονται; πόθεν τὰ ἀνθρώπεια σώματα ἐσθίουσι τὰ πετεινὰ τοῦ οὐρανοῦ; πόθεν ἐκκλησίαι καθῄρηνται; πόθεν σταυρὸς ἐνυβρίζεται; πόθεν Χριστὸς αὐτὸς ὁ πάντων τῶν ἀγαθῶν δοτὴρ καὶ ταύτης ἡμῶν χορηγὸς τῆς φαιδρότητος ἐθνικοῖς βλασφημεῖται τοῖς στόμασι καὶ κράζει πρὸς ἡμᾶς δικαιότατα "δι' ὑμᾶς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν", ὅπερ ἡμῖν πάντων ἐστὶν τῶν συμβαινόντων δεινῶν φορτικώτερον; ἐκ τούτου γὰρ καὶ Σαρακηνοὶ θεομισεῖς καὶ ἀλάστορες καὶ αὐτὸ σαφῶς τὸ τῆς ἐρημώσεως βδέλυγμα, τὸ προφητικῶς ἡμῖν προλεγόμενον, καὶ τόπους, οὓς οὐ δεῖ, διατρέχουσι καὶ πόλεις ληΐζονται, ἀγροὺς ἐκθερίζουσι καὶ κώμας πυρὶ κατακαίουσι, καὶ ἐκκλησίας ἁγίας φλογίζουσι, καὶ ἱερὰ μοναστήρια στρέφουσι καὶ παρατάξεσι Ῥωμαϊκαῖς ἀντιτάττονται, καὶ πολεμοῦντες ἐγείρουσι τρόπαια καὶ νίκαις νίκας συνάπτουσι καὶ μειζόνως ἡμῶν κατεπαίρονται καὶ τὰς εἰς Χριστὸν καὶ τὰς εἰς ἐκκλη-

20 *δωτὴρ* A. — 22 *δικαιώτατα* A ‖ Ἠσαΐου νβ', 5. — 25 ἐρημώσεως βδέλυγμα] Δανιὴλ θ', 27. ια' 31. ιβ', 11.

Digitized by Google

σίας βλασφημίας ἐπαύξουσι, καὶ κατὰ τοῦ Θεοῦ βλασφημοῦσιν ἀθέμιτα, καὶ τῶν ὅλων κρατεῖν οἱ θεομάχοι φρυάττονται, τὸν στρατηγὸν αὐτῶν ἀσχέτως Διάβολον μετὰ πάσης σπουδῆς ἐκμιμούμενοι κἀκείνου τὸν τύφον ζηλώσαντες, δι' ὃν ἀπ' οὐρανοῦ καταβέβληται καὶ σκότος ζοφερὸν ἀποδέδεικται· ἅπερ οὐκ ἂν οἱ μιαροὶ διεπράττοντο, οὔτε τοσαύτην ἰσχὺν προσεκτήσαντο, ὡς τοσαῦτα πράττειν ἀθέσμως καὶ φθέγγεσθαι, εἰ μὴ πρῶτοι τὸ δῶρον ἡμεῖς ἐνυβρίσαμεν καὶ τὴν κάθαρσιν ἡμεῖς ἐμιάναμεν πρώτιστοι, καὶ ταύτῃ τὸν δωροδότην Χριστὸν λελυπήκαμεν καὶ πρὸς τὴν καθ' ἡμῶν ὀργὴν αὐτὸν παρωτρύναμεν, ἀγαθόν τε ὄντα καὶ κακοῖς μὴ ἡδόμενον, φιλανθρωπίαν πηγάζοντα καὶ φθορὰν καὶ ἀπώλειαν ἀνθρώπων ἰδεῖν οὐ βουλόμενον. Ἀλλ' ὄντως ἡμεῖς τούτων ὅλων καθεστήκαμεν αἴτιοι καὶ λόγος οὐδεὶς πρὸς ἀπολογίαν εὑρεθήσεται· ποῖος γὰρ λόγος ἢ τόπος ἡμῖν πρὸς ἀπολογίαν δοθήσεται, τοσαῦτα παρ' αὐτοῦ λαβόντες δωρήματα καὶ πάντα ῥυπάναντες καὶ πάντα μιαραῖς ἐκμιάναντες πράξεσιν;

12. Ἀλλ' εἴ μοι νῦν ἱκετεύοντι πείθεσθε, πεισθῆναι δὲ πάντως ὀφείλετε, καλῶς ἡμῖν καὶ πατρικῶς συμβουλεύοντι, καὶ λόγοις, ἀδελφοί, τοῖς ἐμοῖς ὑποκλίνεσθε, μετανοίᾳ τὴν τοσαύτην φθορὰν τῶν κακῶν ἐξιλεωσώμεθα καὶ πρὸς αὐτὸν ἐκ ψυχῆς ἐπιστρέψωμεν· ἄλλη γὰρ σωτηρίας ἐλπὶς ἡμῖν οὐ διώριστο· οὔτε γὰρ οἰκτίρμων ὢν φυσικῶς καὶ φιλάνθρωπος παρόψεται ἡμῶν τὴν μετάνοιαν, ἀλλὰ χαίρων εὐθέως προσδέξεται καὶ τῶν δεινῶν ἡμᾶς ἀπαλλάξειεν· διὰ τοῦτο γὰρ αὐτὰ καὶ προελθεῖν συγκεχώρηκεν, ἵνα, "ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας ἡμῶν ἄγξας" καὶ τὸ ἀτίθασον, προσεγγίζειν αὐτῷ καὶ προσπελάζειν ποιήσειεν, ἵνα μὴ οὕτω τῆς παρούσης ζωῆς ἐξερχόμενοι τὴν σὺν τῷ κόσμῳ κατάκρισιν λάβοιμεν, ἀτελευτήτως ἡμᾶς βασανίζουσαν καὶ ἐς ἀεὶ δειναῖς ἡμᾶς ταῖς αἰκίαις ἀλγύνουσαν. Διόπερ, ἀδελφοί, τὸ τάχος περὶ τὴν μετάνοιαν ἐπιδράμωμεν καὶ πρὸς τὸ συμπαθὲς αὐτὸν ἐπικλίνωμεν· ἐπικλίνεσθαι γὰρ φιλεῖ πρὸς ἡμᾶς εἰς συμπάθειαν, διὰ τὴν ἔμφυτον αὐτοῦ καὶ

9 *δωροθότην* A. — 10 *παροτρύναμεν* A. — 17 *ἀλλ' εἴμι* A. — 20 *ἐξιλεωσόμεθα, ἐπιστρέψομεν* A. —25 Ψαλμ. λα', 9.

Digitized by Google

θεϊκὴν ἀγαθότητα, ἢ διεγείρεσθαι πρὸς ἀπήνειαν καὶ τῶν δρωμένων ἡμῖν κακῶν ἐπεξέλευσιν. Εἰδότες οὖν αὐτοῦ τὸ φιλάνθρωπον, φιλανθρωπίᾳ πρὸς αὐτὸν ἐπισπεύσωμεν καὶ ἔργοις αὐτὸν ἀγαθοῖς ἐπευφράνωμεν, φωτεινὰ φοροῦντες ἐνδύματα καὶ περιβόλαια ψυχῆς λαμπρὰ περικείμενοι, καὶ φαιδροὶ ὅλοι καὶ ἀσκότιστοι τοῖς ὀφθαλμοῖς αὐτὸν θεωρούμενοι, καὶ ὅλως αὐτοῦ τὴν φαιδροτόκον ἑορτὴν ἑορτάζοντες καὶ πανήγυριν ἄγοντες τὴν πάσης μητέρα λαμπρότητος καὶ πάσης ἀγλαΐας γεννήτριαν, ἵνα καὶ εἰς τὴν ἐν οὐρανοῖς αὐτοῦ βασιλείαν εἰσέλθοιμεν καὶ τῆς ἐκεῖθεν φωτοφορίας μετάσχοιμεν, ἀπόλαυσιν τὴν ὄντως ἀκράδαντον καὶ μόνην σταθηρὰν καὶ ἀσάλευτον, ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ καὶ σωτῆρι τῆς ἡμῶν ἀσθενοῦς ταπεινότητος, τῷ εἰς τοσοῦτον ἑαυτὸν δι' ἡμᾶς ταπεινώσαντι καὶ κοινωνοὺς ἡμᾶς τῶν οἰκείων ὑψωμάτων ποιήσαντι· μεθ' οὗ πατρὶ τῷ γεννήσαντι σὺν τῷ παναγίῳ καὶ πάντων κτιστῶν αὐτῷ συνδεσπόζοντι πνεύματι καὶ οὐσίᾳ θεϊκῇ βασιλεύοντι δόξα, τιμή, κράτος, μεγαλωσύνη τε καὶ προσκύνησις πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

2 ἰδόντες Λ.

Digitized by Google

IX.

ΜΗΝΙ ΙΟΥΛΙΩΙ Δ'.

ΒΙΟΣ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΝΔΡΕΟΥ τοῦ ΙΕΡΟΣΟΛΥΜΙΤΟΥ,

ἀρχιεπισκόπου γενομένου Κρήτης,

συγγραφεὶς παρὰ Νικήτα τοῦ πανευφήμου πατρικίου καὶ κυέστορος [1].

Κύριε, εὐλόγησον.

1. Οὐ θεμιτόν ἐστιν, οὔτε μὴν ὅσιον, τὰς τῶν δικαίων καὶ ὁσίων ἀνδρῶν ἐπὶ γῆς ὑψηλὰς πολιτείας καὶ Θεῷ διὰ καθαρότητα πλησιαζούσας βυθῷ λήθης καταβαπτίζεσθαι, ἢ τῷ μοδίῳ τῆς σιωπῆς ἐπὶ πολὺ κατακαλύπτεσθαι, ἀλλ' ἐπὶ τὴν λυχνίαν φανερῶς τῆς διηγήσεως ἐπιτίθεσθαι, ὅπως ἐντεῦθεν τῶν καλῶν ἔργων φανερουμένων ἡ πρὸς τὸν ἀγαθὸν Θεὸν ἄδυτος ἐξανατέλλῃ δόξα καὶ κέρδος πολὺ τῆς ὠφελείας τοῖς ἀνθρώποις καλῶς θησαυρίζηται

[1] Οὗτος ὁ βίος ἐλήφθη ἐκ δύο ἀντιγράφων· τὸ πρῶτον ἀντίγραφον, ὅπερ ὀνομάζω Α, εὑρίσκεται ἐν τῷ 79-ῳ μεμβρανίνῳ κώδικι τοῦ Βατοπεδίου, φύλλ. 191-195· τοῦτο δὲ τὸ ἀντίγραφον ἐγένετο τῇ δεκάτῃ ἑκατονταετηρίδι· τὸ δ' ἕτερον ἀντίγραφον, ὅπερ ὀνομάζω Β, γενόμενον ἔτει 1540-ῷ, εὑρίσκεται ἐν τῷ 148-ῳ κώδικι τῆς μονῆς τοῦ Διονυσίου [Σ. Λάμπρου, Κατάλογος τῶν ἐν ταῖς βιβλιοθήκαις τοῦ Ἁγίου Ὄρους ἑλληνικῶν κωδίκων, τ. Ι, σ. 346]. Ἡ ἐπιγραφὴ ἐν τῷ Α ἔχει οὕτω· «*Μηνὶ ϊουλίω δ̅. βίος τοῦ ἐναγίοις π̅ρ̅ς̅ ἡμῶν Ἀνδρέου τοῦ ϊεροσολυμήτου ἀρχιεπισκόπου γινομένου Κρήτης· συγγραφεὶς παρανικήτα τοῦ πανευφήμου πατρικίου καὶ κυέστορος*»· ἐν δὲ τῷ Β «- - - *πατρικίου καὶ κοιαίστωρος καὶ πανευφήμου*».

1 *θεμιτὸν* Β, *θελητὸν* Α. — 2 *ὁσίων* Α, *ἁγίων* Β || τὸ *ὑψηλὰς* ἐλλείπει τῷ Β. — 3 *λίθης* Α || *ἢ τῶ μωδίω* Α. — 4 μοδίῳ - - λυχνίαν] Ματθ. ε', 15. Λουκᾶ ια', 33. — 6 θεὸν] ἐλλ. τῷ Α || *ἐξανατέλῃ* Β. — 7 πρότερον ἐν τῷ Β *θησαυρίζεται*.

Digitized by Google

αὐτοῦ Πατριαρχείου νοταρίων τετίμηται τάξει. Τοῦ δὲ προειρημένου τῶν Ἱεροσολύμων πατριάρχου θαυμάζοντος τὸ ἐν πᾶσι νηφάλεον αὐτοῦ καὶ πρὸς ἅπαντας ἐπιεικὲς καὶ χαρίεν, περὶ τὰ ἔσχατα τῆς αὐτοῦ ζωῆς μετακαλεσάμενος Θεόδωρον τὸν θεοφιλέστατον αὐτοῦ οἰκονόμον, δεόντως αὐτῷ προσέταξεν ἐκκλησιαστικὸν τὸ οἱονοῦν πρᾶγμα μετὰ τελευτὴν αὐτοῦ ἄνευ γνώμης καὶ βουλῆς τοῦ εὐσεβοῦς τούτου καὶ φιλοθέου ἀνδρὸς μὴ διοικηθῆναι, ἀλλὰ πάντα μετὰ συναινέσεως αὐτοῦ πράττειν· τοῖς γὰρ μυστικοῖς ὀφθαλμοῖς ὡς πνευματικὸς ἑώρα φανερῶς τὰ τοῦ πνευματικοῦ τούτου κατορθώματα, καὶ νέος ὢν τῇ ἡλικίᾳ παλαιῷ τῷ φρονήματι τοὺς ἐν παλαιότητι χρόνων ὡς νέους ὑπερενίκα, καὶ γέγονε τῶν ἐκκλησιαστικῶν πραγμάτων ὑπέρμαχος, ὅπλοις ἀριστεύων τῆς εὐσεβείας καὶ τῆς χρηστῆς διοικήσεως ἐγείρων τὰ τρόπαια· καὶ τοῦ οἰκονομοῦντος ἀνδρὸς γέγονεν ἀντιλήπτωρ καὶ βακτηρία ἔμψυχος, ἐν τῇ εὐθείᾳ τῶν πραγμάτων διοικήσει τοῦτον ὁδηγῶν. Καὶ μοναχὸς μὲν ἦν ὁ μετὰ τοῦ Θεοῦ καὶ Θεοῦ δοῦλος πολλοστὸς ἐν ἀγαθοῖς, τοῖς ἱερεῦσιν ὅσια πάντα ἐπιδεικνύμενος, τοῖς πτωχοῖς πλουσίως διαρκῶν, ὀρφανῶν πατήρ, καταπονουμένων ἐκδικητής, λυπουμένων χαρμονή, ἀθυμούντων ἀνατολὴ παραμυθίας, καὶ τοῖς πᾶσι τὰ πάντα ἀποστολικῶς διὰ Θεὸν γέγονε, παρὰ πάντων ἐν πᾶσι θαυμαζόμενος.

4. Τῆς δὲ ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου ἐν τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει, ὡς κεφαλῇ τοῦ σώματος τυγχανούσῃ τοῦ παντὸς χριστιανικωτάτου πολιτεύματος, εὐσεβῶς κροτηθείσης ἐπὶ Κωνσταντίνου τοῦ τότε ἐν τοῖς ζῶσιν ὄντος ὀρθοδόξου τῶν χριστιανῶν βασιλέως, τοῦ πατρὸς Ἰουστινιανοῦ, καὶ τὰ τῆς κακοδοξίας ζιζάνια τῇ δρεπάνῃ τῶν εὐσεβῶν ἐκ ῥιζῶν ἀποτεμνούσης, καὶ τὸ περὶ δύο φύσεων καὶ θελημάτων καὶ ἐνεργειῶν ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ ἑνὸς τῆς ἁγίας καὶ ζωαρχικῆς τριάδος

1 *πατριαρχίου* A. — 3 *ἐπιεικὲς* A || *χαρεῖεν* A, *χάριεν* B. — 9 *πνευματικῶς* A. — 13 *ἐγείρων* A, *ἐγχειρῶν* B. — 15 *εὐθείᾳ* A, *θείᾳ* B. — 16 *ὁ* A, *ὅτι* B || *πολλοστὸς* A, *πιστὸς* B. — 19 *παραμυθείας* A. — 20 Κορινθ. 1, θ', 22. — 25 *ὄντως* A.

Digitized by Google

κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καλῶς ὁρισάσης, καὶ πρὸς θεραπείαν τοῖς τὰ ἐναντία τούτων κακοδόξως νοσοῦσιν θεοφιλῶς ἐκφωνησάσης, ὡς ἁπανταχοῦ ταῖς ἁγιωτάταις τοῦ Θεοῦ ἐκκλησίαις τῶν παρὰ τῆς εἰρημένης ἁγίας ἕκτης συνόδου θεοπρεπῶς θεσπισθέντων καὶ κατὰ τὴν ἐκκλησίαν τῶν Ἱεροσολύμων ἐγγράφως παρὰ τοῦ βασιλέως ἀποσταλέντων, καὶ πάντων τῶν ἐκεῖσε συναχθέντων ἐπὶ τοῦτο, ἱερέων τε καὶ θεοφιλῶν ἀνδρῶν, καὶ μετὰ πολλῆς χαρᾶς ἀσπασαμένων τὰ τῶν ὀρθοδόξων δογμάτων συγγράμματα, καὶ πᾶσαν φλόγα κακοδόξου δίψης ἀποσβεσάντων, ὡς ἐκ πηγῆς τῆς ὀρθοδοξίας κορεσθέντων αὐτῶν τὰ νάματα, τὸν προκείμενον ἡμῖν ἄνδρα, τὸν ἄξιον τοῦ Θεοῦ δοῦλον, εἰ καὶ ἐν ἡλικίᾳ νέᾳ ὑπῆρχε, μεγάλως διὰ τὴν σεμνότητα τῶν τρόπων ἐπιλεξάμενοι καὶ τούτῳ ἐγχειρίσαντες καὶ ἐμπιστεύσαντες τὰ τῶν εἰρημένων εὐσεβῶν δογμάτων ἀντίγραφα, ἤγουν τῆς ὀρθῆς αὐτῶν πίστεως τὴν ὁμολογίαν, μετὰ καὶ δύο εὐλαβῶν γερόντων τοῦτον πρὸς τὸν αὐτὸν ἀνέπεμψαν εὐσεβέστατον βασιλέα· τοῦ δὲ αὐτοῦ βασιλέως πρὸς τὴν κρείττω μετατεθέντος ζωὴν καὶ τὸν φθαρτὸν τοῦτον καταλιπόντος βίον, τὰ τῆς βασιλείας διαδέξασθαι σκῆπτρα τὸν αὐτοῦ υἱὸν Ἰουστινιανόν, ᾧτινι καὶ τὰ λεχθέντα τῆς εὐσεβείας ἀπεκόμισεν ἀντίγραφα ὁ εὐσεβὴς οὗτος καὶ Θεῷ προσῳκειωμένος ἀνήρ· καὶ παρὰ τοῦ εἰρημένου ὀρθοδόξου βασιλέως Ἰουστινιανοῦ τὰς περὶ τῆς ἀποδοχῆς εὐσεβεῖς αὐτοῦ δεξάμενος κεραίας, καὶ ταύτας ἐμπιστεύσας τοῖς μετ' αὐτοῦ συναπολυθεῖσιν, ἀπέστειλε πρὸς τοὺς κατοικοῦντας τὰ Ἱεροσόλυμα, ἐξ ὧν καὶ ἀνεπέμφθη.

5. Μένει οὖν ἐν ὅροις τοῦ καλοῦ ὁ πρὸς πᾶσαν ὁδὸν σωτηρίας ἐκτρέχων· τοῦ γὰρ Θεοῦ καὶ δεσπότου περὶ τοῦ ἰδίου δούλου κρεῖττόν τι προβλεψαμένου κατὰ πρόφασιν εὔχρηστον, τὴν ἀπὸ τῆς τῶν ἐχθρῶν γῆς μετάθεσιν, ὡς ἀπὸ Ἱεριχὼ εἰς Ἱερουσαλήμ, τὴν βασιλίδα τῶν πόλεων τούτῳ συμφερόντως χαρί-

1 *ὡρισάσης* A. — 2 *κακοδόξοις νοσούντων* B. — 11 νέᾳ] ἐλλ. τῷ A. — 13 *εγχηρίσαντες* A, *ἐγχειρήσαντες* B, — 17 *καταλειπόντος* A. — 18 *υἱὸν αὐτοῦ* B. — 20 οὗτος] ἐλλ. τῷ B || *πρὸσοίκειομένος* A. — 25 ὁδὸν σωτηρίας] Πράξ. ις', 17. — 27 *προβλεψαμένου* B || *εὔχριστον* A, *εὐχάριστον* B.

Digitized by Google

ζεται· ἐν ᾗ καθίσας καὶ δύναμιν χάριτος, ἀποστολικῶς εἰπεῖν, ἐξ ὕψους ἐνδιδύσκεται, ὡς μαθητὴς τῶν μαθητῶν καὶ διδασκάλων τῆς ὅλης οἰκουμένης καὶ μιμητὴς τῶν κατορθωμάτων καὶ τῆς θείας αὐτῶν διδασκαλίας. Τῇ γὰρ σαγήνῃ τῶν πρὸς διόρθωσιν λόγων αὐτοῦ πολλοὺς τῶν ἀνθρώπων πνευματικῶς ἀγρεύσας, τῷ Θεῷ λογικὸν προσήγαγεν ὀψώνιον· ἐν ἡσυχίᾳ γὰρ ἐπὶ πλείστους χρόνους διάγοντος αὐτοῦ καὶ ἐν τῷ ἰδίῳ σχολάζοντος κελλίῳ, οὐκ ἐπὶ πολὺ τοῦτον ὁ Θεὸς ηὐδόκησεν ἀποκρύπτεσθαι, ἀλλὰ πρὸς ψυχικὴν αὐτοῦ τε καὶ τοῦ πλησίον ὠφέλειαν τοῦτον ἐφανέρωσεν, ὅπως αὐτὸς ὑπὸ ἄλλων ὠφεληθῇ, ἄλλους ὠφελῶν. Τὰ τῆς αὐτοῦ τοίνυν χρηστῆς διαγωγῆς διαγινώσκεται τῷ τότε βασιλεῖ κατ' οἰκονομίαν τοῦ ἄνω βασιλέως, τοῦ βασιλεύοντος τῶν ἐπὶ γῆς βασιλέων, καὶ προχειρίζεται διάκονος, κατὰ βασιλικὴν πρόσταξιν, ἐν τῇ Μεγάλῃ τοῦ Θεοῦ Καθολικῇ Ἐκκλησίᾳ, μεγάλως ἐν τῇ ἱερατικῇ τῶν διακόνων διαπρέπων τάξει, ὥστε καὶ πρεσβυτέρους τὸ ἐν νεότητι αὐτοῦ ὑπὲρ γέροντας θαυμάζειν φρόνημα· καὶ μετ' ὀλίγον ὁ πολὺς ἐν διδασκαλίαις πατὴρ γίνεται πατὴρ ὀρφανῶν, τὴν τοῦ εὐαγοῦς Ὀρφανοτροφείου ἐμπιστευθεὶς φροντίδα, καὶ ὡς εὐγενὴς ταῖς κατὰ Θεὸν ἀρεταῖς καὶ φιλόπτωχος πλούσιος καὶ τὴν τῆς εὐσεβοῦς διακονίας τῶν Εὐγενίου διοίκησιν· καὶ τὸ στενὸν τῶν δύο τούτων τόπων ὁ τῆς τριάδος μύστης εἰς πλατυσμὸν πολλῶν ἀγαθῶν παραχρῆμα μετήγαγεν, εὐχαῖς τε καὶ χρηστῇ διοικήσει τὰ κάτω κείμενα δεόντως ἀνύψωσε, τοῦ μὲν ἑνὸς εὐαγοῦς τόπου τὸν ὀρφανισμὸν ὀρφανίσας τῇ χρηστῇ καὶ πατρικῇ ἀντιλήψει, τοῦ δὲ ἑτέρου εὐαγοῦς οἴκου ἐν πλάτει τὴν στένωσιν ἀποδιώξας καὶ τῷ ἀδιαλείπτῳ ἐπισιτισμῷ τοὺς πτωχοὺς διαθρέψας, ὡς ἄλλος σώφρων Ἰωσήφ, οὐκ ἐν Αἰγύπτῳ, ἀλλ' ἐν τοῖς οἴκοις τοῦ Θεοῦ τοῖς πένησιν ὡς ἀδελφοῖς καταφανείς. Ἐντεῦθεν λοιπὸν ὡς ἐκ δυνάμεως εἰς δύναμιν πορευόμενος καὶ ἀπὸ δόξης εἰς δόξαν μετερχόμενος, ὡς ἐκ Θεοῦ

1 *καὶ καθίσας* B || Λουκᾶ ιδ' 49. — 4 σαγήνῃ - - ἀγρεύσας] Ματθ. ιγ', 47. — 6 *ὀψόνιον* A. — 7 *σχολάζοντι* B. — 8 *εὐδόκησεν* A. — 10 *ὠφελεθῇ* A || τὰ τῆς] *ταύτης* A. — 11 τότε] ἐλλ. τῷ B. — 18 *εὐγενεῖς* A. — 22 τε] ἐλλ. τῷ A. — 24 *ὀρφανήσας* A. — 28 ἐκ δυν. εἰς δύναμιν] Ψαλμ. πγ', 8. — 29 ἀπὸ δόξης εἰς δόξαν] Κορινθ. 2, γ', 18.

Digitized by Google

καλούμενος, αὐτὸς δὲ διὰ τὴν ταπεινοφροσύνην παραιτούμενος, ὁ πτωχὸς τῷ πνεύματι διὰ τὴν οὐρανῶν βασιλείαν καὶ μὴ θέλων τοῖς ὑψηλοτέροις ἐπιβαίνει, ψηφισθεὶς προσφόρως ὑπὸ ἀξίων ὡς ἄξιος ἀρχιεπίσκοπος τῆς Κρητῶν φιλοχρίστου νήσου.

6. Καὶ ἀποκαθίσταται ἐν τῷ ἑτοιμασθέντι αὐτῷ παρὰ Θεοῦ τῆς ἀρχιεπισκοπῆς θρόνῳ, δεχθεὶς παρὰ τοῦ ἐκεῖσε παντὸς ἱερατικοῦ τάγματος καὶ τοῦ φιλοχρίστου λαοῦ μετὰ χαρᾶς μεγάλης ὡς ποιμὴν εὐσεβείας, τὰ ἐμπιστευθέντα αὐτῷ λογικὰ πρόβατα ὡς ἐν μάνδρᾳ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ κατασφαλιζόμενος καὶ ῥάβδῳ δυνάμεως τῷ ὅπλῳ τοῦ ζωοποιοῦ πάθους, σταυρῷ, ἐπιδεξίως τοὺς εὐωνύμους καὶ νοητοὺς ἀπελαύνων θῆρας, καὶ τῇ σφενδόνῃ τῶν ἀδιαλείπτων εὐχῶν τούτους σφοδρῶς κατατραυματίζων διὰ τὴν ἐπιτεθεῖσαν αὐτῷ μεγίστην τῆς ἱερωσύνης ἀρχήν, ὡς γινώσκων τὸ ἐπικείμενον βάρος τοῖς ἐμπιστευομένοις λογικὴν τοῦ Θεοῦ ποίμνην. Καὶ λόγον τῷ λαῷ προσεφώνησε, δι' αὐτοῦ φανερῶς δεικνύων τὸ ὡς εἴρηται ἐπικείμενον τοῖς ἱερεῦσι φορτίον· τὸ γὰρ τῆς πρώην ἡσυχίας ἐνάρετον ἔπειθεν αὐτὸν λυπεῖσθαι, οἷα ζημίαν ὑπομενηκότα, ὡς ἐννοοῦντος αὐτοῦ θησαυρόν, τὸ ἰδιάζειν, ἀπολωλεκέναι· ὁ δὲ διδοὺς λόγον ἐν ἀνοίξει στόματος Θεὸς Λόγος καὶ διὰ τοῦ προφήτου Δαυὶδ φθεγξάμενος "πλάτυνον τὸ στόμα σου καὶ πληρώσω αὐτό", αὐτός, ὡς προειδὼς τὴν σοφίαν τῆς καρδίας μελέτην τοῦ θεσπεσίου τούτου ἀνδρός, μᾶλλον τὸ στόμα αὐτοῦ πληρώσας συνέσεως, τοῦτο πρὸς δόξαν ἐπλάτυνε τῆς αὐτοῦ μεγαλειότητος. Ὅθεν καὶ ἐγκωμίων λόγους διαφόρους πρὸς τὴν πανάμωμον καὶ πάσης κτίσεως ὑπερτέραν, τὴν παρθένον κατὰ φύσιν καὶ ὑπὲρ φύσιν μητέρα τοῦ υἱοῦ τοῦ Θεοῦ καὶ Θεοῦ ἀληθινοῦ, μετὰ πάσης εὐφροσύνης καὶ ἀγαλλιάσεως ἐξέθετο, εἶτα δὲ καὶ εἰς τὴν ὑπὲρ τῆς ἀληθείας ἀποτομὴν Ἰωάννου τοῦ προδρόμου καὶ βαπτιστοῦ καὶ ἑτέρων ἁγίων καὶ ὁσίων πατέρων.

2 πτωχὸς τῷ πνεύματι] Ματθ. ε', 3. — 3 *ὑψιλοτέροις* A || *ψηφισθεὶς οὖν* B. — 5 καὶ] ἐλλ. τῷ B || *ἡτοιμασθέντι* A. — 9 ῥάβδῳ δυνάμεως] Ψαλμ. ρθ', 2. — 11 *σφενδόνι* A. — 17 *πρόην* A || *λοιπεῖσθαι* A || *οἶαν* B. — 19 *ἀπωλελοκέναι* A || διδ. λόγ. ἐν ἀνοίξει στόματος] Ἐφεσ. ς', 19. — 20 Ψαλμ. π', 11. — 21 *αὐτῶ* A. — 22 *ἀνδρὸς τούτου* B. — 22/23 Ψαλμ. πη', 4.

7. Ὡς οὖν ἑαυτὸν ναὸν τοῦ Θεοῦ ἐξ ἔργων ἀγαθῶν ἐργασάμενος, κατὰ Παῦλον τὸν ἅγιον ἀπόστολον καὶ μαθητὴν τοῦ Κυρίου καὶ τῶν περάτων διδάσκαλον, τὸν εἰπόντα ναὸν Θεοῦ εἶναι τὸν ἄνθρωπον, ναὸν ἐκ νέας εὐπρεπῶς ᾠκοδόμησε τῆς παναχράντου καὶ πανυμνήτου θεοτόκου Μαρίας, τοῦ ἐμψύχου καὶ ἡγιασμένου τοῦ Θεοῦ Λόγου ναοῦ, Βλαχέρνας τὸν τοιοῦτον παρ' αὐτοῦ οἰκοδομηθέντα ναὸν ὀνομάσας, ἱερεῖς λειτουργοὺς ἐκ τοῦ μοναχικοῦ σχήματος ἐν αὐτῷ πρὸς ὑμνῳδίαν καὶ δοξολογίαν Θεοῦ θεοπρεπῶς ἐγκαταστήσας, εἰς ἀντίδωρον τῶν μεγαλοδωρεῶν καὶ ἀντιλήψεων τῶν εἰς αὐτὸν παρὰ τῆς τοῦ Θεοῦ πύλης προελθόντων· καλῷ δὲ τὸ καλὸν ἐποικοδομῶν καὶ ἀγαθὰ ἐπ' ἀγαθοῖς καθ' ἡμέραν τιθέμενος—οὐ γὰρ ἦν αὐτῷ σχεδὸν ἡμέρα μὴ δικαιοσύνης φῶς ἐξ ἔργων ἀνατέλλουσα—, ὡς τὸν πλησίον εὐεργετῶν καὶ Θεῷ ἔνθεν ἐγγίζων, τοῖς σωματικοῖς ἅμα καὶ ἐξ ἐνδείας νοσοῦσιν οἶκον παραμυθίας καὶ ἰατρείας ἐκ νέας ὁ παλαιὸς οὗτος καὶ ἐν κατορθώμασι γεγηρακὼς συνεστήσατο, τὸν καλούμενον Ξενῶνα, πᾶσαν αὐτάρκειαν χρείας διὰ Χριστὸν ἐξ οἰκείας ἐπιδόσεως παρασχών, ὡς τὰ τοῦ Θεοῦ τῷ Θεῷ ἐν ἱλαρότητι προσφέρων καὶ ὡς τὸ τῆς σοφίας ῥητὸν ὁ σοφώτατος οὗτος ἐκμαθὼν καὶ γινώσκων, τὸ "ἐν ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι"· καὶ διακονίαν ὡς πτωχὸς τῷ πνεύματι τοῖς πτωχοῖς διακονῶν κατεσκεύασε καὶ ἐν νιπτῆρι βάλλει ὕδωρ, τὴν ἐξ οἰκείων χρημάτων ὡς ἐξ ἀγγείων ἐπιχέων τῷ τόπῳ τῆς χρείας αὐτάρκειαν· καὶ τὴν ὀρθὴν διεζωσμένος ὥσπερ λέντιον πίστιν, ἐξ ἀμφοτέρων οὐχὶ πόδας μόνον ἀλλὰ καὶ πᾶσαν αὐτοῦ τὴν ψυχὴν ἀποπλύνας καὶ ἐκμάξας ἀπελεύκανε. Πιστὸς οὖν ἱερεὺς ὢν τοῦ μεγάλου ἱερέως καὶ τοὺς οὐρανοὺς διεληλυθότος, ὡς ἐν θυσιαστηρίῳ τῇ ἑαυτοῦ ψυχῇ δεκτὰ τῷ Θεῷ καθ' ἡμέραν θύων, καὶ τοὺς ἠμελημένους ἐπιμελῶς ἀνεκτίσατο ἐκκλησιαστικοὺς ναούς, καὶ ὅσα τούτοις πρὸς

1 τοῦ] ἐλλ. τῷ B || ναὸν τοῦ Θεοῦ] Κορινθ. 1, γ', 16. ϛ', 16 || ἐξ ἔργων ἀγαθῶν] Ἐφεσ. β', 10. Κολοσ. α', 10. Τιμοθ. 1, β', 10. — 6 *βλαχέρναις* B. — 7 *ὠνομάσας* A. — 12 δικαιοσύνης φῶς] πρβλ. Σοφ. Σολομ. ε', 6. — 13 *τῶν* B. — 14 τὸ *ἔνθεν* ἐλλείπει τῷ B. — 17 *ἐπιδώσεως* A. — 20 Παροιμ. ιε', 27. — 21 πτωχὸς τῷ πνεύματι] Ματθ. ε', 3.— 24 *ὀρθὴν* A, *ὀσφὺν* B. — 28 *ἠμελιμένους* A. — 29 *ἀνεκτήσατο* A.

Digitized by Google

κόσμον ἱερῶν κειμηλίων ἁρμόδιον ὁ παγκόσμιος οὗτος παρασχών, εὐπρεπῶς αὐτοὺς κατεκόσμησεν.

8. Τί δὲ διὰ τὸν ἑαυτοῦ δοῦλον καὶ φίλον ὁ Θεὸς τοῖς πολεμίοις ἐχθροῖς πεποίηκεν; Οἱ γὰρ ἀλιτήριοι Ἀγαρηνοὶ ἐν θαλάσσῃ τὸ ὅρμημα αὐτῶν θέμενοι, διὰ πλήθους σκαφῶν ἐν τῇ φιλοχρίστῳ Κρητῶν νήσῳ ἐκμανῶς ἐπέστησαν, ὅπως αὐτοὺς ὡς κατακρίτους ἡ τοῦ Θεοῦ κρίσις διὰ τὰς ἀδίκους αὐτῶν κατὰ τῶν χριστιανῶν ἐπιβάσεις καὶ ἐν Κρήτῃ καταδικάσῃ· τῷ γὰρ ὀχυρώματι τῷ προσαγορευομένῳ Τοῦ Δριμέως, ἐν ᾧ πρὸς τὸ σύνηθες ὁ τοῦ Θεοῦ ἄνθρωπος μετὰ τοῦ ὑπ' αὐτοῦ ποιμαινομένου χριστιανικωτάτου λαοῦ διὰ τὰς ἐχθρικὰς ἐπιβάσεις εἰσήρχετο, οἱ βάρβαροι πρὸς πολιορκίαν παρακαθίσαντες καὶ πολλὰς μηχανὰς πρὸς παράταξιν πολέμων ἐν αὐτῷ ἐπιδειξάμενοι, τὸ ἄπρακτον ἑαυτοῖς περιεποιήσαντο, ζημίαν τὴν ἰδίαν κατάλυσιν ἀντὶ κέρδους τῆς αἰχμαλωσίας οἰκειωσάμενοι, ἐκ βελῶν τῶν εὐχῶν τοῦ πρὸς Θεὸν ὡς τόξον τὸ ὄμμα τείνοντος ἱερέως πολεμηθέντες.

9. Τοιοῦτον τὸν ἑαυτοῦ ἄνθρωπον ὁ Θεὸς περίδοξον ἀναδείξας, καὶ λοιμικῆς νόσου τῷ λαῷ τῆς κατ' αὐτὸν νήσου ἐπελθούσης καὶ ἀνομβρίας κατὰ παίδευσιν Θεοῦ ἐπιπεσούσης, τὸν μὲν ὑετὸν παρὰ Θεοῦ ἐξῃτεῖτο τῇ διψώσῃ γῇ καταπεμφθῆναι αὐτὸς ἀπαύστως καὶ ἀκορέστως, ὡς διψῶν τὴν τοῦ Θεοῦ δικαιοσύνην, ὄμβρους δακρύων αὐτῷ προσφέρων καὶ παρ' αὐτοῦ τὰ τῶν αἰτήσεων κομιζόμενος, καὶ ὥσπερ ἐμπλάστρῳ ταῖς πολλαῖς νηστείαις καὶ ἀνυστάκτοις ἀγρυπνίαις καὶ ἀδιαλείπτοις εὐχαῖς κεχρημένος, τῇ θεηλάτῳ προσέφερε νόσῳ καὶ τὴν ἰατρείαν ἔλαβε παρὰ τοῦ ὑπὲρ ἡμῶν τραυματισθέντος καὶ ἰασαμένου τὰ ἀνίατα πάθη Χριστοῦ τοῦ σωτῆρος καὶ λυτρωτοῦ Θεοῦ ἡμῶν, καὶ ὅλοις ὅλος ἦν τὰ πρὸς Θεὸν δι' ἱκεσιῶν μεσιτεύων καὶ ἀβλαβεῖς διαφυλάττων, νουθετῶν ἅπαντας καὶ καθοδηγῶν τῶν μὲν φαύλων ἀπέχεσθαι πράξεων καὶ τοῦ εὖ

2 αὐτοὺς] ἐλλ. τῷ B. — 4 *ἀλλητήριοι ἀγαρινοὶ* A. — 6 *ἐμμανῶς* B || *κατακρίττοις* A. — 7 τῶν] ἐλλείπει τῷ B. — 10 *ποιμενομένου* AB || *χριστιανικοτάτου* A. — 12 *παρακαθήσαντες* AB. — 15 *τὸν θεὸν* B. — 17 *λοιμικῆς* A. — 20 *ἐξαιτῆτο* A. — 24 *προσευχαῖς* B || *θεϊλάτω* A.

Digitized by Google

ποιεῖν ἀντέχεσθαι καὶ τὴν βασιλικὴν τῶν θείων ἐντολῶν πορεύεσθαι τρίβον, τὴν εἰσάγουσαν εἰς τὴν τῶν οὐρανῶν βασιλείαν. Χρείας δὲ οὕτω καλεσάσης, ὥστε ἀνελθεῖν αὐτὸν ἐν τῇ θεοφυλάκτῳ πόλει καὶ βασιλίδι τῶν πόλεων, πολλοὶ πρὸς αὐτὸν ὠφελείας χάριν ἀόκνως παρεγίνοντο, καὶ οἱ μὲν τὸ πρᾶον αὐτοῦ καθορῶντες, τὸ θυμῶδες καὶ ὀργίλον ἐξ ἑαυτῶν ἀποδιώκοντες, ἐν γαλήνῃ διετέλουν, ἄλλοι δὲ τῷ ὑετῷ τῆς διδασκαλίας αὐτοῦ τὰς καρδίας καταρδευόμενοι δικαιοσύνην ἐκαρποφόρουν Θεῷ· καὶ στρατευόμενοι πρὸς αὐτὸν παραγινόμενοι, καὶ παρ' αὐτοῦ καλῶς διδασκόμενοι ἀρκεῖσθαι τοῖς ὀψωνίοις αὐτῶν καὶ μὴ διασείειν τινι, τὸ ἀναδίκητον ἔνθεν προθύμως κατησπάζοντο· καὶ πένητες παρ' αὐτοῦ ἐν πλάτει διατρεφόμενοι πλουσίως τῷ Θεῷ τὴν εὐχαριστίαν ἀνέπεμπον.

10. Εἶτα λοιπὸν τὸ τέλος τῆς προσκαίρου αὐτοῦ ζωῆς ὡς πρὸς ζωὴν τὴν αἰώνιον παρὰ Θεοῦ καλουμένου, καὶ ἡ ἐντεῦθεν μετάστασις μυστικῶς αὐτῷ ἄνωθεν φανεροῦται, καὶ προλέγει ταύτην τοῖς φίλοις αὐτοῦ καὶ ἐναρέτοις ἀνδράσιν, ὡς ἐν τῇ μητροπόλει αὐτοῦ ἔτι ζῶν οὐ μὴ παραγένηται· καὶ μετὰ χαρᾶς πάντας περιπτυξάμενος καὶ ἐν φιλήματι ἁγίῳ κατασπασάμενος ἀπέλυσεν ἀπὸ Κωνσταντινουπόλεως, καὶ τὴν νῆσον τὴν οὕτω καλουμένην Μιτυλήνην καταλαβὼν προσώρμισεν, οὐχ ὡς ἔτυχεν, ἀλλὰ κατὰ πρόνοιαν, ἐν τόπῳ λεγομένῳ Ἐρισσῷ, ὡς τὴν ἐκεῖσε κατάπαυσιν αἱρετισάμενος. Ὡς οὖν τὴν πίστιν καλῶς τηρήσας καὶ τὸν πνευματικὸν δρόμον δεόντως ἐκτελέσας ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ ἐκεῖσε κεκοίμηται, τὴν ψυχὴν εἰς χεῖρας Θεοῦ ζῶντος παραθέμενος καὶ πρὸς αὐτὸν τὰς ἐντεύξεις ὑπὲρ ἡμῶν ποιούμενος. Καὶ ἡ κοίτη τῆς ἀναπαύσεως αὐτοῦ γέγονεν ἐν τῷ ναῷ τῆς ἁγίας μάρτυρος Ἀναστασίας, ἐν ᾧ καὶ ἀπεκδέχεται τὴν τῶν νεκρῶν διὰ σάλπιγγος

2 τῶν] ἐλλ. τῷ A. — 3 οὔτω A, αὐτῷ B. — 6 *καθορόντες* A. — 9 *παρ' αὐτοῦ* A, *πρὸς αὐτοῦ* B. — 10 *ὀψονίοις* A || *μηδιασείηντινα* A. — 14 *τὸ τέλος λοιπὸν* B. — 19 φιλήματι ἁγίῳ] Ῥωμ. ιϛ', 16. — 21 *μητυλίνην κ. προσώρμησεν* A.— 22 Ἐρισσῷ = Ἐρεσσῷ. — 23 *ἐρετησάμενος* A || τὴν πίστιν κ. τηρήσας καὶ τὸν πν. δρόμον δ. ἐκτελέσας] Τιμοθ. 2, δ', 7. — 24 *ἐπιτῶ αὐτῶ* A. — 28 διὰ σάλπιγγος] ἐλλ. τῷ B. — 29 τῆς δευτέρας] ἐλλ. τῷ B.

Digitized by Google

ἀνάστασιν ἐν τῇ ἀνεσπέρῳ ἡμέρᾳ τῆς δευτέρας μετὰ πολλῆς δόξης ἐπιφανείας "τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκροὺς κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ", ἐξ οὗ καὶ τὸν μισθὸν τῶν πόνων τῶν ἔργων αὐτοῦ, ὡς τῆς ὅλης ἡμέρας τὸν καύσωνα βαστάσαντος, λήψεται· ἡ δὲ ἐν Χριστῷ κοίμησις αὐτοῦ γέγονε κατὰ τὴν τετάρτην τοῦ ἰουλίου μηνὸς ἰνδικτιῶνος ὀγδόης· τῷ δὲ Θεῷ καὶ πατρί, ἅμα τῷ υἱῷ καὶ Θεῷ σὺν τῷ παναγίῳ καὶ ὁμοουσίῳ πνεύματι, τῇ μιᾷ τριαδικῇ θεότητι, ἀνθ' ὧν τοὺς ἑαυτῆς δούλους καὶ θεράποντας ὡς φωστῆρας τῇ δικαιοσύνῃ τοῖς πέρασιν ἐξέλαμψε, δόξα, τιμὴ καὶ προσκύνησις παρὰ πάντων ἡμῶν ἐποφείλεται εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

2 *καὶ ἐπιφανείας* B || *κρίναι* B || Τιμοθ. 2, δ' 1. — 6 *ἰνδικτιόνος* A. — 7 καὶ θεῷ] ἐλλ. τῷ B.

*

Digitized by Google

X.

ΑΚΟΛΟΥΘΙΑ ΣΥΝ ΘΕΩΙ

ΕΠΙ ΤΗΙ ΕΙΣ ΤΗΝ ΜΕΓΑΛΟΠΟΛΙΝ ΑΝΑΚΟΜΙΔΗΙ ΤΟΥ

ΑΓΙΟΥ ΛΙΘΟΥ,

ἐν ᾧ μετὰ τὴν ἀποκαθήλωσιν ἐτέθη παρὰ τοῦ Ἰωσὴφ Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, γεγονυῖα ἐν ἔτει κζ′ τῆς αὐτοκρατορίας τοῦ πορφυρογεννήτου βασιλέως κῦρι Μανουὴλ τοῦ Κομνηνοῦ [1].

Στιχηρά· ἦχος πλ. β′ πρὸς τὸ «Ὅλην ἀποθέμενοι».

Ἄνωθεν κινούμενος * πρὸς πᾶσαν ἔνθεον πρᾶξιν
βασιλεὺς θεώνυμος * Μανουὴλ προσέθετο, * οἷς εἰργάσατο,
εἰς ἡμῶν εὔκλειαν *, τοῦ πιστοῦ πληρώματος,
καὶ τὸ σήμερον ὁρώμενον *· ἰδοὺ γὰρ πάντιμον
λίθον ἐξ Ἑῴας ἀνήγαγεν, * ἐν ᾧ Χριστὸν κατέθετο γυμνὸν
Ἰωσὴφ ῥοαῖς αἵματος * κατερραντισμένον,
καὶ σμύρνῃ καὶ σινδόνι συλλαβὼν
τάφῳ καινῷ κατεσφράγισεν *, ἐξ οὗ ἐγήγερται.

[1] Ἐκ χειρογράφου τινὸς κώδικος μεμβρανίνου τῆς ἐν τῷ Ἁγίῳ Ὄρει λαύρας Ἀθανασίου τοῦ Ἀθωνίτου, γραφέντος περὶ τὸ τέλος τῆς δυοκαιδεκάτης ἑκατονταετηρίδος· ὅς ἐστι μήκους 0,146, πλ. 0,125· περιέχονται δ' ἐν τούτῳ τῷ κώδικι κανόνες ᾀσματικοὶ τριαδικοί τε καὶ ἀναστάσιμοι καὶ κανόνες ἕτεροι πάλιν εἰς τὴν Θεοτόκον· ἡ δὲ ᾀσματικὴ ἀκολουθία, ἣν ὧδε κατεχώρισα, περιέχεται μεταξὺ τοῦ 77-ου καὶ τοῦ 83-ου φύλλου· ὁ δὲ λίθος, εἰς ὃν αὕτη ἀναφέρεται, ἔκειτο ἐν τῇ μονῇ τοῦ Παντοκράτορος [Ἀνωνύμου περιγραφὴ τῶν Ἁγίων τόπων ἐκδ. ὑπὸ Ἀ. Π.-Κεραμέως. Ἐν Πετρουπόλει 1890, σ. 2. Nicetae Choniatae historia. Bonnae 1835, σ. 289. M-me B. de Chitrowo, Itinéraires russes en Orient, I, σ. 137, 162]. Ἡ μετακομιδὴ τοῦ λίθου ἐγένετο μεταξὺ τῶν ἐτῶν 1169 καὶ 1170.

Digitized by Google

Ὅμοιον.

Πλάκας μὲν συνέτριψε * πάλαι Μωσῆς θεογράφους,
Ἰσραὴλ τὴν ἄπιστον * ἐξελέγχων ἄνοιαν * παροιστρήσαντος·
Ἰσραὴλ νέου δὲ * βασιλεὺς χριστόκλητος
ὀρθοδόξως προηγούμενος * ἀνάγει πόρρωθεν
πλάκα θεοδόχον, εἰς στήριγμα * ψυχῶν καὶ βάσιν ἄσειστον
κράτους πρὸς υἱοὺς διαβαίνοντος· * ὅθεν χαρμοσύνως
προσέλθωμεν δοξάζοντες Θεὸν
τὸν δι' αὐτοῦ τὸ βασίλειον * στέφος μεγαλύνοντα.

Ὅμοιον.

Λίθον τὸν ἀκρόγωνον *, τὸν ἀλαξεύτως τμηθέντα,
προσπαγέντα ξύλῳ δὲ * ἐν τοῖς ἥλοις Κύριον *, λίθος τίμιος
ἐν αὐτῷ κείμενον * ὡς νεκρὸν δεξάμενος,
αἷμα στάζοντα θεόρρυτον, * μητρὸς παρθένου δὲ
μαθητοῦ παρθένου τε δάκρυσι * καταρρανθείς, εἰσάγεται
σήμερον εἰς πόλιν βασίλειον *, Θεοῦ λαὸς δεῦτε
σὺν φόβῳ προσκυνοῦντες καὶ χαρᾷ
τῷ βασιλεῖ χαριστήριον * μετ' εὐχῶν προσοίσωμεν.

Ο ΚΑΝΩΝ, ΦΕΡΩΝ ΑΚΡΟΣΤΙΧΙΔΑ

«Ἐνταφιασμοῦ τὸν λίθον Χριστοῦ σέβω | ὁ Σχολίτζης».

Ὠδὴ α'.
Ἦχος δ'. «Ἀνοίξω τὸ στόμα μου».

Ἐπλήρωσε σήμερον * ὁ βασιλεὺς τὸ προφήτευμα,
Σιὼν εἰς θεμέλια * τῆς νέας θέμενος
λίθον ἔντιμον *, ὃν ἐκ πλευρᾶς σταλάξαν
αἷμα καθηγίασε * Χριστοῦ θεόρρυτον.
Νεκρὸν ζωοπάροχον * λίθος βαστάσας σεβάσμιος
ἡμῖν ἀποδέδοται * τῇ ἐπινεύσει Χριστοῦ,
τοῦ κινήσαντος * πρὸς τοῦτο τὴν καρδίαν,
οἷα θεοκράτιστον *, τοῦ αὐτοκράτορος.
Τὴν πέτραν ἐθήλαζεν * ὁ Ἰσραὴλ ὕδωρ βλύζουσαν,

11 κῶδ. ἀκρόγονον. — 18 κῶδ. προσοίσομεν. — 28 κῶδ. ἀποδέδοτε.

Digitized by Google

ἡμεῖς δὲ δεξάμενοι * ὁ τοῦ Χριστοῦ Ἰσραὴλ
λίθον τίμιον *, ἐν ᾧ θανὼν ἐτέθη,
ψυχῶν ἀρυόμεθα * ῥῶσιν ἀείβρυτον.
Ἀδέτω τοῦ ᾄσματος * ἡ νοητὴ νύμφη σήμερον·
" Ἐξέλθετε, ἴδετε * στέφανον νῦν τὸν ἐμόν,
ὃν ἐβράβευσεν * ὁ Μανουὴλ ὁ ἄναξ,
λίθον θεοδόχον μου * μέσον ἐνθέμενος".

Θεοτοκίον.

Φωνὴν σοι προσᾴδομεν * τοῦ Ἀρχαγγέλου, θεόνυμφε·
"Χαρᾶς χαῖρε πρόξενε * τῷ χριστωνύμῳ λαῷ,
ὄρος ἄτμητον, * λίθος, οὗ ἐτμήθη,
ὃς λίθον ἡγίασε * τὸν νῦν προκείμενον".

Ὠδὴ γ'.

«Τοὺς σοὺς ὑμνολόγους, Θεοτόκε *, ἡ ζῶσα».

Ἰδέτωσαν ἅπαντα τὰ ἔθνη * Χριστοῦ τὴν ἀπόρρητον ἰσχύν·
τεθεωμένην σάρκα γὰρ * λίθος αὐτοῦ δεξάμενος
βρύσις θαυμάτων γέγονε *, χαρίτων θείων πληρούμενος.
Ἀρθήτωσαν πύλαι ἀνακτόρων *· ἀνάκλιτον λίθινον Χριστοῦ
χαρμονικῶς δεξάσθωσαν *, ἐν ᾧ ἐπανεπαύσατο,
νόμῳ σαρκὸς νεκρούμενος, * νεκροῖς ζωὴν προμηθούμενος.
Σταλάξατε, ὄρη, εὐφροσύνην * καὶ λίθων ἡ φύσις σὺν ἡμῖν
ἀγαλλιάσθω σήμερον· * λίθος καὶ γὰρ ἡγίασται,
σῶμα Χριστοῦ δεξάμενος, * καὶ νῦν ἐστι προσκυνούμενος.
Μελπέτω Δαυίδ· " Λίθος ἐτέθη *· καὶ νῦν εἰς γωνίας κεφαλήν
ὁ θεοδόχος λίθος γὰρ * Θεοῦ τῇ πόλει δέδοται
καὶ ταύτῃ συνδεθήσεται * ἡ κοσμικὴ τετραμέρεια".

Θεοτοκίον.

Οὐχ εὗρεν ἀρχαίων ἐξ αἰώνων * ἀξίαν σαρκώσεως αὐτοῦ
πλήν σου Θεός, πανάμωμε *, καὶ ἐξ ἁγνῶν αἱμάτων σου
τὴν σάρκα συμπηξάμενος * διπλοφυὴς ὤφθη ἄνθρωπος.

5 κῶδ. *ἐξέλθεται, ἴδεται*. — 16 κῶδ. *τεθεομένην*. — 18 ἀνάκλιτον = ἀνάκλιντρον. — 24 Ψαλ. ριζ', 22 «λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντας, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας». — 25 κῶδ. *δέδοτε*.

Digitized by Google

Κάθισμα.

Ἦχος δ' πρὸς τὸ «Ταχὺ προκατάλαβε».

Προσέλθωμεν βρύοντι
λίθῳ θαυμάτων πηγάς·
ἰδοὺ ἐξ Ἑῴας γὰρ
ἤχθη πρὸς νέαν Σιὼν
λάμπων τοῖς τεραστίοις
νοητὸς ὡς λυχνίτης,
ἄνακτος ὀρθοδόξου Μανουὴλ
θείῳ ζήλῳ, καὶ δόξαν
δῶμεν Κυρίῳ,
χάριν ἀρυόμενοι.

Ὠδὴ δ'.

«Ὁ καθήμενος ἐν δόξῃ * ἐπὶ»:—

Ὕπνος ἔσχεν ἐπὶ λίθῳ * Ἰακώβ, ἔνθα κλίμακα
μυστικῶς προεῖδε· * καὶ νῦν δ' ἀφυπνώσας φυσίζωον
ὕπνον Χριστὸς ἐπὶ λίθῳ *, τοῦτον ἔδειξε
θείαν κλίμακα *, πρὸς οὐρανοὺς ἐπανάγουσαν.
Τῶν χειρῶν καὶ τῶν ποδῶν σου * καὶ πλευρᾶς σου τοῖς αἵμασι
κατερραντισμένος * λίθος ἐπανάγεται σήμερον
πρὸς τὴν σὴν πόλιν, σωτήρ μου *, οὗ προσψαύοντας
πέτρᾳ στήριξον * τῶν σῶν ἐντολῶν τοὺς ὑμνοῦντάς σε.
Ὁ τὰς πέτρας ἐν τῷ πάθει * διαρρήξας, ἀθάνατε,
ἀπεσταυρωμένος * ὑπὸ Ἰωσὴφ ἀνακέκλισαι
λίθῳ, καὶ τοῦτον εἰργάσω * βάθρον ἄρρηκτον
τῶν ἐλπίδων * τοῖς πίστει, Χριστέ, δεομένοις σου.
Νεκρωθείς, ζωῆς ταμία, * ἐπὶ ξύλου κατέλυσας
ἀρχὰς ἀερίους *, ἀπολελυμένος τῶν ἥλων δὲ
λίθῳ ἐτέθης καὶ πύλας, * σῶτερ, ἔθραυσας
τὰς τοῦ Ἅδου καὶ * πάντας σαυτῷ συνανέστησας.

8 κῶδ. *λϊχνίτης*. — 15/16 Γενέσ. κη', 11, 12. — 16 κῶδ. *προϊδε* || ἐν τῷ κειμένῳ *νῦν δ'* ἀλλ' ἐν τῇ ὤᾳ τοῦ κώδικος ὁ καλλιγράφος ἔγραψε *καὶ νῦν δὲ* || κῶδ. *ἀφυπνῶσε*. — 22 πέτρᾳ = πίστει. — 23 Ὁ τὰς πέτρας ἐν τῷ πάθει διαρρήξας] Ματθ. κζ', 51 || κῶδ. *πάθη*. — 25 Ματθ. κζ', 60. Μάρκ. ιε, 46.

Θεοτοκίον.

Λύθρῳ, κόρη, τῶν αἱμάτων * σοῦ υἱοῦ καὶ Θεοῦ ἡμῶν
σάρκα ἐπὶ λίθου * κατηρρυθρωμένην προσβλέψασα
ἔλουες δάκρυσιν τοῦτον *, ὅνπερ σήμερον
ἀσπαζόμενοι * ῥύπου ψυχῶν καθαιρόμεθα.

Ὠδὴ ε'.

«Ἐξέστη τὰ σύμπαντα * ἐπὶ τῇ θείᾳ»:—

Ἰδού, ὡς προέγραψε * Δαυίδ, ἐτέθη στέφανος
ἐπὶ κεφαλὴν τοῦ βασιλέως *, λίθῳ τιμίῳ κεκοσμημένος·
καὶ γὰρ Νέᾳ Ῥώμῃ τοῦτον ἀποδοὺς
ἀπάντων κεκράτηκεν * ἐκ βουλῆς τε καὶ πράξεως.
Θεῷ συγκροτούμενος * ὁ βασιλεὺς προσήγαγε
βούλευσιν εὐσχήμονα πρὸς ἔργον, * πάνσεπτον λίθον,
ἐφ' οὗ ἡπλώθη Χριστὸς * ἀποσταυρωθεὶς τῷ Ἰωσήφ,
ὡς κόσμον ὑπέρτιμον * δοὺς τῇ πόλει καὶ θέμεθλον.
Ὁ πάλαι ἀνάξιον * τῆς κιβωτοῦ ἀψάμενον
θέμενος ὑπόδικον κολάσει * Θεὸς νῦν χεῖρας
ἐκλελυμένας τιθεῖ * τολμήσαντος θραύειν ἐν κρυφῇ
λίθον, ὃν σὺν θαύματι * περιστέλλουσιν Ἄγγελοι.
Ναόν σου τοῦ σώματος * ἤδη λυθέντα, Κύριε,
ξύλου Ἰωσὴφ καταβιβάσας * ἔθετο λίθῳ,
κατασμυρνίσας πιστῶς *· σὺ δ' αὐτὸν ἡγίασας, Χριστέ,
καὶ τὴν ἐκκλησίαν σου * ἀρραγῶς ᾠκοδόμησας.

Θεοτοκίον

Χορεύει προπάτωρ σου * Δαυὶδ ὁρῶν ἐκ σπέρματος
αὐτοῦ προελθόντα βασιλέα * σῆς, κόρη, μήτρας,
ὅστις ὡς λέων ὑπνῶν * λίθῳ σαρκικῶς ἀναπεσὼν
θεϊκῶς ἐγήγερται *, βασιλεύων αἰώνια.

2/4 Πρβλ. C. Tischendorf, Evangelia apocrypha. Lipsiae 1876, σ. 313-314.— 8/9 Ψαλμ. κ', 4 «ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου». — 9 κῶδ. *κεκοσμημένω*. — 11 τὸ *πράξεως* ἐκ διορθώσεως τοῦ καλλιγράφου ἀντὶ τοῦ πρότερον ἐν τῷ κειμένῳ γραφέντος *πράσεως*. — 25 κῶδ. *χωρεύει* || ἐκ σπέρματος] Ἰωάν. ζ', 42.

Digitized by Google

Ὠδὴ ς΄.
«Ἐβόησε * προτυπῶν τὴν ταφήν».

Ῥηξάτωσαν * οἱ βουνοὶ εὐφροσύνην, δοξάζοντες
τὸν δεσπότην *, ὅτι λίθων τὴν φύσιν ἡγίασε·
νῦν γὰρ προσκυνεῖται * ὁ νεκρόζωον τοῦτον δεξάμενος.
Ἰδόντες σου * τὸ σωτήριον λόγῳ κηρύττομεν
τὴν ἰσχύν σου *, ὅτι λίθον ἀφῇ μόνῃ σώματος
πηγὴν ἰαμάτων * ἀειρρόως ἐκβλύζουσαν ἔδειξας.
Συνέδραμον * εὐσεβεῖ Μανουὴλ αὐτοκράτορι
πατριάρχαι, * ἱεράρχαι, λαὸς θεοσύλλεκτος,
θεοδόχον λίθον * σὺν ᾠδαῖς, ἐφυμνίοις, εἰσδέξασθαι.
Τοῦ πνεύματος * τοῦ ἁγίου τὴν χάριν ἐνοῦσάν σοι
διαγγέλλει * σπαργανῶσάν σε, λίθε, φῶς κύκλωθεν·
Χριστὸς γὰρ τεθείς σοι * ἐνταφίοις σπαργάνοις ἐνείληκται.

Θεοτοκίον.

Ὀπίσω σου * τὰς παρθένους, παρθένε, πορεύεσθαι
Δαυὶδ ἔφη *· οὐδεμία καὶ γὰρ ἰσοστάσιος,
τῆς δὲ σῆς ἁγνείας * δευτερεύουσαι πᾶσαι παρέπονται.

Κονδάκιον πρὸς τὸ «Τὰ ἄνω ζητῶν».
Ἦχος β΄.

Θεὸν ἐν σαρκὶ * ζῶντα θνητὸν δεξάμενος,
ῥοῇ δὲ βαφῆς * τοῦ θεορρύτου αἵματος,
ὤφθη λίθος ἔντιμος * ἁγιάζων πάντα προσψαύοντα·
τοῦτον νῦν ὁρῶντες, πιστοί, * πέτρᾳ τοῦ θείου πόθου
στηριχθῶμεν ψυχάς.

Ὠδὴ ζ΄.
«Οὐκ ἐλάτρευσαν * τῇ κτίσει οἱ θεόφρονες».

"Ὑπερύψωσεν * ἐν πέτρᾳ με ὁ Κύριος",
βοάτω νέα Σιών· * λίθος καὶ γὰρ ἐκλεκτός,
ἐν ᾧ ἀνεπαύσατο *, ἀνακομίζεται
αὐτοκράτορος * εὐσεβεστάτου νεύματι
καὶ δοξάζει ταύτην πλέον.

7 κῶδ. ἴσχυάσου. — 9 κῶδ. αὐτοκράτωρει. — 16 Ψαλμ. μδ΄, 15 «ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς». — 18 κῶδ. ἀγνίας.

Digitized by Google

Συναγάλλονται * τὰ οὐράνια στρατεύματα
ἐπὶ τῇ νῦν τελετῇ· * πτέρυξι γὰρ νοερῶς
κυκλοῦντα καλύπτουσι * λίθον τὸν τίμιον,
ἀναγόμενον * ἐκ τῆς Ἑῴας σήμερον
πρὸς Σιὼν τὴν νεωτέραν.
Ἐπὶ κρίσιν ἀπαγόμενον κατεῖδέ σε
πρὶν τὸ Λιθόστρωτον *· ταθέντα δὲ ἐν σταυρῷ
αἱ πέτραι ὠδύροντο * καταρρηγνύμεναι·
τεθεὶς λίθῳ δέ, * Χριστέ, νεκρὸς ἡδραίωσας
ψυχὰς πάντων πρὸς σὴν πίστιν.
Βολαῖς λίθων κατηλόησεν ἀλλόφυλον
πρὶν Γολιὰθ ὁ Δαυίδ· * ἡμεῖς δὲ κλῆρος ὁ σός,
Χριστέ, ἀσπαζόμενοι * τὸν θεοδόχον σου
λίθον σήμερον * τὴν κεφαλὴν συντρίβομεν
Γολιὰθ τοῦ νοουμένου.

Θεοτοκίον.

Ὡς ἐπ' ἄγρωστιν * τὴν μήτραν σου οὐράνιος
ὑετός, πάναγνε *, καὶ ὡς σταγὼν καταβὰς
πυρὶ τῆς θεότητος * ταύτην οὐκ ἔφλεξεν,
ἀλλ' ἀνέδειξε * φύσιν ἡμῶν τὴν ἄνικμον
ἐν αὐτῷ ἀνθηφοροῦσαν.

Ὠδὴ η'.

«Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ».

Ὅτε τῶν χειρῶν καὶ τῶν ποδῶν σου
τοὺς ἥλους Ἰωσὴφ ἀποσπασάμενος
λίθῳ σε κατέθετο *, τότε ἡ ἀπείρανδρος
σὺν μαθητῇ παρθένῳ σου * δάκρυα στάζουσα
σῆς αἵματι πλευρᾶς κατεκίρνα·
τοῦτον ἰδοὺ τούτοις *, ἐν ᾧ σε προσκυνοῦμεν.

7 κῶδ. *λιθόστροτον* || Ἰωάν. ιθ', 13.—10 κῶδ. *σὶν*.—17 κῶδ. *ἄγροστιν*.—26 κῶδ. *ἀπήρανδρος*.—28 κῶδ. *πλευραῖς*.—29 οὗτος ὁ στίχος ἐστὶ διεφθαρμένος· ὁ κῶδιξ ἔχει ταῦτα· «*ὧν ἰδοὺ τοὺς τότε προσκυνοῦντας: - προσκυνοῦμεν*»· ἀλλ' ἐν τῇ ᾤᾳ διὰ χειρὸς τοῦ καλλιγράφου γέγραπται τόδε· «*τούτους ἐν οἷς προσκυνοῦμεν*». Διορθοῦται δὲ πιθανῶς ὁ στίχος οὕτως· «*τοῦτον* [= τὸν λίθον] *ἰδοὺ τούτοις* [=τοῖς δάκρυσι καὶ τῷ αἵματι], * *ἐν ᾧ σε προσκυνοῦμεν*».

Digitized by Google

Στῶμεν εὐλαβῶς πίστει καὶ φόβῳ
τὸν λίθον κατασπαζόμενοι τὸν τίμιον,
ὃν ἀνεκομίσατο * ζῆλος ὁ θειότατος
ὀρθοδοξίας κράτορος * Μανουὴλ ἄνακτος·
ἀρρήτων δὲ χαρίτων πλησθέντες
δόξαν Χριστῷ δῶμεν * τῷ ἐν αὐτῷ τεθέντι.
Κόσμον ἱερεὺς μὲν ὁ σκιώδης
ἐκ λίθων τῶν τοῦ λόγου ἐπεφέρετο·
νῦν δὲ λίθος τίμιος * Λόγον Θεοῦ σύσσωμον
ἐν ἑαυτῷ δεξάμενος *, νεκρὸν αἱμόρραντον,
Χριστοῦ τοὺς ἱεράρχας σεμνύνει,
τούτῳ ὑπαντῶντας * ᾠδαῖς σὺν ἐφυμνίοις.
Ὕθλους τῶν αἱρέσεων ἀτόπους,
συγχύσεις, διαιρέσεις ἐπεισάγοντας,
φεύγοντες ἱστάμεθα * ὅρων ἐν μεσότητι,
Θεὸν τὸν ἕνα σέβοντες * ἐν ὑποστάσεσι
τρισίν, ὁμοφυῆ κατ' οὐσίαν,
ἄναρχον πατέρα *, υἱὸν καὶ θεῖον πνεῦμα.

Θεοτοκίον.

Λόγον ὡς ἐν βίβλῳ τῇ γαστρί σου
γραφέντα πατρὸς δακτύλῳ, ὑπεράμωμε,
ἄσαρκον συνέλαβες *· τοῦτον ἐξ αἱμάτων δὲ
τῶν σῶν φρικτῶς σαρκώσασα * διπλοῦν προήγαγες·
ᾧ πρέσβευε ἡμᾶς ἐγγραφῆναι
βίβλῳ σῳζομένων * τῆς κρίσεως ἐν ὥρᾳ.

Ὠδὴ θ'.

«Ἅπας γηγενής».

Ἴδε, τοῦ Θεοῦ * λαὸς περιούσιος
ᾄδει ἑόρτια * λίθον εἰσδεχόμενος,
ἐν ᾧ ἐτάθη ὁ ζωοπάροχος,
νόμῳ σαρκὸς τὴν νέκρωσιν * καταδεξάμενος,

9 κῶδ. *σύσωμον*. — 13 κῶδ. *αἰτόπους*. — 14 κῶδ. *καὶ διαιρέσεις*.

καὶ προσάγει * τὸν εὐχαριστήριον
βασιλεῖ τῷ τὴν χάριν βραβεύσαντι.
Τάφῳ σφραγισθεὶς * ἀνέστης, ὀθώνια
λιπὼν μαρτύρια· * λίθον δὲ ἡγίασας
ἐν τούτῳ τεθείς, ἀθάνατε,
χεῖρας πλευρὰς καὶ πόδας σου * φέρων ἐν αἵματι
βεβαμμένα *· τοῦτον ἀσπαζόμενοι
τὸ φρικτόν σου ὑμνοῦμεν μυστήριον.
Ζόφῳ τῆς σκιᾶς * Μωσῆς καλυπτόμενος
εἶδεν ὀπίσθια * Θεοῦ διαβαίνοντος,
ὀπῇ τῆς πέτρας τὸ βλέμμα θέμενος·
ἡμεῖς δὲ φῶς τῆς χάριτος * αὐχοῦντες βλέπομεν
ἀκαλύπτως * λίθον, ὃν ἡγίασεν
ὑπτιάσας νεκρὸς ὁ ἀθάνατος.
Ἥλους Ἰωσὴφ * ἐκσπάσας ἐν λίθῳ σε,
Χριστέ, ἀνέκλινε· * τοῦτον ἀναγόμενον
τοῦ θεωνύμου Μανουὴλ νεύματι
πρὸς Νέαν Ῥώμην βλέποντες *, αἰτοῦμεν, στήριξον
τούτου σκῆπτρον * λίθῳ τῆς ἰσχύος σου,
τῶν ἐχθρῶν τὰς ῥομφαίας δὲ σύντριψον.

Θεοτοκίον.

Σὲ τοῦ Δανιὴλ * τὸ ὄρος δοξάζομεν,
ἐξ οὗ ἀλάξευστος * λίθος Χριστὸς τέτμηται,
ὃς θεοδόχον λίθον ἀνέδειξεν
ἐν τούτῳ σμυρνιζόμενος *· ὃν ἀσπαζόμενοι,
ἐξαιτοῦμεν *, Μανουὴλ τὸν ἄνακτα
καὶ Θεοῦ βασιλείας ἀξίωσον.

Ἐξαποστειλάριον πρὸς τὸ Γυναῖκες ἀκουτίσθητε.

Ἀνέτειλε χαρμόσυνος
ἡμέρα πανηγύρεως
πόλει Θεοῦ Νέᾳ Ῥώμῃ·
λίθος γὰρ πάντιμος

9/11 Ἐξόδ. λγ', 22, 23. — 22 Δανιὴλ β', 34, 35. — 32 κῶδ. παντῑμμένον· αὐτῆς.

αὐτῇ εἰσάγεται πόθῳ,
ἐν ᾧ Χριστὸν Νικόδημος
σὺν Ἰωσὴφ κατέθετο,
πᾶσι παρέχοντα
νεκρὸν ἡμαγμένον,
ὃν νῦν πιστῶς προσκυνοῦμεν

Digitized by Google

XI.

Τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν, τοῦ πατριάρχου Κωνσταντινουπόλεως κυροῦ

ΦΙΛΟΘΕΟΥ

Βίος καὶ πολιτεία τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν

ΣΑΒΑ τοῦ ΝΕΟΥ

τοῦ ἐν τῷ Ἄθῳ ὄρει ἀσκήσαντος.

(Cod. 89 monasterii Βατοπεδίου)[1].

1. Σάβας ὁ θαυμάσιος ὑπόθεσις ἀγώνων τῷ λόγῳ πρόκειται σήμερον, καὶ καινὸν οὐδὲν οὐδ' ἔξω τοῦ καθ' ἡμᾶς πράγματος, εἰ λόγων ὑποθέσεις ἐκεῖνος ἡμῖν ἀεὶ προτιθείς, ὅσαι τῶν καθ' ἡμᾶς καὶ ὅσαι τῶν ἔξωθεν—καὶ γὰρ ἐντρυφᾶν πως ἐδόκει καὶ καλλωπίζεσθαι τοῖς ἐμοῖς λόγοις τε καὶ νοήμασι—, λόγων ὑπόθεσιν τὴν

[1] Οὗτος ὁ κῶδιξ ἐγράφη περὶ τὸ τέλος τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος· συνίσταται δ' ἐκ φύλλων χάρτου 167 (μήκους 0,17, πλ. 0,12), ὧν τὰ τρία πρώτιστά ἐστι νεώτατα καὶ τὴν ἀρχὴν ἐμπεριέχει τοῦ βίου τοῦ ὁσίου Σάβα· ἔγραψε δὲ ταῦτα ἔτει 1835-ῳ Ἰάκωβος ὁ ἐκ Καρπενησίου, ἀρχιμανδρίτης καὶ σκευοφύλαξ τῆς μονῆς τοῦ Βατοπεδίου [περὶ οὗ ὅρα τὸ βιβλίον Ἰακώβου Δημοπούλου, Ἡ ἠθικὴ ἐλευθερία τοῦ ἀνθρώπου ἐν τῷ χριστιανισμῷ τελειουμένη. Ἐν Ἀθήναις 1888, σ. 97], ἀντιγραψάμενος αὐτά, ὡς λέγεται, ἐξ ἑτέρου τινὸς κώδικος, ἐμπεριέχοντος ὡσαύτως τὸν βίον τοῦ ὁσίου Σάβα καὶ ἐν τῇ λαύρᾳ εὑρισκομένου τοῦ ὁσίου Ἀθανασίου τοῦ Ἀθωνίτου. Σημειωτέον καὶ τοῦτο, ὅτι τὸ βατοπεδινὸν ἀντίγραφον, ἐπειδὴ πρὸ χρόνων τινῶν ἐσταχώθη καὶ τὰ φύλλα αὐτοῦ βαθέως ὑπὸ τῆς ψαλίδος ἐκόπη τοῦ δέτου, ὑπέστη φθοράς τινας ἐν λέξεσιν, εἴτ' ἐν τῷ κειμένῳ αὐτῷ εὑρισκομέναις, εἴτ' ἐν ταῖς ᾤαις· γινώσκονται μέντοι ἕτερα δύο ἀντίγραφα τοῦ βίου τοῦ ὁσίου Σάβα, τὸ μὲν εὑρισκόμενον ἐν τῷ 257-ῳ Μοσχοβιτικῷ κώδικι (φ. 122 κέ), τὸ δὲ ἐν τῷ 582-ῳ κώδικι τῆς ἐν τῇ πόλει Βενετίᾳ Μαρκιανῆς βιβλιοθήκης [Архим. Владимiръ, Систематическое описанie

Digitized by Google

μεγίστην ἑαυτὸν ἡμῖν προβάλλοιτο σήμερον, ὡς ἂν μὴ τῷ βίῳ μόνον παρών, ἀλλὰ καὶ μεταστὰς τῶν ἐνθένδε, τῶν καλλίστων αἰτιώτατος καὶ ὁμιλεῖν ἔχοιμεν ἐκ τοῦ ῥᾴστου καὶ ταῖς ἐκείνου πράξεσι καὶ λόγοις, ὡς ἔθος, φιλοτιμεῖσθαι καὶ καταρτίζεσθαι. Λόγου μὲν οὖν ῥώμῃ καὶ ὕψει θεωρίας εἴ γε τεθαρρηκὼς ὅλως αὐτὸς τοῦτον ὑπεισῄειν τὸν ἆθλον, τῶν ἀτοπωτάτων ἂν ἐνομίσθην καὶ οὐδὲ μανίας ἐκτός, οἶμαι, τοῖς γε νοῦν ἔχουσιν, οὐχ ὡς ὑπὲρ αὐτὸς ἐμαυτοῦ μόνον τὰ μὴ ὄντα δοξάζων· ἀλλ' ὅτι καὶ τούτων, εἰ προσῆν, ἐκ πολλοῦ μοι τοῦ περιόντος καὶ λόγῳ καὶ ἀρετῇ τῶν πολλῶν ὑπερεῖχον, οὐδ' οὕτως ἦν ἄν τι πλέον ἐντεῦθεν, οὕτω τῆς προκειμένης ὑποθέσεως περιφανῶς κατὰ τῶν τοιούτων ἐχούσης τὸ κράτος, ὡς μηδ' αὐτὴν ἂν τὴν τοῦ λόγου φύσιν, ὁπόση τίς ἐστι σήμερον ἐν ἀνθρώποις, πᾶσαν εἰς ταὐτὸ συνελθοῦσαν εἶναι πρὸς τὸν παρόντα σκοπόν, οὐδ' ὥστε καὶ παραβάλλεσθαι. Ἐπεὶ δὲ τῆς ἐν ἐκείνῳ δαψιλῶς χεθείσης χάριτος ἔργον ὡσαύτως τό τε ὑπὲρ φύσιν ἐπὶ γῆς ἐκεῖνον καὶ ζῆσαι καὶ πολιτεύσασθαι καὶ τὸ λόγοις ἂν ὑπερφυῶς ταῦτα δοθῆναι καὶ ἱστορίαις, θαῦμα τοῖς ἑξῆς καὶ κοινὸν ὄφελος, τούτοις δὴ καὶ αὐτὸς πεποιθὼς τὸν ἀγῶνα μετ' ἀγαθῶν τῶν ἐλπίδων ἐνεστησάμην καὶ οὐδ' ἀπὸ γνώμης τῇ φιλοσοφωτάτῃ ψυχῇ καὶ θαυμασίᾳ ἐκείνῃ, ἥτις ἄρα καὶ σύζυγον ἀρετῇ πως ἐτίθει τὸν λόγον καὶ ἀρίστην ἔλεγε ταῦτα καὶ συμφυῆ τινα ξυνωρίδα καὶ ταῦτα διὰ παντὸς αὐτός τε πνέων ἦν καὶ ἡμᾶς ἄριστα καὶ μετὰ παντὸς τοῦ προθύμου παιδεύων. Ἐπεὶ τοίνυν καὶ λόγου καὶ ἀρετῆς διδασκάλιον καινὸν ὁ περιφανὴς βίος ἐκείνου, λεγέσθω κατὰ δύναμιν καὶ προτιθέσθω τοῖς φιλοκάλοις, οὐχ ὥστε καὶ τὰ κατὰ μέρος ῥηθῆναι

рукописей Московской Синодальной Библіотеки, т. I, σ. 351. A. Zanetti, Graeca D. Marci bibliotheca codicum manuscriptorum. Venetiis 1740, σ. 305], ἐξ ὧν ἐγὼ τὸ Μοσχοβιτικὸν μόνον ἀντέβαλον πρὸς τὸ τοῦ Βατοπεδίου, τοῦτο μὲν ἐν ταῖς ὑποσημειώσεσι ἁπλῶς B ὀνομάσας, ἐκεῖνο δὲ M, ὃ καὶ τὴν ἐπιγραφὴν τοῦ βίου οὕτως ἁπλῶς ἔχει· «Τοῦ αὐτοῦ βίος καὶ πολιτεία τοῦ ἁγίου πατρὸς ἡμῶν Σάβα τοῦ νέου, τοῦ ἐν τῷ ἁγίῳ ὄρει τῷ Ἄθῳ». Περὶ δὲ τοῦ πατριάρχου Φιλοθέου καὶ τῶν ἤδη τύποις ἐκδεδομένων αὐτοῦ συγγραφῶν ὅρα K. Krumbacher, Gesch. der byzantinischen Litteratur. München 1897, σ. 107 καὶ 782.

Digitized by Google

καὶ μηδέν τι τῶν ἐκείνου παραλειφθῆναι—ἐργωδέστατον γὰρ τοῦτο καὶ οὐ πόρρω τῶν ἀδυνάτων, διὰ τὸ μήτε τὸν συνειδότα τυγχάνειν, μήτε μήν, εἰ συνήδει τις ὅλως, λόγῳ καὶ ἀκοῇ ῥᾴστην τὴν τοῦ παντὸς περίληψιν διὰ τὸ πλῆθος καὶ τὸ μέγεθος πεφυκέναι—, ἀλλ' ἐκεῖνα τῷ λόγῳ δώσομεν τέως, ὅσα περ, ἢ λέγοντος ἐκείνου καὶ πράττοντος, ἢ καὶ τῶν καλῶς εἰδότων ἐκεῖνα καλῶς καὶ φιλαλήθως λεγόντων, μαθόντες ἡμεῖς ἔχομεν, μᾶλλον δὲ πρὸς ἅπερ ἂν ἐκεῖνος αὐτὸς ὁδηγοίη καὶ κατευθύνοι τὸν λόγον καὶ οἷς ἂν ἡσθείη λεγομένοις ὡς μάλιστα.

2. Γένους μὲν οὖν καὶ πατρίδος καὶ ἧστινος ἀγωγῆς τε καὶ πολιτείας ὁ μέγας τὸ ἀπαρχῆς ἔφυ, οὐκ ἀναγκαῖον ἐπὶ τοῦ παρόντος ἐμοὶ τέως ἐδόκει λέγειν, οὐχ ὅτι μὴ καὶ τούτων ἐνδόξως τε καὶ λαμπρῶς εἶχε καὶ πολλῷ τινι τῷ μέσῳ τῶν πολλῶν ὑπερεῖχε—τίς γὰρ οὐκ οἶδε τὴν τοῦ Φιλίππου Θεσσαλονίκην, ὅπως μὲν ἔχει μεγέθους καὶ πολιτείας, ὅπως δὲ λόγοις καὶ σοφίᾳ καὶ τῷ διὰ πάντων δοκίμῳ τὰς κατ' αὐτὴν ὑπερέχει πάσας, ὡς μὴ μόνον Θετταλῶν τε καὶ Μακεδόνων καὶ ὧν δηλαδὴ προκαθῆσθαι λέγεται πόλεων, ἀλλὰ καὶ τῶν μεγίστων αὐτῶν καὶ ὧν πάλαι πολὺς παρὰ πᾶσι λόγος καὶ τούτων ἐν ἅπασι τοῖς καλοῖς ὑπερκεῖσθαι μετὰ πολλοῦ γε τοῦ περιόντος; τίς δὲ ταῦτ' εἰδὼς μὴ κἀκεῖνο σύνοιδε τούτοις, ὅτι καὶ τῶν εὐπατριδῶν καὶ τῆς ἐπισήμου μερίδος, διὰ γένους λαμπρότητα καὶ ἀρετῆς περιουσίας, ἦσαν οἱ τούτου πατέρες;—, ἀλλ' ἵνα μὴ δόξαιμέν τισιν ὥσπερ φιλοτιμεῖσθαι κἀκεῖνα παράγειν εἰς μέσον ἐπίτηδες, ὧν ἐκεῖνος ἐκ πολλοῦ τοῦ περιόντος ὡς ὀλίγοι τῶν πάντων ὑπεριδεῖν ἐξ ἀρχῆς ἐδοκίμασεν, ὡς μηδὲ τὴν ἀρχὴν ἐπεστράφθαι. Ἐπεὶ δὲ καὶ ταῦτα ζητοῦσιν οὐχ οἱ πολλοὶ καὶ τῶν ἔξω μόνον, ἀλλ' ἤδη καὶ τῶν καθ' ἡμᾶς σοφῶν τε καὶ μεγάλων οἱ πλεῖστοι, καὶ δεῖ καθάπερ ἔκ τινος ἀσφαλοῦς ἀρχῆς ἐντεῦθεν ὡρμημένον τὸν λόγον ἀπροσκόπως ἐπὶ τὰ πρόσω βαδίζειν, ἀνάγκη καὶ ἡμᾶς τῷ κρατοῦντι πείθεσθαι νόμῳ καὶ τοῖς ἡγησαμένοις ἕπεσθαι τοῦ λόγου πατράσιν· ὅπερ κἀκεῖνος εἴπερ ἄλλο τι διαφερόντως ἐτίμα, τὸ μετριά-

17 *μόνων* B.

Digitized by Google

ζειν ἔν γε τοῖς μέσοις πράγμασι καὶ ὁμαλῶς ἕπεσθαι τοῖς προωδευκόσι περὶ πλείστου τιθέμενος. Πατρὶς μὲν οὖν τῷ μεγάλῳ, καθάπερ ἔφθην εἰπών, ἡ θαυμαστὴ καὶ μεγάλη Θεσσαλονίκη, ἣν ἔγωγε καὶ πολλαχόθεν ἄλλοθεν ἐπαινεῖν ἔχων, καὶ ὅπως εἰς ἓν συναγαγοῦσα πάντα σχεδὸν ὅσα κοσμεῖν οἶδε πόλιν τούτων ἀφθόνως ὁμοῦ καὶ μεθ' ὑπερβολῆς ἕκαστον ἔχει, ὡς μηδ' ἐξεῖναι καταμανθάνειν ποτέρῳ τῶν καλῶν ἐκείνη προέχει, τοῦτο μάλιστα τέως ἔχω θαυμάζειν, ὅτι καὶ λόγου καὶ ἀρετῆς πρὸ τῶν ἄλλων δαψιλῶς ἔχει· ἃ δὴ καὶ πολιτευομένοις ἀνθρώποις κόσμος οἰκεῖος καὶ κατὰ φύσιν ὡς μάλιστα, καὶ ὧν ἄνευ οὔτε τὴν ἀρχὴν ἄν ποτε πολιτεία συσταίη, ἢ καὶ συστᾶσα θηριώδη καὶ ἄλογόν τινα ζήσεται βίον, λόγου καὶ ἀρετῆς δίχα, καθάπερ ἐν σηκῷ βοσκημάτων τῶν ἀνθρώπων ἀλλήλοις συμμιγνυμένων ἐπ' οὐδενὶ χρησίμῳ, ὡς μηδὲ πόλιν ὀνομάζεσθαι κυρίως ἐκείνην, ἣν οὐ καθίστησι σοφία, κατὰ τὸν τῶν σοφῶν λόγων. Ἡμεῖς δὲ περὶ τῆς φίλης πατρίδος ἐκεῖνο θαρρούντως ἔχομεν λέγειν, ὅτι τοσοῦτον αὐτῇ περίεστι σοφίας καὶ λόγων, ὡς μὴ μόνον ἑαυτὴν αὐτήν, ἀλλὰ καὶ πολλὰς ἑτέρας τῶν πόλεων, ἔστι δ' ὅτε καὶ τὰς μείζους καὶ περιφανεστέρας ἐντεῦθεν φαιδρύνειν· τὸν δὲ τῆς ἀρετῆς καὶ τῆς ἁγιότητος πλοῦτον λόγῳ μὲν οὐκ ἔστι διεξιέναι, ἔξεστι δὲ καθάπερ πρὸς εἰκόνας τινὰς ἐμψύχους καὶ σιγῶντα κηρύγματα τοὺς ἐκεῖθεν ἐκλάμψαντας θαυμαστοὺς ἄνδρας τε καὶ γυναῖκας ὁρῶντας θαυμάζειν ἀπὸ τοῦ καρποῦ τὸ δένδρον καὶ τὴν ῥίζαν ἀπὸ τῶν κλάδων. Καὶ οὔπω λέγω τὸν περιφανῆ ταύτης στρατηγὸν καὶ παντοδαπὸν πολιοῦχον καὶ ῥύστην, οὗ κλέος εὐρὺν ἐς οὐρανὸν ἱκάνει, κατὰ τὸ ἔπος, καὶ οὗ πλήρεις τῶν θαυμάτων ἤπειρός τε καὶ νῆσοι καὶ τὰ τῆς οἰκουμένης ἔσχατα· δι' ὃν ἐπισημοτέρα πολλῷ καὶ περιώνυμος χρηματίζει, συνακουομένη τοῖς τούτου κατορθώμασι μετὰ πολλοῦ τοῦ θαύματος καὶ συλλαλουμένη· τὰ γὰρ τῆς παρούσης ταυτησὶ κοσμικῆς ἀταξίας καὶ τῆς συγχύσεως οὐδὲ χρὴ φέρειν ὅλως εἰς μέσον, πόρρω τῶν ἐκείνης ἠθῶν ὄντα καὶ

17 *περιέστη* B. — 23 Ματθ. ιβ', 33. Λουκᾶ ς', 44. Ῥωμ. ιγ', 17 κέ. — 25/26 Ὀδυσ. τ 108 || *εὐρὲν* B. — 30 *συγχήσεως* B.

τῆς ἀρχαίας εὐγενείας τε καὶ τῆς μεγαλοψυχίας καὶ πταίσματά τινα καὶ ἀρρωστήματα μᾶλλον, ἀλλ' οὐ τοῦ διακειμένου τῆς γνώμης, οὐδὲ σπουδῆς ἔργα καὶ λογισμῶν ἐν τῷ φυσικῷ καθεστῶτι καὶ τῇ ἄνωθεν εὐεξίᾳ μενόντων· ἢ τἀληθέστερον εἰπεῖν, οὐδὲ τῆς βουλῆς ταῦτα καὶ τῶν ἀρίστων, οὐδέ γε τῆς δευτέρας καὶ μέσης, ὡς ἂν εἴποι τις, μοίρας, ἀλλὰ τοῦ πολλοῦ καὶ συρφετώδους ἀνθρώπου, καὶ τούτων οὐχ ἡμεδαπῶν, ἀλλ' ἐπηλύδων τινῶν βαρβάρων ἔκ τε τῶν ἡμετέρων ἐσχατιῶν καὶ τῶν κύκλωθεν νήσων ὑπ' ἀνάγκης φυγάδων αὐτόθι συνελθόντων· ἄνδρας αἱμάτων καὶ δολιότητος Δαυὶδ ἂν εἶπεν ὁ μέγας, οὓς ἀλογία καὶ κακίστη τις πρόληψις ἄγει δίκην ἀνδραπόδων τῇδε φερομένους καὶ τῇδε ὑφ' ἑνὸς ἢ δυοῖν τινων ὀχλοκρατῶν ἢ κυκεώνων, ἢ τυφώνων ἀγρίων, ἢ οὐκ οἶδ' ὅπως ἂν ἀξίως αὐτοὺς τῆς σφετέρας αὐτῶν ἀβελτηρίας προσείπω, ἀναξίους μὲν τῆς κακῶς οὐκ οἶδ' ὅπως αὐτοὺς ἐνεγκούσης—ἐπὶ γὰρ τοῖς καλλίστοις πάλαι φημιζομένην, ἐπὶ τοῖς κακίστοις διαβόητον, οἴμοι, τὴν θαυμαστὴν ταύτην πεποιήκασι πόλιν—, κακίστους δὲ καὶ δύσνους παντάπασι τῇ ἐκ Θεοῦ βασιλείᾳ καὶ Θεοῦ μὲν καὶ τῆς αὐτοῦ ἐκκλησίας προφανῶς ἀλιτηρίους καὶ ἀποστάτας, μιαροὺς δέ τινας καὶ φθόρους καὶ κοινοὺς ὀλετῆρας τοῦ ἀνθρωπείου γένους ὀφθέντας· οἵτινες ἐπὶ κακίστου προσρήματι ζήλου τυραννίδα σφίσιν αὐτοῖς περιποιησάμενοι κακούργως φόνων αἰσχίστων καὶ ἀλλοκότων τινῶν αἱμάτων οὐ Θεσσαλονίκην μόνον, ἀλλὰ καὶ πᾶσαν σχεδὸν τὴν ὑπὸ Ῥωμαίους ἐνέπλησαν, ὡς μηδὲν εἶναι πρὸς ταῦτα μήτε τὰ Ἰουδαίων πάθη, ἅπερ Ἰώσηπος τραγῳδεῖ τῶν Ἱεροσολύμων πολιορκουμένων συμβῆναι, μήτε κακῶν αὐτὰ προσειπεῖν Ἰλιάδα, μήτε δεινὰ Λήμνια, ἃ δὴ καὶ εἰς παροιμίαν δι' ὑπερβολὴν ἐνομίσθησαν τοῖς ἀρχαίοις. Ἀλλὰ ταῦτα μέν, ὅπερ εἶπον, ἀρρωστήματα κοινὰ διὰ τῆς καθ' ὑπερβολὴν χεθείσης κακίας τῷ ταλαιπώρῳ γένει τῶν ἀνθρώπων ἀθλίως ἐπεισκωμάσαντα, ἥτις ἄρα καὶ τὸ ὁμόφυλον ἐλεεινῶς εἰς ἀντίπαλον ἀπορρήξασα μοῖραν τοὺς ἀσελγεστάτους καὶ θρασυτάτους τοῖς σωφρο-

9/10 Ψαλμ. ε', 7. — 26 κακῶν Ἰλιάδα] Corpus paroem. II, σ. 34 || δεινὰ Λήμνια] αὐτόθι σ. 121, 504. — 29 *ταλαιπόρῳ* B. — 30 *ἐλεηνῶς* B.

Digitized by Google

νεστάτοις καὶ γενναίοις κατεξανέστησεν, ὥστε προσκόπτειν, ὅ φησιν ἡ θεία Γραφή, τὸν παῖδα πρὸς τὸν πρεσβύτην καὶ τὸν ἄτιμον πρὸς τὸν ἔντιμον, καὶ ἀφαιρεθῆναι οὐκ ἀπὸ Ἱερουσαλὴμ καὶ Ἰουδαίας ἔθνους ἑνὸς καὶ μέρει βραχεῖ τινι τῆς οἰκουμένης συγκλειομένου, ἀλλ' ἀπὸ πάσης τῆς οἰκουμένης σχεδὸν ἄρχοντα καὶ ἰσχύοντα καὶ σύμβουλον ἀγαθόν, καὶ συνετὸν ἀκροατὴν καὶ σοφὸν ἀρχιτέκτονα, ἄρχοντας δὲ νεανίσκους ἀντεισαχθῆναι καὶ κυριεύειν ἐμπαίκτας, κατὰ τὸν αὐτὸν αὖθις εἰπεῖν Ἡσαΐαν. Ὅθεν οὐδὲ χρὴ τὴν ἀρίστην τῶν πόλεων ἀπὸ τῶν ὑστέρων δυστυχημάτων ὡς ἔτυχεν ἀποδοκιμάζειν, ἀλλ' ἀπὸ τῶν προτέρων μᾶλλον κατορθωμάτων εὐδαιμονίζειν. Καὶ πρόσεστι τὸ δικαίως· τοὺς μὲν γὰρ δυσπραγοῦντας ὁπωσδήποτε τῶν ἀνθρώπων οὐχ ὅσον κακίζειν, ἀλλὰ καὶ προσφιλοτιμεῖσθαι τὸν ἀπὸ τῆς ψυχῆς ἔλεον πάντες πεφύκαμεν· ἐπαινοῦσι δὲ τὸν σπουδαῖον ἅπαντες μετὰ παντὸς τοῦ προθύμου, καὶ οὐκ ἔστιν ὃς οὐ μετὰ σπουδῆς ταυτηνὶ χορηγεῖ τὴν συντέλειαν, ἐάν τε καθ' ἑνὸς ἐάν τε κατὰ πόλεως ὅλης ὁ ἔπαινος ᾖ, κἂν ἐπ' ἐσχάτων δυστυχοῦντες ὀφθῶσι καὶ κατὰ πολὺ τῆς προτέρας ἀρετῆς καὶ τῆς ἀξίας ἑαυτῶν ἐνδεῶς πράττοντες.

3. Καὶ τὰ μὲν τῆς πατρίδος, ὅσον ἐπιμνησθῆναι, τοιαῦτα, καὶ δικαζέτω τοῖς εἰρημένοις ἡ φιλόσοφος ἀκοὴ φιλαλήθως, εἴτε πρὸς ἀλήθειαν, εἴτε καὶ πρὸς χάριν πως εἰρημένα τυγχάνει· τῆς δὲ τῶν πατέρων εὐγενείας καὶ ἀρετῆς, ἣν ἐκεῖνοι καὶ συνόντες ἀλλήλοις καὶ διαστάντες κατ' ἔρωτα θειοτέρας φιλοσοφίας ὕστερον ἐπεδείξαντο, πολλὰ μὲν καὶ πολλαχόθεν τὰ παραδείγματα (ὧν πλήρης ἥ τε τῶν Θετταλῶν καὶ τῶν Μακεδόνων γῆ καὶ τὰ ἐπέκεινα τούτων, ὅσα δηλαδὴ τῇ φήμῃ κατέλαβον, ἡ πρὸς τὸ θεῖον ὁσιότης καὶ ἀκριβὴς εὐλάβεια μέχρι δὴ καὶ τῶν λεπτοτάτων, βίου καθαρότης ἀμιγεστάτη τῆς ἡστινοσοῦν ἁρπαγῆς καὶ πλεονεξίας, ἔλεος ἐκ ψυχῆς πρὸς τὴν κοινὴν φύσιν, οἰκετῶν ἐπιμέλεια, σώματος παιδαγωγία καὶ ἡ τούτοις φαιδρὸν ἐπιλάμπουσα σωφροσύνη, τὸ πλείστοις μὲν σπουδαζόμενον, μόνοις δὲ τοῖς ἀρίστοις ὡς πέ-

1 *προσκώπτειν* M. — 2,8 Ἡσαΐου γ', 1-5.

φυκε κατορθούμενον), τὸ δὲ τούτων ἁπάντων κάλλιστόν τε καὶ ὑψηλότατον καὶ ᾧ διαφερόντως ἐκεῖνοι τῶν ἄλλων ἐκράτουν, ἡ τῶν τρόπων ἁπλότης καὶ τὸ πρὸς πάντας ἐπιεικές τε καὶ μέτριον· ὥστε τοὺς αὐτοὺς καὶ μεγίστους ὁμοῦ καὶ ταπεινοτάτους εἶναι, τὸ μὲν οἷς εὐγενείᾳ τρόπων καὶ τῇ κατὰ κόσμον περιφανείᾳ καὶ πᾶσιν ὡς εἰπεῖν τοῖς καλλίστοις τῶν ἄλλων ἐκράτουν, τὸ δ' ὅτι καὶ τοιοῦτοί τινες ὄντες, ὡς καὶ φρόνημα μεῖζον ἐντεῦθεν ἔχειν δύνασθαι καὶ τῶν ὁμογενῶν ἑαυτοὺς προέχειν ἡγεῖσθαι· οἱ δὲ τῇ τῆς γνώμης ἁπλότητι καὶ τῷ διὰ πάντων κεκαθαρμένῳ καὶ θεοφιλεῖ τῆς ψυχῆς εἰς τοὺς ἐσχάτους καὶ ὑπευθύνους τῶν οἰκετῶν ἑαυτοὺς τελεῖν ἔλεγον, θεοείκελοί τινες καὶ Χριστοῦ μιμηταὶ πρὸς ἀκρίβειαν πεφυκότες τοῦ πανταχοῦ τετιμηκότος τὸ μέτριον, οἷς εἶπέ τε καὶ ὑπέδειξε, καὶ Παῦλον καλῶς ἐκμιμούμενοι τὸν μέγαν (ὃς οὐκ ἐξ ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων τὴν ἀποστολὴν δεξάμενος, ὥστε καὶ σκεῦος ἐκλογῆς πρὸς τοῦ χρηματίζοντος δεσπότου κληθῆναι καὶ εἰς οὐρανὸν ἁρπαγῆναι καὶ ἀπορρήτων τινῶν ὑπὲρ λόγον ἀξιωθῆναι, ἔσχατον ἑαυτὸν ἀπεκάλει τῶν ἀποστόλων καὶ μηδὲ τοῦ προσρήματος γοῦν τῆς ἀποστολῆς ἄξιον), ἄξιοι μὲν τῆς πατρίδος, ὡς τὴν ἀρχαίαν εὐγένειαν τοῦ γνησιωτάτου χρυσοῦ γένους ἐκείνης, ὃ φιλανθρωπία δηλαδὴ καὶ ἁπλότης ἐκόσμει, κάλλιστα καὶ τοῖς ἑξῆς διασεσωκότες, ἀξιώτατοι δ' ὡς μάλιστα διὰ ταῦτα καὶ τοιούτου παιδὸς ὀφθῆναι πατέρες, ἵνα τοῦτο μισθὸς αὐτοῖς τῆς πρὸς ἀρετὴν γένοιτο σπουδῆς καὶ τῆς πολλῆς καλοκἀγαθίας καὶ τὸν τῆς δόξης ἀναδήσαιντο στέφανον τῇ τοῦ καλοῦ γεννήσει Στεφάνου· οὕτω γὰρ ἐκεῖνοι φερωνύμως ἢ προφητικῶς μᾶλλον εἰπεῖν ἐκάλουν τὸν παῖδα. Ἔδει δὲ πάντως κἀκεῖνον ὥς τι θεόσδοτον καὶ κοινωφελὲς χρῆμα πρὸς ἀνθρώπους ἔρχεσθαι μέλλοντα καταλλήλους ἑαυτῷ τὰς τοῦ γένους ἀρχὰς ἔχειν, ἵνα μὴ μόνον ἀπὸ τοῦ καρποῦ τὸ δένδρον, ἀλλὰ καὶ ὁ καρπὸς ἀπὸ τοῦ δένδρου γνώριμος εἴη· μηδὲ γὰρ ἂν δυνατὸν εἶναί ποτε, κατὰ

15 σκεῦος ἐκλογῆς] Πράξ. θ', 15. — 16 Κορινθ. 2, ιβ', 2-4 || *κληθεῖναι, ἁρπαγεῖναι* B. — 24 δόξης στέφανον] Πέτρου 1, ε', 4. — 27 *κοινοφελὲς* B. —29 Ματθ. ιβ', 33. Λουκᾶ ς', 44.

Digitized by Google

τοὺς θείους φάναι χρησμούς, συλλέγειν ἐξ ἀκανθῶν σῦκα καὶ ἀπὸ βάτου τρυγᾶν σταφυλήν, ἀλλὰ τὸν ἀγαθὸν δηλαδὴ καρπὸν ἀγαθοῦ δένδρου προκύπτειν καὶ τῇ ῥίζῃ καταλλήλους καὶ πεφυκότας εἶναι τοὺς κλάδους· ὃ δὴ καλῶς ποιοῦν κἀνταῦθα συνέδραμεν, ὡς τὰ ἑξῆς τοῦ λόγου δηλώσει.

4. Τοιούτων τοιγαροῦν ὁ καλὸς ἐκφὺς Στέφανος, γραμματισταῖς μὲν καὶ παιδευταῖς ἐπὶ πάνυ τοι νεαζούσῃ τῇ ἡλικίᾳ ἐκδίδοται· ὃ δὲ τῷ κατὰ φύσιν δοκίμῳ καὶ σπουδὴν εἰσενεγκὼν ἀρίστην ὡς μάλιστα πάντας ἐν βραχεῖ τοὺς ἥλικας ἀπαραμίλλως ὑπερεβάλετο, τοῖς μὲν ἱεροῖς τε καὶ ἡμετέροις παιδευταῖς καὶ μαθήμασι τὸ πλεῖστον ἐνδιατρίβων καὶ τούτοις ἑαυτὸν προτελῶν καὶ τύπους τινὰς προσκιαγραφῶν τῆς εἰς τὸ μέλλον εὐδοκιμήσεως, ὀλίγα δέ τινα τῶν ἐγκυκλίων φιλοσοφήσας καὶ πρὸς βραχὺ τοῖς ἀρίσταις τῶν ποιητῶν συγγινόμενος· δεῖν γὰρ αὐτῷ καὶ τῶν ἔξω λόγων καλῶς ᾤετο, ὥστε συνεργοὺς ἔχειν καὶ ὑπηρέτας πρός γε τὴν τῶν κρειττόνων ἐξέτασιν καὶ μὴ σκάζειν αὐτῷ τὸν νοῦν ἐν τούτῳ τῷ μέρει καὶ δυσκινήτως ἔχειν πρὸς τὴν καλλίστην ταύτην ὁδοιπορίαν (ὃ καὶ πολλοὺς τῶν σπουδαίων ὡς τὰ πολλὰ πάσχοντας βλέπομεν) τῷ θεωρητικῷ τῆς ψυχῆς, τῆς τῶν Γραφῶν ἐπισκοτούσης ἀγνοίας, ἣν ἀπουσία δηλαδὴ λόγου κατασκευάζει, τὸν ἐν ἡμῖν φυσικὸν λόγον ἀφυπνίζειν ὡσανεὶ πεφυκότος καὶ χειραγωγεῖν πρὸς τὴν τῶν κεκρυμμένων σαφήνειαν. Ὅθεν ὀλίγα ταῖς περὶ λέξιν καὶ σύνταξιν ἐξετάσεσι καὶ τεχνολογίαις προσασχολῶν ἑαυτόν, ἃ δὴ γραμματικὴ χαρίζεσθαι πέφυκεν, ἀναγνώσει τὸ πᾶν ἐδίδου, τοὺς ἠθικούς τε καὶ παραινετικοὺς τῶν λόγων διεξιὼν καὶ τὴν ἐντεῦθεν ἑαυτῷ θησαυρίζων ὠφέλειαν· ἱστορικῶν δὲ καὶ ποιητῶν ὅσον εἰς γνώμας φέρει καὶ τὴν ψυχὴν πρὸς ἀνδρίαν ἀλείφει φιλοπόνως ἀναλεξάμενος, τὸ μυθῶδες ἅπαν καὶ περιττὸν ὡς κενὴν φλυαρίαν καὶ λόχον ἀτεχνῶς ὄντα ψυχῆς ἐς κόρακας φιλοτίμως ἀπέρριψεν. Ἐντεῦθεν τοῖς πᾶσιν ἐπέραστος ἦν καὶ τῆς ἐκείνου

1 ἐξ ἀκανθῶν σῦκα] Ματθ. ζ', 16 «ἀπὸ τριβόλων σῦκα». Λουκᾶ ς', 44. — 2 ἀπὸ βάτου τρυγᾶν σταφυλήν] Λουκᾶ ς', 44. — 9 *ἀπαραμίλως* Β. — 13 *φιλοσοφίσας* Β. — 28 *μυθόδες* Β.

Digitized by Google

σπουδῆς καὶ γνώμης ἅπαντες ἥττηντο, ποθεινὸς μὲν διδασκάλοις, ἡλικιωτῶν δὲ καὶ τῶν ἄλλως αὐτῷ κοινωνῶν τῆς παιδεύσεως, τοῖς μὲν ἁπλουστέροις τὸν τρόπον καὶ σώφροσιν ἡδονή τις ἄρρητος καὶ παιδαγωγία καὶ πρὸς ἀρετὴν ἑτοίμη παράκλησις, τοῖς δέ γε πονηροτέροις καὶ τὸ ἦθος ὑπούλοις καὶ ἀκολάστοις τὴν δίαιταν φοβερὸς μὲν διὰ τὸ τῆς ἀρετῆς περιὸν καὶ ἀπρόσιτος, ἐπίχαρις δ' ἄλλως καὶ ποθεινὸς διὰ τὸ μηδὲν πρὸς μηδένα τῶν πάντων σκυθρωπὸν ὑποφαίνειν καὶ ἄφιλον, ἀλλ' ὅλως ἡδονὴν καὶ ἀποστάζειν ἐν ταῖς ἁπάντων ψυχαῖς καὶ σιωπῶν καὶ φθεγγόμενος· προσῆν γὰρ αὐτῷ τῇ κατὰ ψυχὴν ἀνδρίᾳ καὶ σώματος ῥώμη, καὶ μελῶν εὐρυθμία, καὶ εἴδους εὐπρέπεια, οἷς καὶ τὸ τοῦ γένους περιφανὲς συνιὸν ἐπίσημον ἐτίθει τὸν νέον οὐ παιδευταῖς μόνον καὶ συγγενέσι καὶ ἥλιξιν, ἀλλὰ καὶ πάσῃ τῇ πόλει σχεδόν, ἄρχουσί τε καὶ ἀρχομένοις, σοφοῖς τε καὶ ἰδιώταις καὶ ἡλικίᾳ πάσῃ καὶ παντὶ τάγματι. Τὸ δὲ τῶν πατέρων περὶ αὐτὸν φίλτρον, εἰ καὶ μὴ τοσοῦτοι τὴν ἀρετὴν ἦσαν, ἦν μὲν ἂν καὶ οὕτω μέγα, οὐχ ὡς παρὰ πατέρων μόνον, ἀλλὰ καὶ ὡς περὶ παῖδα θαυμαστὸν οὕτω καὶ πολλῷ τινι τῷ μέσῳ τοὺς κατ' αὐτὸν ὑπερέχοντα· τοιοῦτοι δὲ πεφυκότες, ὡς ἀρετῆς ὑπόδειγμα τῷ φιλτάτῳ καθ' ἑκάστην προκεῖσθαι καὶ ποιοῦντες καὶ λέγοντες, καὶ πατρικῆς εὐχῆς ὅσον οὐκ ἤδη τυγχάνειν ἐλπίζοντες—ὑπέφαινε γὰρ ἐκ προοιμίων ὅσον ἂν ὑπερβαλέσθαι τοὺς πατέρας ὁ καλὸς παῖς ἔμελλεν—, ὅσου τοῦ κατὰ ψυχὴν ἐπληροῦντο γάνους καὶ οἵαν καὶ τοῖς ἐκτὸς τὴν περὶ τὸν φίλτατον σπουδὴν καὶ τὴν ἡδονὴν ἐνεδείκνυντο, μᾶλλον δὲ τίνα τὴν εὐχαριστίαν οὐκ ἀπεδίδουν τῷ δεδωκότι Θεῷ καὶ τίνας οὐκ ἐκ ψυχῆς ὡμολόγουν τὰς χάριτας;

5. Οὕτω μὲν οὖν ἐν ταῖς ἁπάντων ψυχαῖς καὶ γλώσσαις ὁ Στέφανος ἔκειτο καὶ κοινὸν ἦν ἐφ' ἅπασι τῆς πατρίδος καλλώπισμα, ὁ δὲ πατὴρ ἤσκει μὲν αὐτῷ καὶ τὴν ψυχὴν φιλοπόνως καὶ τὴν ἠθικὴν ἀρετὴν ἔργοις τε καὶ λόγοις αὐτὸν ἐξεπαίδευε, προσεφιλοτιμεῖτο δέ τι καὶ τοῖς ἐκτὸς καὶ τὴν σωματικὴν αὐτὸν ἀπῄτει γυμνασίαν καὶ τοῖς τακτικοῖς προσεθίζειν ἠπείγετο, ἐπειδὴ καὶ τούτου τοῦ τάγματος ὄντες ἐτύγχανον· ἀλλ' ἐκεῖνος τὴν σωματι-

Digitized by Google

κὴν γυμνασίαν πρὸς ὀλίγον χρησίμην οὖσαν εἰδώς, ὅ φησι Παῦλος ὁ μέγας, τὴν ψυχικὴν μᾶλλον κατορθοῦν ἔσπευδε, τῶν μὲν παρόντων ὡς μὴ ὄντων ὑπερφρονῶν, τῶν δὲ μελλόντων ὡς μενόντων ἀληθῶς ἀντεχόμενος καὶ "κατὰ σκοπὸν διώκων ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως". Ὅθεν ἀνέσεις μὲν καὶ τρυφὰς καὶ παιδιὰς ἀτάκτους καὶ γέλωτας καὶ τὰς τῶν ἡδονῶν ἀνδραποδώδεις, αἷς ὡς τὰ πολλὰ περιπίπτειν τὸ τῆς νεότητος ἀφύλακτον πέφυκε, τοῖς ἀνδραποδωδεστέροις καὶ κτηνώδεσι τὸν λογισμὸν προσήκειν ἐνόμιζεν· ἐγκράτειαν δὲ καὶ τὴν σύζυγον αὐτῇ σωφροσύνην αὐτὸς ἀσπασάμενος ἑαυτῷ προσέχων ἦν ὡς τὰ πολλὰ καὶ τὸν Θεὸν ἐκζητῶν ὁσημέραι μετὰ συντριβῆς καρδίας καὶ πνεύματος ταπεινώσεως.

6. Ὁ τοίνυν ἐπιβλέπων ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ γινώσκων τοὺς ὄντας αὐτοῦ Κύριος, ὁ κατὰ Παῦλον τὸν μέγαν καὶ τοῦτον ἀφορίσας ἐκ κοιλίας μητρὸς καὶ σκεῦος ἐκλογῆς προειδὼς ἔσεσθαι, καλεῖ καὶ τοῦτον ἀφανῶς ἐπὶ τοὺς πνευματικοὺς ἀγῶνας, ὁ τὰ ἴδια πρόβατα καλῶν ἐξ ὀνόματος. Αὐτίκα γοῦν καὶ πατρίδα καὶ γένος καὶ περιφάνειαν καὶ τὸ τῶν γεννητόρων φίλτρον παρ' οὐδὲν θέμενος, μικρόν τι τὸν ἔφηβον ὑπερβάς, ἔξεισι λάθρᾳ καὶ τῆς οἰκίας τῆς πατρικῆς καὶ τῆς πόλεως, οὐδὲν ἔχων μεθ' ἑαυτοῦ, εἰ μὴ τὸν Χριστὸν μόνον καὶ τοὺς πρὸς αὐτὸν ὑπερφυεῖς ἔρωτας, δι' ὃν αὐτός τε, κατὰ Παῦλον τὸν μέγαν, ἤδη τῷ κόσμῳ νεκρὸς ἦν καὶ κόσμος ἅπας αὐτῷ νενέκρωτο, ὡς μηκέτι μὲν αὐτὸν ζῆν, ζῆν δὲ τὸν Χριστὸν ἐν αὐτῷ, τὸν τῷ ἰδίῳ αἵματι τοῦτον ἐξαγοράσαντα· καὶ τῷ καλέσαντι δεσπότῃ προθύμως ἑπόμενος τὸν ἱερὸν Ἄθω καταλαμβάνει, Ἄθω τὸν χρυσοῦν ὄντως καὶ φίλτατον καὶ πρόξενον ἐμοὶ τῶν καλλίστων εἴπερ τινί, ὅς μοι πρὸς τοῖς ἄλλοις ἢ πρὸ τῶν ἄλλων καὶ τὸν φωστῆρα καὶ ὁδηγὸν τοῦτον ἐγνώρισεν, εἰ καὶ τὸ μέχρι τέλους ἐκείνῳ συνεῖναι — φεῦ τῆς ζημίας — ὁ φθόνος ἀφείλετο. Εἴσεισι τοίνυν ὁ καλὸς ἀθλητὴς τὸ παγκράτιον τῆς ἀσκήσεως, τὸ σεβάσμιον ὄρος φημί, τὴν πατρίδα

1 Τιμοθ. 1, δ', 8. — 4 Φιλιπ. γ', 14. — 10 τὸν θεὸν ἐκζητῶν] Ψαλμ. ιγ', 2. νε', 2. — 14 Γαλάτ. α', 15 «ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου» || σκεῦος ἐκλογῆς] Πράξ. θ', 15. — 16 Ἰωάν. ι', 3 «καὶ τὰ ἴδια πρόβατα καλεῖ ἐξ ὀνόματος». — 21/23 Γαλάτ. β', 20.

Digitized by Google

τῶν μοναζόντων, τὴν οὐράνιον Ἱερουσαλήμ, τὴν τῶν πρωτοτόκων τῶν ἀπογεγραμμένων ἐν οὐρανοῖς σεπτὴν ὄντως μητρόπολιν, μετὰ τοσαύτης μέντοι τῆς προθυμίας καὶ τῆς κατὰ ψυχὴν ἡδονῆς τε καὶ χάριτος, ὡς αὐτὸς ὕστερον ἔλεγε, μεθ' ὅσης οὐδὲ Μωσῆς ὁ μέγας πάλαι τὸ Σίναιον· εἰ γὰρ καὶ τοῦ πυρὸς ἐκεῖνος καὶ τῆς νεφέλης εἴσω κεχώρηκεν, ἀστραπῶν καὶ βροντῶν καὶ γνόφου καὶ θυέλλης ἐκδειματούντων τοὺς ἄλλους καὶ φοβερὰν ἐργαζομένων τὴν ὅρασιν—καὶ γὰρ ἦν ὄντως φρίκης μεστὸν τὸ ὁρώμενον, ἄνθρωπος τὸ πῦρ εἰσιὼν μετὰ τῆς ὕλης ταυτησὶ καὶ τοῦ κράματος καὶ κοινωνῶν ἀπορρήτων καὶ συμβόλοις ἱεροῖς τὸ θεῖον ἐνοπτριζόμενος, ὅθεν ἄρα καὶ τὸ πρόσωπον ἐδοξάσθη, ὡς μηδὲ τοὺς ἐντυγχάνοντας ἀτενίζειν αὐτῷ δύνασθαι δίχα τειχίου τινὸς καὶ προβλήματος—, ἀλλ' οὗτος οὐ γνόφῳ καὶ πυρὶ καὶ ὄρει καπνιζομένῳ καὶ σαλπίγγων ἤχῳ προσελαύνειν, ἀλλ' αὐτὸν εἰσιέναι τὸν οὐρανὸν ἀτεχνῶς ᾤετο καὶ πανήγυριν Ἀγγέλων ὁρᾶν καὶ πρωτοτόκων οὐρανίων ὁμήγυριν, Θεὸν ὡς ἐφικτὸν ἀθορύβως ὁρώντων, ἠπίως καὶ προσηνῶς, ὡς αὐτὸς οἶδε τοῖς τῇ καρδίᾳ καθαροῖς ὀπτανόμενον· οὗ δὴ καὶ αὐτὸς τυγχάνειν ἐσύστερον ἔμελλεν, ὡς τὰ ἑξῆς τοῦ λόγου δηλώσει μοι.

7. Καὶ ὅρα μοι τῆς μεγάλης ψυχῆς ἐκείνης ἐκ πρώτης, ὅ φασιν, ἀφετηρίας τὸ γενναῖόν τε καὶ φιλόσοφον· οὐ γὰρ ἁπλῶς τὸν ἱερὸν εἰσελθὼν τουτονὶ χῶρον καὶ τῆς ἔξω καὶ φαινομένης μετασχὼν χάριτος, ἢ καὶ τοῖς θαυμαστοῖς αὐτοῦ πολίταις βραχύ τι προσδιαλεχθεὶς καὶ συμμίξας, ὥσπερ οἱ πόλεις καὶ τόπους κατ' ἤπειρόν τε καὶ θάλασσαν ἱστοροῦντες, ἢ καὶ μελῳδῶν τινων καὶ κιθαρῳδῶν, ὡς ἔτυχε, πρὸς ἡδονὴν καὶ τέρψιν ἀκούοντες, ὑποστροφῆς ἔπειτ' ἐμνήσθη, τοῦτ' αὐτὸ νομίσας μόνον ἀρκεῖν, ὃ δὴ καὶ πολλοὺς ὡς τὰ πολλὰ πάσχοντας βλέπομεν, ἢ παρέμεινε μέν, οὐ καρτερικῶς δέ, ἢ καρτερικῶς μὲν καὶ μετὰ τῆς προσηκούσης ἀνδρίας, οὐ μέχρι τέλους δέ, ἢ καὶ τοῦτο μέν, ἀσκόπως δὲ καὶ ἀβασανίστως καὶ ἀναξίως ἑαυτοῦ τε καὶ τῆς προ-

1/2 Ἑβρ. ιγ', 23. — 5/6 Ἐξόδ. ιθ', 16. — 11 Ἐξόδ. λδ', 30-35. — 13 Ἐξόδ. ιθ', 18. κ', 18. — 16 *ὁμίγυριν* B. — 17 τοῖς τῇ καρδίᾳ καθαροῖς] Ματθ. ε', 8.— 19/20 ἐκ πρώτης ἀφετηρίας] Corpus paroem. II, σ. 61, ἀριθ. 56.

Digitized by Google

κειμένης φιλοσοφίας καὶ αὐτοῦ δέ φημι τοῦ καλέσαντος, ἀλλὰ πάντα συνετῶς καὶ βεβουλευμένως καὶ μετὰ τοῦ προσήκοντος αὐτῷ σχήματος· καὶ ὡς ἄν τινες, οἶμαι, τῶν παλαιῶν ὀλίγοι, οὓς καθάπερ στήλας τινὰς καὶ παραδείγματα πολιτείας ἀρίστης ἱστορίαι πατέρων καὶ βίβλοι φέρουσιν· ἄριστα γὰρ παρ' ἑαυτῷ διελών τε καὶ λογισάμενος ὁ σοφώτατος, ὅτι τὸ μὲν ἀνυπότακτον ἀπαίδευτόν τε καὶ ἀταπείνωτον καὶ διὰ τοῦτο καὶ πρὸς ἀνάληψιν μαθημάτων ὥσπερ ἀποπεφυκὸς καὶ ἀνάρμοστον, τὸ δὲ πρὸς ὑπακοήν τε καὶ ταπείνωσιν ἕτοιμον τοῦτο καὶ πρὸς πᾶσαν μὲν τὴν ἡντινοῦν παιδείαν, μάλιστα δὲ πρὸς τὴν θαυμαστὴν ταύτην φιλοσοφίαν, συνῳδόν τε καὶ κατάλληλον, τῶν μὲν χρονίων ἐθῶν καὶ προλήψεων καὶ τοῦ οἴεσθαί τι γινώσκειν ἐντεῦθεν ἐκριζουμένων, ὥσπερ τινὸς ἀκανθώδους ὕλης καὶ μοχθηρᾶς, ἣ δὴ θηρῶν ὀλεθρίων εἴτουν ἀκαθάρτων παθῶν ἐστι καὶ νομὴ καὶ κατοικητήριον, τοῦ δὲ καλοῦ σπόρου καὶ ζιζανίων ἀμιγοῦς αὐτίκα μετὰ τῶν προσηκόντων τῆς ἀρετῆς ἱδρώτων ἄριστα καταβαλλομένου καὶ τὰ τῶν ἀρετῶν κατὰ καιρὸν ἀναδιδόντος ποικίλα βλαστήματα, μέχρις ἂν τὴν τῶν ἑκατὸν τελειοτάτην ἀποτελέσῃ φοράν, κατὰ τὸν δεσποτικὸν λόγον· ταῦτ' ἐκεῖνος ἀξίως ἑαυτοῦ τε καὶ τοῦ καλέσαντος λογισάμενος, καὶ ὥσπερ ἀπὸ γραμμῆς τὸ τῆς ψυχῆς παραδεικνὺς διακριτικὸν καὶ τὴν εἰς τὸ μέλλον τελείωσιν, διέρχεται μὲν τὸ τῶν ἱερῶν φιλοσόφων ἐκεῖνο σεμνὸν σύστημα μετὰ τῆς προσηκούσης σπουδῆς καὶ τοῦ σχήματος, ἕκαστον τῶν μυσταγωγῶν ἀνερευνῶν φιλοπόνως καὶ τὸ τῆς πολιτείας εἶδος ἑκάστου, τό τε ἦθος αὐτό φημι καὶ τὸν λόγον κατὰ τὸ δυνατὸν ἀνιχνεύων, καὶ τὴν ἐκ πάντων ἑαυτῷ θησαυρίζων ὠφέλειαν· τὸν δὲ πάντων γενναιότατόν τε καὶ περὶ τοὺς ἀσκητικοὺς ἀγῶνας ἀνένδοτον καὶ γηραιὸν μὲν τὸν χρόνον, πρεσβύτατον δὲ τὴν ἀρετὴν καὶ διὰ τοῦτο καὶ πλείστου παρὰ πολλοῖς ἠξιωμένον ὀνόματος ἐκλεξάμενος ὕστερον, αὐτοῦ που περὶ τὰ μέσα τοῦ θείου ὄρους, ἵνα καὶ δὴ καὶ τὸ Κοινὸν Ἀρχεῖον τοῦ τῶν μο-

13 *ἀκανθόδους* B || *θηρίων* B. — 14 τοῦ δὲ καλοῦ σπόρου καὶ ζιζανίων ἀμιγοῦς] Ματθ. ιγ', 24 κέ. — 17 ἑκατὸν] Ματθ. ιγ', 8, 23. — 20 ἀπὸ γραμμῆς] Corpus paroem. II, σ. 145. — 21 *τελίωσιν* B. — 30 Κοινὸν Ἀρχεῖον=αἱ Καρυαί.

Digitized by Google

ναζόντων προκαθημένου σεμνῶς ἵδρυται, τὴν ἀσκητικὴν οἰκίαν πηξάμενον, καθηγητὴν ἑαυτοῦ καὶ παντοδαπὸν ἡγεμόνα καὶ μετὰ Θεὸν κυβερνήτην καὶ δεσπότην προβάλλεται καὶ τὸν πρῶτον τῆς μοναδικῆς, εἴτουν ἀγγελικῆς, πολιτείας ἆθλον μάλα περιχαρῶς τε καὶ γενναίως ὁ γενναῖος εἰσέρχεται Στέφανος· καὶ κείρεται μὲν ὑπὸ τοῦ παιδοτρίβου τὰς τρίχας, ὅσα καὶ μοναχοῖς νόμος, ὁ πάλαι πᾶν τὸ περιττὸν καὶ φιλότιμον ἀπορρίψας καὶ τὴν νεκρὰν ὕλην καὶ παχυτέραν καταλιπὼν τοῖς νεκροῖς, τὴν προαίρεσιν, τὴν δὲ τοῦ Χριστοῦ σφραγῖδα διὰ τῶν ἱερῶν δεξάμενος ἐπικλήσεων, ἣν οὐκ οἶδ' εἴτε μετανοίας καὶ βίου κρείττονος χρὴ λέγειν ἀρχήν, εἴτε τῆς μιᾶς καὶ πρώτης σφραγῖδος τοῦ μεγάλου βαπτίσματος ὥσπερ ἐγκαίνιον, εἴτε καὶ ἄμφω ταῦτα, τὴν τοῦ πνεύματος πανοπλίαν ὁ καὶ πάλαι ταύτην ἐνδὺς φαιδρότερον περιβάλλεται καὶ εἰς Θεοῦ παράταξιν ἀριθμεῖται καὶ πρὸς ὅλην τὴν τῶν νοητῶν ἀντικειμένων δύναμιν ὁ θαυμάσιος παραβάλλεται, Σάβας ὀνομασθεὶς ἀντὶ Στεφάνου, ἵνα καὶ τοῦτο σὺν τῇ κλήσει μετὰ Πέτρου καὶ Παύλου καὶ τῶν υἱῶν τῆς βροντῆς ἔχῃ, τῶν ὀνομαστῶν τοῦ Χριστοῦ μαθητῶν, ὁ κατ' οὐδὲν ὅλως ἐλλείπων τῆς προθυμίας αὐτῶν καὶ τῆς πίστεως.

8. Οἵαν μὲν οὖν τὴν κατὰ ψυχὴν ὁ γεννάδας ἐπεδείξατο ῥώμην καὶ τὴν ἐν τοῖς ἀγῶσι τούτοις καρτερίαν τε καὶ τὴν ἔνστασιν, μᾶλλον δὲ μεθ' ὅσης τῆς ἡδονῆς καὶ τῆς εὐκολίας νύκτωρ καὶ μεθ' ἡμέραν ἐδέχετο τὰ τοῖς ἄλλοις ἀηδῆ τε καὶ δύσκολα, πίνων ὡσεὶ μέλι καὶ γάλα μυκτηρισμόν, κατὰ τὸν εἰπόντα, καὶ ὥς τινα μυστικὴν ἀμβροσίαν τὴν τῶν ὕβρεων καὶ λοιδοριῶν, ἔστι δ' ὅτε καὶ πληγῶν προσιέμενος τράπεζαν—ἦν γὰρ ὁ τούτου μυσταγωγός, ὅπερ ἔφθην εἰπών, τραχύς τις καὶ τὸ ἦθος ἀνένδοτος διά τε τὸ τῆς διαίτης καθ' ὑπερβολὴν σκληρόν τε καὶ ἄφιλον καὶ τὴν φυσικὴν ἄλλως τῶν στοιχείων κρᾶσιν· ὃ δὴ καὶ ἡμεῖς τὰ μὲν ἰδόντες, τὰ δὲ πλεῖστα τῶν ἐκείνου πεπειραμένων ἀκριβῶς ἐκμαθόντες

3 *πρῶτον μὲν* B.—10 *κρίττονος* B.—17 υἱῶν τῆς βροντῆς] Μάρκ. γ', 17 || *ἔχοι* (η) M. — 24 Ἰὼβ λδ', 7. — 25 *ἀμβρωσίαν* B.

ἔχομεν—, ταῦτα μὲν οὖν, ἅπερ εἶπον ὡς ἐν βραχεῖ, καὶ τὰ τούτοις ἀκόλουθα λεγέτωσαν οἱ πείρᾳ μαθόντες, εἴ τινες ἔτι τῶν καθ' ἡλικίαν περίεισιν· οἳ καὶ πολλοὺς τῶν ἀγωνιστῶν πρὸς τὸν ἴσον ζῆλον καὶ τὴν ἀνδρίαν καὶ τότε καὶ νῦν ἐξ ἀκοῆς καὶ μόνης τῶν ἐκείνου κατορθωμάτων ἀλείφοντες, μᾶλλον δὲ ὥσπερ ὁρώμενος τότε τὸν ἀγῶνα συνίστη καὶ τοὺς τῆς ὑπακοῆς χορευτάς τε καὶ συνεργάτας ἑφεπομένους εἶχε, πρώταθλός τις τελῶν ὁ αὐτὸς καὶ τῶν ἀγωνιζομένων ἀλείπτης καὶ στεφανίτης καὶ νικητὴς ἀπαράμιλλος· οὕτω δὴ καὶ τοῖς ἐσύστερον ἀκουόμενος τοῦτ' αὐτὸ ποιῶν ἦν, οἱονεί τινα μύωπα δεινὸν ἐμβάλλων ταῖς τῶν ὑπηκόων ψυχαῖς καὶ διερεθίζων θερμότατα πρὸς τὴν μίμησιν, εἰ καὶ πεζοὶ παρὰ λύδιον ἅρμα πάντες οἱ πρὸς ἐκεῖνον καὶ τὸν ἐκείνου δρόμον βλέποντες ἔδραμον· μόνος γὰρ ἐν ὑπακοῇ καὶ ταπεινώσει τῳόντι Σάβας ὁ θαυμάσιος ξένον τι καὶ θεσπέσιον ἔλαμψε, τοσοῦτον τοὺς περὶ ταῦτα λαμπροὺς ὑπερσχών, ὅσον τοὺς ἐν νυκτὶ φαινομένους ἀστέρας ὁ τῆς ἡμέρας οὗτος ἐργάτης, ὁ μέγας ἥλιος, καὶ τοῦτο παρὰ πᾶσι τοῖς πολίταις τῆς ἱερᾶς συνοικίας ἐκείνης ἐλέγετό τε καὶ ἐπιστεύετο.

9. Ἐγὼ δὲ τοῦ τόσον τῶν ἄλλων διαφερόντως ἔχω θαυμάσας, ἀνδρῶν ἱερώτατε καὶ σοφώτατε, ὅτι πατρικῆς ἄρτι προελθὼν οἰκίας, ἀγωγῆς τε καὶ διαίτης, ἧς ἂν εὐγενῶν φίλτατοι παῖδες μετάσχοιεν, κἀντεῦθεν οὐ τὸ σῶμα μόνον, ἀλλὰ καὶ τὴν ψυχὴν ἀγύμναστον ἔχων καθάπαξ πρός γε τὴν τοσαύτην δυσπάθειαν, οὐ μόνον ὁμαλῶς τε καὶ ἠπίως τὸ τῆς ὑπερβαλλούσης ἐγκρατείας σκληρόν τε καὶ ἄφιλον ἔφερες, λιμῷ τε καὶ δίψει καὶ παννύχοις προσταλαιπωρῶν ἀγρυπνίαις καὶ στάσεσι καὶ μηδὲν μηδοπωστιοῦν ὑπό γε τοῦ ἀήθους καὶ τῆς ὑπερβολῆς θορυβούμενος, ἀλλ' ὅτι καὶ προσονειδιζόμενος ὁσημέραι καὶ πλείστην ὅσην τὴν χλεύην καὶ τὴν λοιδορίαν μετὰ συχνῶν τῶν μαστίγων δεχόμενος, οὐχ ὅσον ἀνδρικώτατα μόνον καὶ ὑπὲρ τοὺς πώποτε γενναίους ἀγωνιστὰς ἔφερες, ἀλλ', εἰ μὴ καὶ καθ' ἑκάστην ταῦτα παρῆν καὶ μετὰ προσθήκης τῆς μείζονος, οὐδόλως ἀνεκτῶς ἔφερες, χαίρων ἐν τοῖς

12 παρὰ λύδιον ἅρμα] Corpus paroem. II, σ. 38, 514.

Digitized by Google

παθήμασί σου, κατὰ Παῦλον φάναι τὸν μέγαν, καὶ ἀνταναπληρῶν ἐν τῇ σαρκὶ τὰ τῶν θλίψεων τοῦ Χριστοῦ ἐκμιμήματα, τοῦ πρώτου τὴν ὑπακοήν, οἷς ἐνήργησεν, ἐκπαιδεύσαντος καὶ δοξασθέντος, οἷς πέπονθε, δι' αὐτῆς καὶ τοὺς κοινωνοὺς τῶν ἰδίων παθῶν συνδοξάσαντος. Ὅθεν οὐ μόνον ἀηδές τι καὶ σκυθρωπὸν πρός γε τὴν πατρικὴν ὄψιν εἶδες οὐδοτιοῦν, ἀλλὰ καὶ κατησπάζου νοητῶς τὸ καθ' ὥραν καὶ οἱονεὶ προσεφύου τοῖς σαυτοῦ μέλεσι, μόνον εἰδὼς καὶ πατέρα καὶ σωτῆρα μετὰ Θεὸν ἄριστον, φιλῶν μὲν ὑπὲρ τοὺς γεγεννηκότας ὃν καὶ σπουδῇ πάσῃ προφανῶς ἐκείνων προκέκρικας, εὐλαβούμενος δ' ἴσα καὶ τῷ δεδημιουργηκότι καὶ σεσωκότι Θεῷ καὶ ὡς ἐκμαγεῖον καὶ εἰκόνα τινὰ τοῦτον ἐν τῇ ψυχῇ περιφέρων ἐκείνου καὶ ταῖς αὐταῖς τιμαῖς δι' ἐκεῖνον καὶ τοῦτον φιλοτιμούμενος, ἐπεὶ καὶ αὐτὸν κατ' ἐκεῖνον δημιουργὸν ἐν σεαυτῷ τῆς ἀρίστης καὶ θειοτέρας ἐγίνωσκες πλάσεως καὶ σωτῆρα μετὰ τὸν μόνον σωτῆρα, μᾶλλον δὲ τῆς ἀληθινῆς ἐκείνης καὶ πρώτης σωτηρίας μυσταγωγὸν καὶ τελειωτὴν ἄριστον.

10. Ἐντεῦθεν ἐπίσημος ἐν ἅπασιν ἦν ὁ ἀνήρ, κἀν ταῖς ἁπάντων γλώσσαις μεθ' ἡδονῆς καὶ θαύματος ἔκειτο καὶ μέγα ἑκάστοις ἦν τὸ τῆς ἐκείνου γλώττης ἀπολαύειν καὶ θέας, οὐ τοῖς ἐκ ταὐτοῦ γυμνασίου μόνον καὶ ἥλιξιν—ὁ γὰρ κάκιστ' ἀπολούμενος φθόνος ἀπῆν—, ἀλλ' ἤδη καὶ τοῖς πρεσβυτέροις κατ' ἀρετήν τε καὶ χρόνον καὶ τῶν ἄλλων προέχουσιν, ὅσοι δηλαδὴ τῆς ἐν τῷ κοινῷ διαίτης καὶ ὁμιλίας ἑαυτοὺς ἀποστήσαντες τὸν πάντη μοναδικὸν καὶ ἤρεμον εἵλοντο βίον, ἑαυτοῖς καὶ τῷ Θεῷ καταμόνας διὰ παντὸς συγγενόμενοι· ἐξέπληττε γὰρ αὐτοὺς τὸ πολιὸν ἐν νεότητι τοῦ σοφοῦ φρόνημα, τὸ τῆς ἀσκήσεως καὶ τῆς καρτερίας ἀνένδοτον, τῆς σωφροσύνης ἡ καθαρότης μέχρι καὶ φθέγματος καὶ ὀφθαλμῶν καὶ βαδίσματος, καὶ πρὸ πάντων τὸ τῆς γνώμης εὐγενὲς καὶ καθ' ὑπερβολὴν ἐλευθέριον καὶ πρὸς πάντας ὑποβεβηκὸς μετὰ τῆς τῶν ἠθῶν ἀπορρήτου γλυκύτητος, οὐ φυσικῶν μᾶλλον, ὡς ἄν τις ὑπέλαβεν, ὅσον ἐξ ὑπακοῆς ἄκρας κατορθωθέντων, ὡς οἱ πράξει καὶ λόγῳ φιλοσοφήσαντες ταῦτα κα-

1 Κολοσ. α', 24. — 25 *συγγινόμενοι* M. — 27 *σοφροσύνης* B.

Digitized by Google

λῶς ἐκπαιδεύουσι. Ταπεινοφροσύνην μὲν γὰρ τὴν ὑψηλὴν ὑπακοῆς ἐκφύεσθαι λέγουσιν, ἐκ δὲ ταύτης διάκρισιν, τὸν λύχνον καὶ ὁδηγὸν τῆς ψυχῆς, ὡς ἂν εἴποι τις, καὶ δημαγωγὸν τοῦ καλλίστου παντός· τοῦ δὲ διακριτικοῦ τῆς ψυχῆς ὡσπερεί τινος ὀφθαλμοῦ λημῶντος τῶν ἐμπαθῶν ἀπαλλαγέντος ῥευμάτων, ὥστ' ἂν ἐπανελθεῖν πρὸς τὴν κατὰ φύσιν ὀξυδορκίαν ἄριστα καὶ μετὰ τοῦ γιγνομένου παντός, οὐκέτι μὲν ἀπατηλὸν εἴδωλον οὐδέν, οὐδὲ φάσμα τι τερατῶδες, ἄλλο μὲν πρὸς ἀλήθειαν ὄν, ἄλλο δὲ εἶναι ὑποκρινόμενον, οὐδέ τι πρόσκομμα καὶ λίθος, τὰ τῆς εὐθυτάτης ὁδοῦ κωλύματα, τῶν ἱερῶν ἀδύτων ταύτην ἀπείργει τῆς ἀπαθείας καὶ τοῦ Θεοῦ· ἀλλ' ἐπεὶ πάντα εὐθέα ἐστὶ τοῖς τὸν νοῦν ἔχουσιν ἐρωμένον καὶ ὀρθὰ τοῖς εὑρίσκουσι χάριν, ᾗ φησι Σολομὼν ὁ σοφός, ἀπταίστως καὶ ὁμαλῶς πάνυ τοι βαδίζει πρὸς αὐτὴν τὴν ἕνωσιν τοῦ Θεοῦ, πᾶν εἴ τι τερπνόν τε καὶ χάριεν τῆς κατὰ πρᾶξιν καὶ θεωρίαν ἀρετῆς συνοδεῦον καὶ συνεπόμενον ἔχουσα, ὥστε μετὰ τῆς τῶν ἔνδον ἠρεμίας τε καὶ γαλήνης καὶ τὴν ἔξω καὶ φαινομένην κατάστασιν εὐφροσύνης καὶ γλυκυθυμίας ἁπάσης εἶναι μεστήν. Ὁ τοίνυν τὴν ῥίζαν τῶν χαρισμάτων τούτων μετὰ τῶν προσηκόντων ἱδρώτων κάλλιστα καὶ ὡς ὀλίγοι τῶν πάντων καταβαλόμενος καὶ θαυμαστὸς ἐν ὑπηκόοις τοῖς τ' ἐοῦσι τοῖς τ' ἐσσομένοις πρό τ' ἐοῦσιν ἀναφανείς, πῶς οὐκ ἔμελλε καὶ τοὺς ἐκεῖθεν ἐκδιδομένους δρέπεσθαι μετ' εὐφροσύνης καρπούς, μᾶλλον δὲ καὶ κοινὸν ἥδυσμα προκεῖσθαι τοῖς εἰθισμένοις τὰ τοιαῦτα τρυφᾶν; ὃ δὴ καὶ κατὰ λόγον ἐκ πολλοῦ τοῦ περιόντος ἀπήντα, καθάπερ ἤδη φθάσας ὁ λόγος ἐδήλωσεν. Ἀλλ' ἐπεὶ "τὸν κοπιῶντα γεωργόν", κατὰ Παῦλον τὸν μέγαν, "δεῖ πρὸ τῶν ἄλλων μετέχειν καὶ τῶν καρπῶν", παρηυδοκίμει κἀνταῦθα τοὺς ἄλλους ὁ μυσταγωγὸς τῷ περὶ αὐτὸν φίλτρῳ τε καὶ τῷ θαύματι, καὶ ὅλως ἐξηρτημένον αὐτὸν εἶχεν ὁ μαθητὴς καὶ κατεστρατηγημένον ταῖς ἑαυτοῦ χάρισι τὸν ὀξύτατον πρὸ τούτου καὶ τοῖς πᾶσι τὸ παράπαν ἀήττητον· ὁ γὰρ μηδὲ τὸν ὑπηρετοῦντα καὶ θεραπεύοντα τὰς ἐκ τοῦ γήρως ἀνάγκας μηδέπω πρότερον ἐξισχύσας διὰ τραχύτητα κατασχεῖν οὐδ'

12 Παροιμ. η', 9. — 20/21 Ἰλιάδ. α 70. — 25/26 Τιμοθ. 2, β', 6.

Digitized by Google

ἐπ' ὀλίγον παρ' ἑαυτῷ, οὗτος ὡρᾶτο θαυμασίως ἀπὸ τοῦ τῆς ψυχῆς διακειμένου θεραπεύων τὸν μαθητήν, μᾶλλον δ' οὐκέτι προσεῖχεν, ὡς νέῳ καὶ τοῦτ' αὐτὸ φοιτητῇ, ἀλλὰ καὶ προετίθει πολλῷ τινι τῷ μέσῳ κατὰ ψυχὴν ἑαυτοῦ καὶ μετὰ πλείστης ὅσης αὐτῷ προσεῖχε τῆς εὐλαβείας καὶ τῆς αἰδοῦς.

11. Οὐδὲν δὲ οἷον καί τινος τῶν ἐνταῦθα πραχθέντων, ἑνὸς ἢ δυοῖν, ἐπιμνησθῆναι, δεῖγμα τῆς τε περὶ τὰ καλὰ σπουδῆς τοῦ ἀνδρὸς καὶ τῆς περὶ αὐτὸν ἐλαβείας τοῦ γηραιοῦ· ὡς γὰρ ὁ μὲν "ἀναβάσεις ἐν τῇ καρδίᾳ" τὸ καθ' ἡμέραν διατιθέμενος καὶ "ἀπὸ δόξης εἰς δόξαν" προβαίνων τοῦ περὶ αὐτὸν θαύματος τούς τε μακρὰν καὶ τοὺς ἐγγὺς μεθ' ὅσης τῆς ἡδονῆς ἐπλήρου, ὡς καὶ τὰ πάντων κάλλιστα τοὺς πάντας περὶ αὐτοῦ ψηφίζεσθαι, ὁ δὲ μυσταγωγὸς καὶ πολλῷ πλέον ἐδίδου τούτοις, ὅσῳ καὶ πολλῷ πλέον ἐκεῖνος τοῦ κατ' αὐτὸν ἐπληροῦτο θαύματος καὶ τὰ τοῖς ἄλλοις ἀπόρρητα κάλλιστα τούτῳ συνῄδει, πρὸς τὴν τῆς μεγάλης ἱερωσύνης περιωπὴν βουλεύεται προβιβάσαι τὸν ἄνδρα καὶ τὸν λύχνον εὐαγγελικῶς ἐπιθεῖναι τῇ λυχνίᾳ, ὡς μηκέτι τὸ τοσοῦτον τῶν ἀρετῶν φῶς καὶ τὸν θησαυρὸν τῆς σοφίας διὰ μετριοφροσύνης ὑπερβολὴν ὑπὸ τὸν μόδιον κρύπτεσθαι. Καὶ ὁ μὲν εἰς ἔργον ἄγειν ἠπείγετο τὰ βεβουλευμένα καὶ τοὺς χρίσοντας ἐκάλει, καὶ ἡ κυρία παρῆν καὶ τὰ πρὸς δεξίωσιν ἡτοίμαστο τῶν συνειλεγμένων, καὶ τῶν πρὸς τὴν χειροτονίαν ἐπιτηδείων οὐχ ἦν ὅλως ὅπερ ἀπῆν· τῷ δὲ πολλοῦ τινος ἔδει τὴν φίλην καὶ σύνοικον ἀπώσασθαι μετριότητα καὶ τὸ τὴν ἐσχάτην ἀπολιπεῖν τάξιν, ἧς τοσοῦτον καθ' ὑπερβολὴν ἀντεχόμενος ἦν, ὡς οὐδὲ τῆς ὑψηλοτάτης οἱ τῶν πρωτείων ἄγαν ἐρῶντες καὶ ὑπὲρ τοῦ μὴ τούτων ἂν ἐκπεσεῖν τὰ πάντων αἴσχιστα καὶ ποιοῦντες καὶ πάσχοντες· διὰ τοῦτο καὶ ἄκαμπτος ἦν καὶ τὸ παράπαν ἀνένδοτος, τοσούτου μεγέθους πράγματος ἀνάξιον ἀποκαλῶν ἑαυτὸν ὁ τῷόντι τοῦ πράγματος ἀξιώτατος· οἶμαι γάρ, ὡς εἴπερ ἔδει τὸ θειότατον τοῦτο δῶρον ἐπὶ κοινῇ σωτηρίᾳ τοῦ

7 *ἐπιμνησθεῖναι* B. — 9 Ψαλμ. πγ', 6. — 10 Κορινθ. 2, γ', 18. — 15 *κάλλιστα* M, *μάλιστα* B. — 17 εὐαγγελικῶς] Ματθ. ε', 15. Μάρκ. δ', 21. Λουκᾶ η', 16. ια', 33. — 19 *κρύπταισθαι* B.

Digitized by Google

τῶν ἀνθρώπων γένους εἰς γῆν κατιὸν ὑπερφυῶς ἀνθρώποις δοθῆναι διὰ φιλανθρωπίας τοῦ σεσωκότος ὑπερβολὴν μηδένα προκεκρῖσθαι πρὸς ταύτην τὴν τελετὴν τοῦ ἀνδρός, ἀλλ' ἢ πρῶτον μετὰ τοὺς πρώτως ὑπ' αὐτοῦ τοῦ Λόγου μυσταγωγηθέντας ἐπὶ τοῦτο καλεῖσθαι, ἢ μετ' ὀλίγων πάνυ τινῶν. Τοσοῦτον ἦν ἐκείνῳ τὸ τῆς διὰ πάντων καθαρότητος καὶ τοῦ ἁγιασμοῦ περιόν! Ἀλλ' ἐκεῖνος οὐ τοῖς πέλας, ἀλλὰ τῇ ἐντολῇ παραμετρῶν ἑαυτὸν καὶ οὕτω καὶ πρᾶξιν καὶ λόγον ταλαντεύων καὶ βασανίζων ὁσημέραι τὸ κατορθούμενον, οὐ μᾶλλον ἐνόμιζεν εὐπορεῖν διὰ τὸ κτηθέν, ὅσον ἐλλείπειν πρὸς τὸ προκείμενον. Καὶ ὅρα τὴν ἁπλουστάτην καὶ φιλόσοφον ὄντως ψυχήν, ὅπως ἀστείως τὸ πρᾶγμα μεταχειρίζει· τὸ μὲν γὰρ ἐκφυγεῖν τὸ τῆς διδομένης τιμῆς μέγεθος ἄριστον εἶναι διὰ ταπεινοφροσύνης μέγεθος δοκιμάζων, ἀντειπεῖν δὲ τῷ κατὰ πνεῦμα γεννησαμένῳ καὶ μέχρι παραφθέγματός τινος ἢ καὶ σχήματος προφανῶς ἀποδοκιμάζων, κατ' αὐτὸν τὸν τῆς ἱερουργίας καιρόν, ἡνίκα δὴ καὶ τῇ χειροτονίᾳ τοῦτον ὑπάγειν ὁ τελεστὴς τοῦ πνεύματος ἔμελλε, μηδενός τινος συνειδότος, σιγῇ κλέπτει τὴν ἀναχώρησιν καὶ ἦν αὐτοῦ που παρά τινι τῶν ἀνυπόπτων καὶ τόπων καὶ προσώπων κατακρυπτόμενος, ἕως ἐκεῖνοι πολλὰ περὶ τὴν τούτου καμόντες ζήτησιν, ἐπείπερ ἔγνωσαν ἀνηνύτοις ἐπιχειροῦντες καὶ τὸν ἄληπτον δεσμεῖν δοκιμάζοντες, τοῦ μὲν καὶ ἄκοντες ἀπέστησαν σὺν λύπῃ καὶ θαύματι, τὸν δὲ σὺν αὐτῷ παρεσκευασμένον, ὡς ἔθος, τῷ τοῦ πρεσβυτέρου τετελειωκότες βαθμῷ, ἵνα μὴ κενὰ πάντῃ τὰ τῆς σπουδῆς ᾖ καὶ τὰ τῆς ἱερᾶς ἑορτῆς ἐκείνης πρός γε τὸ σκυθρωπὸν διόλου καταλήξῃ καὶ ἄχαρι (ὃ δηλαδὴ κἀκείνῳ πρὸ τῆς φυγῆς κατὰ τὸ δυνατὸν ἐσπουδάζετο), πρὸς ἑαυτοὺς καὶ τὰς οἰκίας ἕκαστος ἐπανήρχοντο, κοινὸν ὥσπερ ἐφόδιον ἐπιφερόμενοι πάντες τὸν περὶ τοῦ ἀνδρὸς λόγον καὶ μεθ' ὅτι πολλῆς τῆς ἡδονῆς καὶ τοῦ θαύματος τοῖς ἐντυγχάνουσι διηγούμενοι. Ὁ δὲ θαυμαστὸς ἐκεῖνος πρεσβύτης δυσχεραίνοντι μὲν καὶ παθαινομένῳ τὸ παράπαν ἐῴκει καὶ τὴν ἀποτυχίαν οὐκ ἀνεκτῶς ἔφερεν· ὅθεν καὶ πρὸς ἀγανάκτησιν καὶ λοιδορίας τοῦ μὴ παρόντος ἐκφερόμε-

8 *οὕτως πρᾶξιν* B.

Digitized by Google

νος ἦν καὶ μυρίαν ἐκείνῳ τὴν μέμψιν ἐπέφερεν. Ἐπεὶ δὲ μετὰ μικρὸν προσιόντα τὸν φίλτατον ἴδοι, προσκαλινδούμενόν τε τοῖς ἐκείνου ποσίν, ὡς ἔθος, καὶ τὴν συγγνώμην μεθ' ὅσης τῆς ὑποστολῆς καὶ τῆς μετριότητος ἐξαιτούμενον, τὴν παλινῳδίαν εὐθὺς ᾄδων ἦν καὶ μυρίαν ἡσυχῇ κατ' ἐκείνου τὴν εὐφημίαν ἐπᾴδων, καὶ τῆς μὲν εὐπαιδίας ἑαυτὸν μακαρίζων ὡς μάλιστα, τῆς δὲ μεγαλοψυχίας ἐκεῖνον καὶ τῆς ἐν βραχεῖ πρὸς τοσαύτην ἀρετὴν ἐπιδόσεως ἐκπληττόμενος. Καὶ τοῦτο μὲν οὕτω, δεῖγμα τῆς περὶ τὸ θεῖον εὐλαβείας καὶ τῆς ὑψηλῆς αὐτοῦ ταπεινοφροσύνης ὂν ἀκριβέστατον.

12. Τῆς δέ γε πρὸς τὸν πλησίον ἀγάπης ἄλλα τε πλεῖστα λόγου καὶ μνήμης ἄξια καὶ τὸ νυνὶ ῥηθησόμενον. Ἐπέμπετο πολλάκις τῆς τοῦ ἐνιαυτοῦ περιτροπῆς ὁ Σάβας παρὰ τοῦ ἐπιστάτου πρὸς τοὺς τῶν ἐκεῖ φροντιστηρίων καθηγεμόνας, εἰς πορισμὸν δηλαδὴ τῶν ἀναγκαίων· ὅπερ καὶ πᾶσι μὲν αὐτόθι τοῖς ἡσυχάζουσιν ἔθος, προῖκα παρὰ τῶν εὐπορωτέρων τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα λαμβάνουσιν, ἀπερισπάστως προσεδρεύειν τῇ τοῦ θείου λατρείᾳ, ἡσυχίᾳ δηλαδὴ καὶ τῇ συζύγῳ θεωρίᾳ καὶ προσευχῇ, τῷ δὲ τῶν ἄλλων καὶ μᾶλλον, ἐπεὶ καὶ τῇ τοῦ πρεσβυτέρου τετιμημένος ἀξίᾳ καὶ ψυχικῶν ἀρρωστημάτων ἰατρὸς καὶ διαιτητὴς ὢν ἐτύγχανεν. Ἀπῄει τοιγαροῦν εἴς τι φροντιστήριον ὁ καλὸς μαθητὴς τὴν συνήθη λειτουργίαν ἐπιτελέσων, πολλῷ τινι τῷ μέσῳ διέχον τῆς κατοικίας αὐτῶν· πρὸς γὰρ ταῖς εἰσόδοις τοῦ ὄρους δεύτερον ὁρᾶται κείμενον παρ' αἰγιαλοῖς, ὡς καὶ τὰς εἰσόδους αὐτὰς καὶ τὸ τοῦ φρουρίου τεῖχος τοῖς κύμασι περικλύζεσθαι βορέου προσιόντος αὐτοῖς. Εἶχε δὲ ἄρα πατρικῇ προστάξει συνοδίτην καὶ τὸν συμφοιτητήν· κατὰ σκοπὸν μέντοι τῆς λειτουργίας προβάσης αὐτοῖς, ἐπεὶ τῶν πρὸς τὴν χρείαν δαψιλῶς ἔχοντες ἐμέμνηντο καὶ ὑποστροφῆς, ἡγεῖτο μὲν ὁ καὶ ψυχὴν καὶ σῶμα γενναιότατος Σάβας, ὥσπερ τῶν ἄλλων ἁπάντων, οὕτω καὶ τῆς ὁδοῦ, ἀχθοφοροῦντες ὑποζυγίων δίκην διὰ Χριστόν, ὥσπερ δὴ τοῖς ἐκεῖ νόμοις, τὸ τοῦ σώματος χαλινοῦν αἱρουμένοις δυσήνιον καὶ προσέτι τὸν κάκιστ' ἀπολούμενον τῦφον κατασπᾶν, ὁ δὲ φίλος καὶ συνα-

Digitized by Google

γωνιστής, καίτοι γε τοῦ φόρτου πάνυ πρὸς τὸν θαυμάσιον Σάβαν ἐνδεῶς ἔχων, τῆς ὁδοιπορίας πλεῖστον ἀπελιμπάνετο· ὁ δὲ προσεκαρτέρει μὲν καὶ σύντονον ἐπεῖχε τοῦ δρόμου, παρυπεκράτει τε τῆς ἰσχύος ἑκὼν καὶ συνεχῶς ἑαυτὸν ἵστη τῆς ἐπὶ τὰ πρόσω φορᾶς, ἔργοις τε καὶ λόγοις, ὡς εἶχεν, αὐτὸν ἀνακτώμενος. Ἐπεὶ δὲ τοῦτον ἡττώμενον ἑώρα τοῦ φόρτου καὶ μηδὲ σχολῇ γοῦν καὶ βάδην, ὃ λέγεται, βαδίζειν δυνάμενον, πείθει τὸν ἄνδρα καὶ τὸν ἐπικείμενον ἐκείνῳ φόρτον αὐτῷ προσεπιδοῦναι. "Καὶ γάρ", φησίν, "ὁρᾷς, ὅπως εὐσθενῶς ἔχει μοι τὰ τοῦ σώματος καὶ ἰσχύω καὶ πρὸς τὰ τούτων ἔτι μείζονα παραβάλλεσθαι". Λαβὼν οὖν σὺν τῇ πήρᾳ καὶ τὸν προσεπικείμενον ἐκείνῳ φόρτον καὶ τοῖς σφετέροις νώτοις τὸ πᾶν ἐπιθείς, πτηνός τις ὡρᾶτο τοῖς τῆς ἀγάπης πτεροῖς κουφιζόμενος, ὡς μηδὲ ἄνετον ὄντα κατ' ἴχνος ἐξισχύειν ἕπεσθαι τὸν συμφοιτητήν, ἀλλὰ πολλῷ τινι τῷ μέσῳ καὶ αὖθις καθυστερεῖν. Ὁ δὲ καλὸς ὁδοιπόρος οὐ μᾶλλον τοῦ κάτω καὶ πατουμένου δρόμου, ὅσον τῆς ὑψηλοτάτης ἀγάπης καὶ τοῦ Εὐαγγελίου Χριστοῦ καὶ αὖθις προσκαρτερῶν ἦν, ἤθους γλυκύτητι καὶ μετριότητι λόγων καὶ παντὶ τῷ τῆς ψυχῆς ὡρμηκότι τὴν ψυχὴν ἐκείνου παραμυθούμενος· εἶτα καὶ εἴ τι τὸ λυποῦν αὐτὸν καὶ προσιστάμενον εἴη διεπυνθάνετο, καὶ ὃς "Τὸ τῶν ἐνδυμάτων ἄχθος μοι" ἔφη "διενοχλοῦν ἐμποδὼν πρὸς τὴν ὁδοιπορίαν καθίσταται, καὶ μάλιστα τῶν χιτώνων ὁ δεύτερος, παχύτητος ἱκανῶς ἔχων, ὡς οἶσθα, καὶ βάρους".—"Ἀλλ' ἀπόβαλε τοῦτον", ὁ σοφὸς ἔφη, "βέλτιστε, καὶ ῥᾷον ἂν ἐπ' ὤμων φέρων ὁδοιπορήσαις, ἢ νῦν καθάπερ τινὰ πέδην αὐτὸν περικείμενος". Τὸ δὲ παραγωγή τις ἦν καὶ ἀπάτη μᾶλλον, ἵν' οὕτως οἰκονομικῶς ἀφελέσθαι καὶ τὸν χιτῶνα δυνηθείη καὶ τοῦ ἐκεῖθεν ἄχθους ἀπαλλάξαι τὸν ἀδελφόν· ὃ δὴ καὶ κατὰ σκοπὸν ἀπήντα καὶ τοῦ κατὰ γνώμην οὐμενουν τὸ παράπαν ἡμάρτανεν· ἐπεὶ γὰρ κἀκείνῳ καλῶς ἔχειν ἐδόκει τὰ τῆς ὑποθήκης τοῦ φίλου καὶ ὁ χιτὼν ἀπετίθετο, ἁρπάζει καὶ τοῦτον ὁ βιαστὴς καὶ πλεονέκτης τῆς βασιλείας τῶν

31 βιαστὴς] Ματθ. ια', 12.

οὐρανῶν, καὶ τοῖς ὤμοις τῷ λοιπῷ φόρτῳ προσεπιθείς, τῆς ὁδοιπορίας αὖθις ἡγεῖτο μετὰ τοῦ ἴσου τόνου καὶ τῆς ἐνστάσεως. Εἶεν.

13. Ἔτος μὲν οὖν ἕβδομόν που, φασίν, ἐν ταύτῃ τῇ θαυμασίᾳ ὑποταγῇ τῷ ἀθλητῇ διήνυστο τοῦ Χριστοῦ, καὶ πλήρης ἦν αὐτῷ τῶν ἀγωγίμων τῆς ἀρετῆς ἡ φορτίς, καὶ πολλῷ τινι τῷ μέσῳ τοὺς συναγωνιστάς τε καὶ συνεμπόρους ὑπερεῖχε τῆς καλῆς ταυτησὶ πραγματείας, οὐ τοὺς κατ' αὐτὸν τῷ χρόνῳ φημὶ μόνον, ἀλλὰ δὴ καὶ τοὺς πρὸ αὐτοῦ, καθάπερ ἤδη φθάσας ὁ λόγος ἐδήλωσεν· ἐκάλει δὲ ἄρα πρὸς ἀγῶνας ὑψηλοτέρους αὐτὸν ἡ χάρις καὶ τὰ μεγάλα πείθουσα τρέχειν Ὀλύμπια, ἐπειδὴ καλῶς ἦν ἀλειψάμενος ἤδη καὶ ὅσα νόμος τοῖς τῶν τοιούτων ἀγωνισταῖς. Καὶ ὅρα, πῶς καὶ τοῦτο θαυμασίως ἐνεργεῖται παρὰ τοῦ τἀναντία διὰ τῶν ἐναντίων οἰκονομοῦντος, ἵνα καὶ μᾶλλον θαυμασιώτερα φαίνοιτο. Εἶχε μὲν τὰ σκῆπτρα τῆς τῶν Ῥωμαίων ἀρχῆς Ἀνδρόνικος ὁ πάνυ, τῶν Παλαιολόγων ὁ δεύτερος δηλαδή, οἱ δ' ἐπὶ κακῇ μοίρᾳ πρὸς συμμαχίαν Ῥωμαίοις ἐκ Σικελίας ἰόντες Ἰταλοὶ τὰς συνθήκας ψευσάμενοι, Θρᾴκην μὲν δίκην πρηστήρων ἀνηλεῶς διαφθείρουσι πρῶτον, χώρας καὶ πόλεις ὅλας τὰς μὲν καὶ πρὶν ἐπιβῆναι κενὰς οἰκητόρων τῇ σφῶν αὐτῶν προσδοκίᾳ καὶ τῷ δέει δεικνύντες, τὰς δὲ πεδίον ἀφανισμοῦ καὶ πόλεις αἱμάτων ἢ πολυάνδρια μᾶλλον ἀντὶ πόλεων ἐργαζόμενοι τῷ μηδ' ὀντινοῦν ὅλως ἐν μηδενὶ σχεῖν τὸν ἔλεον, ἀλλὰ πᾶσαν ἁπλῶς καὶ τύχην καὶ ἡλικίαν ὑπάγειν τῷ ξίφει, καὶ μηδὲ τῶν δυστυχῶν φείδεσθαι νηπίων, ἀλλὰ καὶ ταῦτα καινοτέροις ἐπιτρέπειν θανάτοις, ξίφει καὶ πυρὶ δυστυχῶς μεριζόμενα· μετὰ δὲ τοῦτο καὶ τοὺς πάλαι καὶ νῦν κοινοὺς ὀλετῆρας τῆς οἰκουμένης Ἀχαιμενίδας φημὶ προσλαβόμενοι τοὺς κάκιστ' ἀπολουμένους, κἀντεῦθεν τὸ θράσος καὶ τὴν μανίαν ἐπηυξηκότες, κατατρέχειν αὐτίκα καὶ Μακεδόνων ἠπείγοντο καὶ Θετταλίαν αὐτὴν ἐπὶ νοῦν ἔχοντες ἤδη· ὁ δὲ κρατῶν καὶ περὶ πᾶσι μὲν ὡς εἰκὸς δείσας, τὸ δὲ πλεῖστον Ἄθω τὸν θαυμαστὸν ἐπὶ νοῦν ἔχων καὶ τὸ σῴζεσθαι τὸν χορὸν τῶν ἁγίων ἐκείνων περὶ

9 ὑψηλωτέρους B. — 20 πεδίον ἀφανισμοῦ] Ἰωὴλ β', 3. γ', 19 || πόλεις αἱμάτων] Ναοὺμ γ', 1. Ἰεζεκιὴλ κδ', 6.

Digitized by Google

πλείστου τιθέμενος, οὕτω γὰρ αὐτῷ σῴζεσθαι καὶ τὴν βασιλείαν καὶ μὴ παντάπασιν ἂν ἀποβαλεῖν καὶ αὐτὰς ᾤετο τὰς χρηστοτέρας ἐλπίδας, ἐπεὶ μὴ στρατῷ καὶ ὅπλοις εἶχεν ἀμύνειν, τὸν δεύτερον, ὅ φασι, πλοῦν ἔρχεσθαι δεῖν ἔγνω. Καὶ γράμματα τῆς αὐτοῦ χειρὸς αὐτίκα πρὸς ἐκείνους ἐφοίτα, τοὺς μὲν καθ' ἡσυχίας ἔρωτα πανταχῇ τοῦ ὄρους διεσπαρμένους μοναδικούς τε καὶ σύνδυο, καὶ αὐτὰ δέ φημι τὰ τῶν φροντιστηρίων ἀτείχιστα, ἢ καὶ ἄλλως εὐάλωτα, διὰ σαθρότητα περιβόλων καὶ σπάνιν τῶν ἐνοικούντων πρὸς τὰ τῶν ὀχυρωμάτων δυσαλωτότερα μετοικίζεσθαι κατοχυρούμενα καὶ αὖθις ὁπόση δύναμις πρὸς τὸ ἀσφαλέστερον, μεταβαίνειν δὲ καὶ πρὸς τὰς ἐγγυτέρω πόλεις τοὺς βουλομένους, ἀποκρύπτοντας ἑαυτοὺς "μικρὸν ὅσον ὅσον", κατὰ τὸν μέγαν εἰπεῖν Ἡσαΐαν, "ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου". Ταῦτα μαθόντες οἱ τῆς μεγάλης καὶ θεοφιλοῦς φατρίας ἐκείνης, οἱ μὲν τὴν ἐξ ἀρχῆς ἔνστασιν μέχρι τέλους τηρεῖν ἐγνωκότες καὶ προδοσίαν ἑαυτῶν ὥσπερ κατεγνωκότες, εἰ πρὸς ταῦτα μεταβουλεύσαιντο, "ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω"; μετὰ τοῦ προφήτου πρὸς τὸν Θεὸν ἕκαστος ἔλεγον· ὅθεν οὐδὲ τὴν ἱερὰν συνοικίαν, οὐδὲ τὴν ἀσκητικὴν καλύβην εἰσίν, οἳ καταλιπεῖν ἐδοκίμαζον, τὸ μένοντες θνήσκειν τοῦ σῴζεσθαι φεύγοντες μᾶλλον ἑλόμενοι· οἱ δὲ τῷ κελεύοντι νόμῳ πειθόμενοι, διωκομένους ἀπὸ ταύτης εἰς τὴν ἑτέραν φεύγειν, καὶ Παῦλον ἐκμιμούμενοι τὸν μέγαν, ὅς, καίτοι γε καθ' ἡμέραν ἀποθνήσκων καὶ "τὴν ἐπιθυμίαν ἔχων ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι", νῦν μὲν κοφίνῳ χαλασθεὶς ἐκ τοῦ τείχους τὰς τοῦ Δαμασκηνῶν ἐθνάρχου χεῖρας λάθρᾳ διαδιδράσκει, νῦν δὲ Ῥωμαίους ἐπικαλεῖται καὶ καίσαρα φονῶντα τὸν Ἰουδαίων δῆμον ἐκφεύγων, πόλεις καὶ νήσους καὶ τὰ ἐν αὐταῖς κατελάμβανον ὄρη, ὅσα δηλαδὴ πρὸς ἡσυχίαν ἐν αὐτοῖς ἐπιτήδεια. Θρῆνος μέντοι καὶ ἀθυμία τὸ πᾶν εἶχε καὶ θορύβου μεστὸν ἦν ἐκεῖνο

3 δεύτερον πλοῦν] Corpus paroem. II, σ. 24. — 12 Ἡσαΐου κς', 20. — 16/17 Ψαλμ. ρλη', 7. — 21 Ματθ. ι', 23 «ὅταν δὲ διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἄλλην». — 23 καθ' ἡμέραν ἀποθνήσκων] Κορινθ. ιε', 31 || τὴν ἐπιθυμίαν κέ] Φιλιπ. α', 23. — 24/25 Κορινθ. 2, ια', 32, 33. — 26 Πράξ. κη', 19 κέ.

*

Digitized by Google

τὸ ἱερὸν σύστημα, τὴν ἀπ' ἀλλήλων διάζευξιν οὐκ ἀνεκτῶς φέρειν δυνάμενοι.

14. Τότε δὴ καὶ ὁ τοῦ θαυμαστοῦ Σάβα μυσταγωγὸς εἷς ἦν τῶν τὴν φυγὴν ἑλομένων, καὶ τὴν Θεσσαλονίκην ἅμα τισὶ τῶν συνασκητῶν καὶ αὐτὸς εἰς μετοικίαν ἀπολεξάμενος, παρά τινι τῶν αὐτόθι σεμνείων, ὀνόματι τῆς Μητρὸς τοῦ Κυρίου τετιμημένῳ, σὺν αὐτοῖς κατάγεται· οὕτω γὰρ ἤπειγε τό τε μακρὸν γῆρας καὶ τὸ ἐπίνοσον αὐτῷ καὶ παρακεκινδυνευμένον ἐξ ὑπερβαλλούσης κακοπαθείας καταστῆναι τὸ σῶμα, κἀντεῦθεν μηδαμῶς πρὸς ἰσχύος ἔχειν μακροτέραις ὁδοιπορίαις καὶ τοῖς τραχυτέροις καὶ δυσχειμερίοις τῶν ὀρῶν κατὰ τοὺς λοιποὺς παραβάλλεσθαι. Σάβας δ' ὁ καλὸς τὸ μὲν νῦν ἔχον αὐτόθι κατελιμπάνετο, ὡς ἂν τὰ τῆς οἰκίας εὖ διαθέμενος δῆθεν, ἔπειτα τὰς βίβλους μεθ' ἑαυτοῦ λαβών, ἔλθοι πρὸς τὸν πατέρα, κατ' οἰκονομίαν πάντως ἀπόρρητον καὶ τοῦτο τοῦ θείου, ὥς γε τὰ ἑξῆς τοῦ λόγου δηλώσει. Λογισμοῖς δ' ἐναντίοις προσπαλαίων ἦν καὶ τὴν ψυχὴν ἐπὶ πολὺ μεριζόμενος· ὅτε μὲν γὰρ πρὸς τὸν πατέρα καὶ τὸ πνευματικὸν φίλτρον καὶ τὰς ἐκεῖθεν ἐντολὰς ἴδοι, τὴν ἀποδημίαν ἠγάπα καὶ πρὸς αὐτὸ τοῦτο μόνον εἶχεν ἐπιστρεφώς· ἐπειδὰν δὲ πάλιν ἐπὶ νοῦν τὴν πατρίδα λάβοι, συνήθων τε καὶ ἡλίκων ἑταιρίαν καὶ προσπάθειαν συγγενῶν καὶ πρὸ τούτων τὸ πατρικὸν φίλτρον, ἀκμάζον ἔτι καὶ τῷ χρόνῳ μηδόλως ἀπαμβλυνθέν, ἀνεπιστρόφως ἐκείνων εἶχε καὶ τὴν ἐκεῖσε φέρουσαν ὅλῳ ποδὶ φεύγειν ἠγάπα, πρὸς λόγον ψυχῆς ἀτεχνῶς φέρουσαν. Τίς γὰρ ἂν ἐξείπῃ λόγος τὰ τῶν πατέρων τοῦ σοφοῦ πάθη καὶ ὅσης τραγῳδίας τὰ κατ' αὐτοὺς διὰ τοῦτον αὐτὸν καὶ τὸ πέρὶ αὐτὸν φίλτρον ἐπεγένετο; ἐπεὶ γὰρ τὸ πατρικὸν ὁ γενναῖος φίλτρον καὶ τὰς ἐκεῖθεν δυσεκλύτους πέδας δι' ὑποψίας ποιούμενος λαθραίως, ὅπερ ἔφην, ἀπέδρα, μηδένα τῶν ἀπορρήτων κοινωνὸν ἔχων, μηδενὶ τὸ παράπαν τῆς ἐκεῖθεν ἀναχωρήσεως δεδωκὼς αἴσθησιν, αὐτῷ μὲν ὁ δρόμος κατὰ σκοπὸν ἠνύετο καὶ οὐδὲν ἐμποδὼν ἦν μετὰ Θεοῦ βουλευομένῳ καὶ τῷ ἐκεῖθεν φωτὶ καταυγαζομένῳ, τὸ ἡγεμονικὸν

6 *σεμνίων* B.

Digitized by Google

καὶ ἀπροσκόπως τὴν πορείαν ἀνύοντι· τοῖς δὲ γεγεννηκόσι σκότους καὶ ἀθυμίας ἦν τὰ πάντα μεστά, καὶ θρήνων τὸ παράπαν οὐμένουν ἔληγον· ἀπηνήνατο γὰρ αὐτοῖς ἡ ψυχὴ παρακληθῆναι, Δαυὶδ ἂν εἶπεν ὁ μέγας, οὐχ ὅτι μὴ τὸν συλλυπούμενον ἔσχον, ἀλλ' ὅτι μάλα πολλοὺς τοὺς συμπάσχοντας ἔσχον καὶ τὸν ὑπὲρ τοῦ θαυμαστοῦ παιδὸς συνεργαζομένους θρῆνον· κοινὸν γὰρ ἦν τοῦτο πάθος τοῖς Θεσσαλονικεῦσι τὸ τηνικαῦτα, ἐπειδὴ καὶ κοινῆς εὐφροσύνης καὶ χάριτος ἀφῃροῦντο τῇ ἐκείνου ζημίᾳ. Ἀνηρευνῶντο γοῦν ἱερὰ τεμένη καὶ μουσεῖα καὶ φροντιστήρια, ἀσκητῶν τε καταγωγαὶ καὶ σοφῶν ἀνδρῶν κατοικίαι καὶ οἷς ἐκεῖνος ἑαυτὸν διὰ βίου ἐμέριζεν· ἐπεὶ δ' ὁ ζητούμενος ἦν οὐδαμοῦ, τὸν περιώνυμον Ἄθω κατὰ νοῦν ὁ πατὴρ εἶχε καὶ τοὺς θερμοὺς τοῦ φιλτάτου περὶ αὐτὸν ἔρωτας. Ὅθεν καὶ τὴν ὑποστροφὴν ἀπογνοὺς καθάπαξ, τοῦ μὲν περιάγειν καὶ ζητεῖν ἐκεῖνον ἐπαύσατο, τοῦ δὲ πόθου καὶ τοῦ σφοδροῦ περὶ ἐκεῖνον ἔρωτος αὐτός τε καὶ ἡ φιλτάτη μήτηρ οὐδαμῶς ἐπαύσαντο, μᾶλλον μὲν οὖν καὶ ἀκμάζοντα τοῦτον εἶχον, ὅπερ ἔφθην εἰπών, καὶ τῷ χρόνῳ μηδαμῶς μαραινόμενον, ὅσῳ καὶ κατὰ Θεὸν εὐδοκιμοῦντα καὶ ταῖς ἀρεταῖς προκόπτοντα, κἀντεῦθεν ἐπὶ μέγα δόξης ἰόντα τὸν υἱὸν ἡ φήμη κατήγγελλεν· ἃ δὴ καὶ τὸν θαυμαστὸν Σάβαν οὐμένουν τὸ παράπαν ἐλάνθανεν. Ὅθεν καὶ μεστὸς ἦν ὑποψίας καὶ πρὸς ἀμηχανίαν, ὅπερ ἔφην, ἐξήγετο καὶ τὸν μόνον ἐν ἀπόροις εὐμήχανον ἐπεκαλεῖτο δεσπότην καὶ τὴν ἐκεῖθεν ἐξῃτεῖτο βοήθειαν, ὥστ' ἂν αὐτῷ τελειωθῆναι τὸν πρὸς ἐκεῖνον δρόμον καὶ τὴν ἐξ ἀρχῆς ἔνστασιν, καὶ μὴ προφάσει πατρικῆς ἐντολῆς ἐκπεσεῖν ἐντολῆς δεσπότου καὶ τὰς ἐξ ἀρχῆς πρὸς ἐκεῖνον συνθήκας καὶ τὸ θερμὸν ψυχρανθῆναι τοῦ ἔρωτος. Ὁ δὲ ταχὺς τῶν καλῶν αὐτοῦ δεομένων ἐπίκουρος καὶ ποιῶν τὸ τῶν φοβουμένων αὐτὸν θέλημα, ἐπεὶ καὶ τὰ ἐν ἀπορρήτοις ᾔδει τῆς ἐκείνου καρδίας καὶ ὅπῃ τελευτήσει τὰ κατ' αὐτόν, εἴ γε τῆς ἐκ πάντων ἐλευθερίας λαβέσθαι μόνον ἐκείνῳ προσγένοιτο, δίδωσι τὴν τῶν ἀπορουμένων αὐτίκα λύσιν ῥᾷστα καὶ ὁμαλῶς καὶ σὺν οὐδενὶ τῷ κωλύοντι· φήμη καὶ γὰρ

1 *πορίαν* B. — 3 Ψαλμ. ος', 3. — 27/28 Ψαλμ. ρμδ', 19.

Digitized by Google

ἀθρόον ἐπεισελθοῦσα τοὺς κάκιστ' ἀπολουμένους 'Αχαιμενίδας ἤδη προσελαύνειν διήγγελλε. Μακεδονίαν γὰρ ἀπνευστὶ καταδραμόντες καὶ λείαν Μυσῶν, ὃ δὴ λέγεται, τὰ ἐν αὐτῇ ποιησάμενοι, καὶ τὰ περὶ τὴν Θεσσαλονίκην ἤδη δῃοῦντες ἦσαν καὶ χαλεπῶς τοὺς μὲν ἀναιροῦντες, τοὺς δ' ἐξανδραποδίζοντες· ἡ δὲ φήμη, καίτοι πικρῶς οὕτω καὶ ἀπευκτῶς πρὸς ἅπαντας ἔχουσα, πρός γε τὸν καλὸν Σάβαν εὐμενὲς ἔβλεπε τρόπον ἕτερον, τῆς ἀπορίας αὐτίκα καὶ τῶν λογισμῶν αὐτὸν λύσασα· τῆς γὰρ φερούσης εἰς Θεσσαλονίκην, μᾶλλον δὲ καὶ πάσης κλεισθείσης σχεδὸν διεξόδου, καὶ οὗτος τῆς ἐκ τοῦ πατρὸς ἐπιτεθείσης ἀνάγκης κατὰ πᾶσαν ἀνάγκην εὐθὺς ἐλύετο καὶ παντὸς ἦν ἐλεύθερος τοῦ προσισταμένου, δοξάζων τὸν διὰ τῶν δηλητηρίων πανσόφως, ὡς ἂν τις εἴποι, τὰ σωτήρια κατασκευάζοντα φάρμακα.

15. Τοῖς δὲ ἑξῆς ὁ μὲν λόγος προσβαίνειν ὀκνεῖ, τοῦ κατ' ἀξίαν πολλῷ τινι τῷ μέσῳ λειπόμενος, μᾶλλον δὲ—τί λέγω;—τοσοῦτο τὰ ῥηθησόμενα πάντα λόγον ἢ τὸ πεφυκὸς εἰπεῖν αὐτὸ μᾶλλον τοῦ λόγου πολλῷ τῷ περιόντι θαυμαστῶς ὑπερέχει, ὅσῳ γε τῶν ἤδη ῥηθέντων κατόπιν ἐλθὼν ὁ ἡμέτερος φαίνεται λόγος· εἰ δὲ τοῦτο τοῖς πᾶσι δῆλον, καὶ οὐδεὶς ἀντερεῖ, περὶ ἐκείνου τί φήσομεν; ὁ δέ γε πόθος πρὸς τὴν ἐξ ἀρχῆς ἔνστασιν ἐποτρύνει, καὶ τῶν ὑπὲρ δύναμιν βιαστὴς ὤν. 'Εγὼ δ', εἰ μὲν καὶ ἄμφω ταῦτ' ἐνεστησάμην καὶ πάντ' ἐφεξῆς ἐρεῖν τὰ ἐκείνου καὶ τὸ πρὸς ἀξίαν ἐρεῖν, οὐ μᾶλλον ἂν ᾐσχυνόμην τὸ τοῦ προσήκοντος ὑστερῆσαι, ὅσον τὸ μὴ προσηκόντως ἐξ ἀρχῆς αὐτὸς ἐμαυτοῦ βεβουλεῦσθαι καὶ τῆς ἐν χεροῖν ταυτησὶ πραγματείας οὐδ' ἐγγύς, ὥσπερ ἢ ἐμαυτὸν αὐτὸς ἢ τὸ τῆς ὑποθέσεως ἀγνοῶν μέγεθος· νῦν δὲ θατέρου κατὰ σκοπὸν ὄντος καὶ πρὸς τοῦτο μόνον ἐξ ἀρχῆς ὁρῶντος τοῦ λόγου, πῶς ἂν ἁπλῶς τὰ κατὰ τὸν μέγαν ἐγνωσμένα διέλθοι; Εἰ μὲν ἔστιν οὗ καὶ τὸ ἕτερον ἕποιτο, τοῦ λόγου τὸ δῶρον ἂν εἴη καὶ τῆς τούτου δηλαδὴ προστασίας, ὑπὲρ οὗ καὶ ὁ λόγος· εἰ δὲ καὶ τοῦτό γε μὴ παρείη τὸ πρὸς ἀξίαν, ὃ πᾶσα

3 *λίαν* B || λείαν Μυσῶν] Corpus paroem. II, σ. 38, 538, 763. — 5 *ἀνεροῦντες* B.

παθεῖν ἀνάγκη, οὐδέν φασι πρὸς τὸν λόγον, τοῦτο μόνον, ὅπερ ἔφθην εἰπών, ἐνστησάμενον ἄνωθεν, τὸ τὰ κατ' ἐκεῖνον εἰπεῖν, ὅπως ἂν ἔχοι δυνάμεως, μᾶλλον δὲ τῶν ἐκείνου τὰ πρὸς γνῶσιν ἀνθρώποις ἰόντα, οὐδὲ γὰρ οἷόν τε τὰ πάντα.

16. Ὁ μέγας τοίνυν, ὡς ἔφην, οὕτω τῆς εἰς τὴν πατρίδα φερούσης καὶ τῶν ἐκεῖθεν προσδοκωμένων δυσκόλων ἀπαλλαγείς, καὶ ὥσπερ αὐτὸς ἑαυτοῦ γεγονὼς ἐξόλου ὁ μόνῳ δηλαδὴ ζῶν ἑαυτῷ διόλου καὶ τῷ Θεῷ, δι' ὃν καὶ τοῖς ἄλλοις πᾶσι νεκρὸς ἦν, δέλτους μὲν ἐκείνας καὶ τὴν λοιπὴν ἅπασαν ἀσχολίαν, ᾗ προσέκειτο, πατρικαῖς πειθόμενος ἐντολαῖς αὐτοῦ που παρὰ τῇ μεγάλῃ τοῦ Βατοπεδίου καταλιμπάνει λαύρᾳ· τῶν γὰρ σεμνῶν αὐτῆς οἰκητόρων καὶ ὁ θαυμαστὸς ἐκεῖνος πρεσβύτης ἐτύγχανεν ὤν, ὑπ' ἐκείνην τε καὶ ἄμφω τελοῦντες ἦσαν, εἰ καὶ ὁ τοῦ ζῆν καταμόνας ἔρως καὶ ἡ φίλη τῶν ἀσκητικωτέρων ἀγωγὴ πόνων ἀναχωρεῖν τούτους ἔπειθε τοῦ κοινοῦ συλλόγου καὶ τῆς ἐν τῷ μέσῳ διαίτης, ἐχούσης τί που καὶ ἀνειμένον καὶ χάριεν· αὐτὸς δὲ πρὸς Θεὸν ὁλοσχερῶς καταφεύγει καὶ τὴν ἐκεῖθεν ἐπικουρίαν καὶ τὴν τοῦ πρακτέου κρίσιν θερμῶς ἐξαιτεῖται. Εὐχῇ τοιγαροῦν ἐπιπονωτέρᾳ δοὺς ἑαυτὸν καὶ πατρικῶν οἰκτιρμῶν καὶ σπλάγχνων τὸν πατέρα τῶν ὀρφανῶν ἀναμνήσας, εὐχάς τε τὰς πατρικὰς προβαλλόμενος εἰς πρεσβείαν καὶ ὡς πρὸς αὐτὸν μόνον ἀτενῶς βλέπων, πατρικῆς πάσης διὰ τοῦτο καὶ πάλαι καὶ νῦν ὑπερφρονήσας ἐπικουρίας, ταῦτα τοίνυν καὶ τὰ τούτοις ἑπόμενα μετὰ θερμῶν ἐπειπὼν δακρύων ᾔσθετό τινος ἔνδοθεν προϊούσης χαρμονῆς καὶ φωτισμοῦ θειοτέρου· καὶ ὡσπερεί τινος συνεπτυγμένον τε καὶ ὀξύτατον ὑποφωνοῦντος ἐκ τῆς καρδίας, "Εἰ τὸν πολύτιμον ἐκεῖνον ἐμπορεύσασθαι μαργαρίτην ἐθέλοις, εἰς τὴν Ἱερουσαλὴμ ἐλθεῖν σε κελεύω". Καὶ τῷ κελεύοντι πειθόμενος αὐτίκα—οὐδὲ γὰρ ὅστις ἐκεῖνος ἦν ἠμφισβήτει—, τῷ πελάγει τῆς ἐκείνου χρηστότητος καὶ τοῖς ἀφάτοις οἰκτιρμοῖς μάλα θαρρήσας, τοῦ τῆς θαλάσσης ἐπιβαίνει πελάγους, καὶ Λῆμνον μὲν τὴν γείτονα παραλλάττει πρῶτον, ἔπειτα

13 ζεῖν B. — 27 μαργαρίτην] Ματθ. ιγ', 46. — 30 οἰκτηρμοῖς B.

Digitized by Google

Λέσβον ὁρᾷ καὶ μετ' ἐκείνην τὴν Χίον· ἐπεὶ δὲ καὶ τὴν Ἀσίαν ἐπὶ νοῦν εἶχεν — εἷλκε γὰρ αὐτὸν ὁ περὶ τὸν ἐπιστήθιον περιφανὴς πόθος—, ἐπιβαίνει τῆς ἐπιφανοῦς πάλαι δι' ἐκεῖνον Ἐφέσου, μικρὸν ἐν αὐτῇ προσδιατρίψας, ὥσπερ δὴ κἀν ταῖς ἄλλαις μετὰ τῆς προσηκούσης φιλησύχου φιλοσοφίας, καὶ τὰ λείψανα μόνα τῆς παλαιᾶς κατιδὼν εὐδαιμονίας, ὅσα τε περὶ τὸν ἱερὸν ἐκεῖνον νεὼν φημι τοῦ ἠγαπημένου καὶ ὅσα κατὰ τὴν πόλιν ἔνδον καὶ πέριξ θαύματος ὁμοῦ καὶ πένθους ἀφορμὴν μόνην τοῖς ὁρῶσι καταλειφθέντα.

17. Μετὰ δὲ τοῦτο Πάτμον διαβὰς καί τινας, τὰς μεταξύ, νήσους εἰς τὴν μεγάλην καταίρει Κύπρον· καὶ τῆς νεὼς ἀποβάς, ἐν χρῷ τε τῆς νήσου γενόμενος καὶ τῶν ἄλλων ἑαυτὸν ἀπορρήξας, ἐπεὶ πράγμασιν ἐγχειρεῖν ἔμελλε καινοτάτοις καὶ ὑπὲρ φύσιν ἀνθρωπείαν, ὡς ὁ λόγος αὐτίκα δηλώσει, τὰς χεῖρας σὺν τῇ ψυχῇ πρὸς τὸν Θεὸν ἄρας, τὴν μηδέποτε διαστᾶσαν ἐκείνου, τετρωμένην δὲ μᾶλλον κατάκρας τῷ πρὸς αὐτὸν ἔρωτι καὶ ὥσπερ ἐξεστηκυῖαν αὐτὴν ἑαυτῆς ἤδη καὶ τοῖς ῥήμασι καὶ τοῖς πράγμασιν, εὐχήν τε τῷ προκειμένῳ σκοπῷ καὶ τοῖς πράγμασι κατάλληλον σὺν κατανύξει πολλῇ καὶ δάκρυσιν ἀναφέρει· καὶ τὰ τοῦ σώματος ἀποδὺς εὐθὺς ἅπαντα περιβλήματα, μέχρι δὴ καὶ τοῦ τὴν σάρκα περικαλύπτοντος αὐτήν φημι χιτωνίσκου, ὁ καὶ πρὸ τούτων τὸν παλαιὸν ἀποθέμενος ἄνθρωπον καὶ μηδὲν ἐν ἑαυτῷ φέρων τῆς κάτω καὶ νεκρᾶς ὕλης, ἀλλά τις σχεδὸν ἄσαρκός τε καὶ ἄυλος ὤν, καὶ πρό γε τῆς λύσεως οὕτως ἑαυτὸν ἐπιρρίπτει τῇ νήσῳ — θαῦμα φοβερὸν ὄντως καὶ πᾶσαν ἐκπλῆξαν ψυχὴν ὁρώμενόν τε καὶ ἀκουόμενον—, τὸ τοῦ Ἰὼβ ἐκεῖνο πολλῷ φιλοσοφώτερον λέγων καὶ ὑψηλότερον, "γυμνὸς αὐτὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας". Περιῄει τοιγαροῦν τὰς αὐτόθι πόλεις καὶ χώρας γυμνὸς κεφαλήν τε καὶ πόδας σὺν τῷ παντὶ σώματι, ἄπολις, ἄστεγος, ἄγνωστος τοῖς πᾶσι τὸ παράπαν καὶ ἀνομίλητος, ξένος οὐ πατρί-

2 ἐπιστήθιον = Ἰωάννην τὸν εὐαγγελιστήν. — 22 Ἐφεσ. δ', 22 «ἀποθέσθαι ὑμᾶς - - τὸν παλαιὸν ἄνθρωπον» κέ. — 27/29 Ἰὼβ α', 21.

Digitized by Google

δος μόνον καὶ φίλων καὶ τῆς ἑνός τινος γοῦν τῶν συνήθων ἡστινοσοῦν ὁμιλίας, τοῦτο δὴ τὸ βαρύτατον, ἀλλὰ καὶ τροφῆς τῆς πρὸς τὸ ζῆν ἀναγκαίας καὶ παντὸς οὑτινοσοῦν ἀνθρωπίνου πράγματος. Τίς γὰρ ἂν καὶ πότε τροφὴν ὀρέξαι κατὰ νοῦν ἔσχε; καὶ εἰ τὸν πάντων εἴποις φιλανθρωπότατον, ἀνθρώπῳ μήτ' αὐτῷ προσαιτοῦντι, μὴ φθέγματι τὸ παράπαν, μὴ νεύματι, μήτε τὸν ὑπὲρ αὐτοῦ δεησόμενον ἔχοντι καὶ μηδενί τινι τόπῳ πρὸς βραχὺ γοῦν ἑαυτὸν περιγράφοντι, ἀλλὰ νῦν μὲν ἐν ἐρήμοις καὶ ὄρεσι καὶ ἄντροις καὶ θηρῶν καταδύσεσιν ἐπὶ πολὺ καταμόνας τῇ τοῦ Θεοῦ θεωρίᾳ σχολάζοντι, ποτὲ δ' αὖθις πόλεσι καὶ χώραις καὶ δήμοις καὶ συλλόγοις κοινοῖς καὶ πανηγύρεσι καὶ ἀγοραῖς ἄλλοτε ἄλλαις ἑαυτὸν διδόντι, ὡς πλήθει μὲν ἀνθρώπων τὸ καθ' ἑκάστην ἔστιν ὅτε δοκεῖν παραβάλλεσθαι, τὸ παράπαν δ' ὡς ἀληθῶς τῶν ἀνθρώπων ἀπερρωγέναι οὐ τῷ φρονήματι μόνον καὶ τῷ τῆς ψυχῆς ἐκ πολλοῦ τοῦ περιόντος ἀφεστηκότι, ἀλλὰ καὶ τῷ τῇδε κἀκεῖσε, καθάπερ ἔφην, περιπολοῦντα μετὰ τῆς ἄκρας ἐκείνης σιωπῆς καὶ τοῦ σχήματος ἄγνωστον εἶναι τοῖς πᾶσι σχεδόν, καθάπερ νῦν ἄρτι πρῶτον ὁρώμενον. Πῶς οὖν, ὅπερ εἶπον, τῶν πρὸς τὸ ζῆν ἀναγκαιοτάτων αὐτῷ μετέχειν ἐξῆν, οὕτω πάντων ἀφεστηκότι καθάπαξ ἐν παντὶ πράγματι; δυσὶ γὰρ δήπου τούτοις ἄνθρωποι πάντες πρὸς οἶκτον ἐπικλώμενοι βλέπομεν, ἢ τῷ δι' ἑαυτοῦ δεομένῳ κατὰ τὴν ἐντολὴν διδόντες—"τῷ γὰρ αἰτοῦντί σε δίδου" φησίν—, ἢ τῷ δι' ἑτέρου, μὴ δυναμένῳ δι' ἑαυτοῦ πάντως διά τινα προσπεσοῦσαν νόσον ἢ αἰσχύνην ἢ συμφορᾶς μέγεθος· ὅπερ, εἰ καὶ ταὐτὸν εἶναι δοκεῖ τῷ προτέρῳ, πρός γε τὴν ἐντολὴν ἀντεξεταζόμενον, ἀλλ' ἔχει τι πάντως καὶ ὑψηλότερον, τὸ μὴ παρεῖναι λέγω τὸν πάσχοντα φθέγματί τε καὶ σχήματι καὶ τῷ τῆς ψυχῆς παθαινομένῳ παντὶ τὸν ἔλεον δυνάμενον ἐκκαλέσασθαι· τὸ δέ γε διδόναι παρά τινος μηδοπωστιοῦν ἐξαιτούμενον, τοῦτο καὶ ὑπὲρ τὴν ἐντολὴν μὲν ἤδη καὶ διὰ τοῦτο. καὶ μέγα καὶ πολλοῦ τινος ἄξιον. Εἰ μέντοι κἀκεῖνο προσθείης, τὸ μηδὲ συνήθη τινὰ καὶ γνωστὸν εἶναι τὸν τὴν ἔνδειαν ἀποκρύπτοντα, τοῦτο μικροῦ καὶ ἄπορον

8 *γράφοντι* B. — 21 *ἐπικλόμενοι* B. — 22 Ματθ. ε', 42.

Digitized by Google

ἔγωγ' ἂν φαίην, καὶ τοὺς ἐπὶ φιλανθρωπίᾳ σπουδαιοτάτους διαδιδράσκειν δυνάμενον, εἰ μήπου τινὰ λέγοις Ἀβραὰμ τὸν μέγαν ἐν πατριάρχαις καὶ Ἰὼβ τὸν τούτου ἀπόγονον· ὧν τὸν μὲν ἐπὶ τῆς τριόδου καθήμενον οὐδ' εἰστισοῦν τῶν παριόντων ἐλάνθανε, τῷ δὲ γενναίῳ Ἰὼβ ἐχέοντο μὲν αἱ ὁδοὶ βουτύρῳ, κατ' αὐτὸν ἐκεῖνον εἰπεῖν, τὰ δὲ ὄρη τῷ γάλακτι καὶ ἡ θύρα παντὶ τῷ βουλομένῳ ἀνέῳκτο, κατ' ἐξουσίαν τὰ πρὸς χρείαν λαμβάνοντι. Τούτων γε μὴν μὴ παρόντων—οὐδὲ γὰρ πολλάκις οὐ φύσις, οὐ χρόνος, ταῦτα φέρειν οἶδε τοῦ καθ' ἡμᾶς βίου τὰ θαύματα—πᾶσαν εἶναι ἀνάγκην λιμῷ φθαρῆναι τὸν ὑστερούμενον, εἰ μὴ Θεὸς ἀφανῶς ὀρέξοι χεῖρα, ὁ ταύτην ἀνοίγων καὶ ἐμπιπλῶν πᾶν ζῷον εὐδοκίας, ὁ διδοὺς τοῖς κτήνεσι τροφὴν καὶ τοῖς νεοσσοῖς τῶν κοράκων, τοῖς ἐπικαλουμένοις αὐτόν· ὃ δὴ καὶ τῷ τοῦ Χριστοῦ ἀθλητῇ τῷδε συνέβαινε, σιωπήν, ἧπερ ἔφην, ἀσκοῦντι καὶ τὸν μωρὸν ὑποκρινομένῳ καὶ παντὸς ἀφεστηκότι, καὶ ἀνθρώπου καὶ πράγματος· παρεμυθεῖτο δὲ τὴν ἀνάγκην τῆς φύσεως ποτὲ μὲν ταῖς αὐτομάτως ἐκ τῆς γῆς ἀναδιδομέναις βοτάναις, ὁπηνίκα δηλαδὴ τῶν ἀνθρώπων ἀναχωρῶν καθ' ἑαυτὸν ἐν ταῖς ἐρήμοις διέτριβε, καὶ τοῦτο πεφεισμένως, διὰ τριῶν ἡμερῶν που καὶ τεττάρων ταυτηνὶ τὴν τράπεζαν προσιέμενος, ποτὲ δὲ καὶ τοῖς ὑπό τινων αὐτῷ παραρριπτουμένοις, προνοίᾳ δηλονότι τοῦ κρείττονος, ὅτε τοῖς ἀνθρώποις ἑαυτὸν ἀνεμίγνυ, πόλεις καὶ χώρας μετὰ σκοποῦ διιὼν τοῦ προκειμένου καὶ νήψεως. Ἔστι δ' ὅτε καὶ πᾶσαν ἄσιτος εἷλκε τὴν ἑβδομάδα, νεκρὸν ἑαυτὸν καὶ τοῦ κόσμου τὸ παράπαν ἐξεστηκότα δεικνὺς καὶ τροφῇ καὶ στρωμνῇ καὶ οἰκήσει καὶ ὁμιλίᾳ καὶ ἤθει καὶ σχήματι. Καὶ πῶς γὰρ οὐχ ὑπερφυᾶ τὰ κατὰ τὸν μέγαν τουτονὶ πάντα καὶ λόγου παντὸς ἔξω καὶ παραδείγματος καὶ οὐδὲ λογισμοῖς ἀνθρωπίνοις οὔμενουν ὑποπίπτειν δυνάμενα; μᾶλλον δὲ καὶ τοὺς ὑπερφυεῖς ἐκείνους ἐγὼ καὶ ἰσοθέους ἀνασκοπῶν ἄνδρας, Ἠλίαν φημὶ τὸν θεσβίτην καὶ τὸν βαπτιστὴν Ἰωάννην καὶ τοὺς

5/6 Ἰὼβ κθ', 6. λα', 32. — 10 *φθαρεῖναι* B. — 11 Ψαλμ. ρμδ', 16 «ἀνοίγεις σὺ τὰς χεῖράς σου καὶ ἐμπιπλᾷς πᾶν ζῷον εὐδοκίας». — 12/13 Ψαλμ. ρμς', 9. — 25 *στρομνῇ* B.

Digitized by Google

μετὰ τὴν χάριν καλῶς τὰ ἐκείνων ζηλώσαντας, οὓς ἔδει παραδείγματά τινα καὶ εἰκόνας τῶν μεγίστων προκεῖσθαι τῷ βίῳ, πολλῷ τινι τῷ μέσῳ τοῖς πόνοις εὑρίσκω τὸν ἄνδρα προέχοντα· οἱ μὲν γὰρ τούτων τῷ ἐρημικῷ τε καὶ ἀτρόφῳ πρὸς ἐκεῖνον παραβαλλόμενοι, ταῖς λοιπαῖς τῶν ἀγώνων ἰδέαις, πολλαῖς οὔσαις ὁμοῦ καὶ μεγάλαις, ἐλλείποντες φαίνονται· οἱ δὲ τὸ ἴσον ἐν τούτοις ἔχοντες, ἐν τοῖς προρρηθεῖσαν ὑστέρησαν, ἢ τῷ τοῦ δρόμου τόνῳ, ἢ τῇ τοῦ χρόνου παρατάσει, ἢ τῷ διὰ πάντων ἀκροτάτῳ περιφανῶς ἡττηθέντες τῆς καινῆς τοῦ ἀνδρὸς ἐκείνης ἐνστάσεως. Ποῦ γὰρ τοὺς τῆς ἀκροτάτης ἐκείνης ἀσιτίας τε καὶ γυμνώσεως καμάτους, κἂν πρὸς βραχὺ διανέπαυε, μὴ καλύβην ἔχων, μὴ στρωμνῆς εἶδός τι καὶ ὁπωσοῦν, μήτε μὴν ὑπὸ δένδρον που καὶ φυτὸν ἢ προθύροις οἴκων τινῶν καὶ προτεμενίσμασιν ἑαυτὸν ὑποβάλλειν, ἃ περὶ τῶν μεγάλων ἐκείνων ἀγωνιστῶν ἱστορίαι καὶ βίβλοι φέρουσι; πῶς τῶν ὑετῶν τὸ ῥαγδαῖον τούς τε χειμερίους νιφετοὺς καὶ τὸ δριμὺ καὶ σφοδρὸν τῶν πνευμάτων προσβάλλοντα γυμνὴ φύσις ἀνθρωπείας σαρκὸς ὑπὲρ φύσιν ὑπέφερε, λεπτὸν οὕτω καὶ ἀραιὸν προβαλλομένη τὸ δέρμα καὶ διὰ τοῦτο καὶ μέχρις ὀστῶν καὶ μυελῶν τοῦ πάθους τὴν αἴσθησιν ὀξύτατα παραπέμπουσα; πῶς τὴν μὲν τῶν ἔξω πῆξιν καὶ νέκρωσιν σαρκῶν φημι καὶ νεύρων καὶ τῶν ἄρθρων αὐτῶν, τὸν δὲ πρὸς τὰ ἔσω τοῦ αἵματος ὠθισμὸν καὶ τοῦ ἐμφύτου θερμοῦ τὴν κατὰ βάθους συνοχὴν ἔφερε, τὴν ἐναντίαν ταύτην φημὶ βάσανον, ἀφόρητον ἐπάγουσαν τὴν ὀδύνην καὶ οἰκτίστου θανάτου πικρὰν οὖσαν ἄγγελον; Ὅταν δὲ καὶ τοὺς ἐν θέρει τοῦ ἡλίου καυτῆρας ἐνθυμηθῶ, πυρὸς οὐδὲν ἧττον ἐν ἐκείνοις τοῖς μέρεσι πᾶν τὸ προστυχὸν καταφλέγοντας, ὡς τῶν πεπειραμένων ἔστιν ἀκούειν, ξένον τι χρῆμα καὶ διανοίας καὶ φύσεως ἀνθρωπείας ἔξω τὰ κατ' ἐκεῖνον βλέπω, ἢ τοῦτ' ἂν εἴη μάλιστα τὸ παρ' ἡμῖν θαυμαζόμενον, ὅτι τὴν κοινὴν καὶ οὗτος ἡμῖν κληρωσάμενος φύσιν καὶ μηδὲν κατ' αὐτὸ τοῦτο τῶν πολλῶν διαφέρων, πρὸς τὰς ἀΰλους ἁμιλληθῆναι φύσεις ὑπερφυῶς ἔσχε μετὰ τῆς ὕλης, θέατρον γενόμενος τῷ κόσμῳ καὶ Ἀγγέλοις καὶ ἀνθρώποις,

1 χάριν='Ιησοῦν· πρβλ. Πέτρου 1, α', 13.—11 *στρομνῆς* B. – 32/1 Κορινθ. 1, δ', 9.

κατὰ Παῦλον φάναι τὸν μέγαν, μᾶλλον δὲ τοῖς μὲν Ἀγγέλοις θαῦμα καὶ χαρᾶς ἀρρήτου τινὸς ὑπόθεσις, τὸν καινὸν ἄνθρωπον ὁρῶσι, τὸν κτισθέντα κατὰ Θεόν, καὶ τὴν ὑπερφυᾶ τῆς δεξιᾶς τοῦ ὑψίστου ἀλλοίωσιν, ἣν αὐτὸς ὁ τοῦ Θεοῦ μονογενὴς δι' ἑαυτοῦ σαρκωθεὶς ὑπὲρ λόγον ἐνήργησε, τῇ δὲ κοινῇ τῶν ἀνθρώπων φύσει, ὅσοι δηλαδὴ μὴ τοὺς ὀφθαλμοὺς πρὸς τὸ φῶς τῆς θεογνωσίας ἑκόντες ἔμυσαν, δόξα κοινὴ καὶ καυχήσεως ὑπέρλαμπρος στέφανος καὶ τῆς ἀρχαίας αἰσχύνης κατάλυσις, ζήλου τε κέντρον τῆς πρὸς Θεὸν ἀγάπης ὀξύτατον, πλείστους μὲν παρακνίζον καὶ διεγεῖρον εἰς αὐτὸ τοῦτο θερμότατα, ὀλίγους δὲ πάνυ τοὺς ἑπομένους ἔχον, καὶ τούτους ἀμυδρῶς πως καὶ πολλῷ τῷ μεταξὺ τοῦ παντὸς ἀποπίπτοντας, δέος γε μὴν οὔτι φορητὸν καὶ κατάπληξις τῷ τῆς κακίας ἀρχηγῷ καὶ πάσῃ τῇ σκοτεινῇ περὶ αὐτὸν φάλαγγι τὸν σκελισθέντα πρότερον ὑπ' αὐτῶν καὶ δι' ἀπάτης αἰχμάλωτον γεγονότα καὶ ἄδοξον ἄνθρωπον τοσαύτην ὁρῶσι περιβεβλημένην τὴν δόξαν καὶ οὕτω τὴν ἀνδρίαν τῆς ψυχῆς ἀνυπέρβλητον, ὡς μὴ μόνον κατ' αὐτῶν ἐκείνων καὶ τῶν παρὰ φύσιν παθῶν εἰληφέναι τὸ κράτος, ὥστε "πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν τοῦ ἐχθροῦ δύναμιν", ἀλλὰ καὶ τῆς αὐτοῦ φύσεως οὕτω κρατεῖν ὑπὲρ φύσιν, ὡς μηδὲ ταῖς ἀνάγκαις αὐτῆς ὑποκύπτειν ἐθέλειν, ὥσπερ τινὰ βασιλέα καὶ θεὸν χειροτονηθέντα δυνάμει τοῦ αὐτὸν ἐνδυσαμένου δεσπότου καὶ τῆς ἑαυτοῦ μεταδόντος δόξης τε καὶ θεώσεως. Ὅθεν καὶ πολὺς τὴν κατὰ τοῦ ἀνδρὸς μανίαν ἣν ὁ λῃστὴς καὶ σφοδρὰν αὐτῷ τὴν τῶν ἔξωθεν πειρασμῶν τρικυμίαν ἐπήγειρεν, εἰδὼς μὲν ὡς ἀνηνύτοις ἐπιχειρεῖ δορκάς, ὃ λέγεται, πρὸς λέοντα μάχης ἁπτόμενος καὶ κατ' αὐτὸς αὑτοῦ κινῶν τὸν ἀνάγυρον, τὸ ἑαυτοῦ δὲ ποιῶν ὅμως καὶ τὸ κακὸς φαίνεσθαι τέως ὅπερ ἐστὶ φιλοτιμούμενος πάντοτε. Ἀλλ' ἐπὶ τὴν νύσσαν ἐπαναγέσθω πάλιν ὁ λόγος.

18. Οὕτω τοιγαροῦν καὶ τὸν ἔσχατον ἐκδύς, ὅπερ ἔφην, ὁ γενναῖος χιτῶνα, πόλεις τε πάσας καὶ χώρας τὰς τῶν Κυπρίων

2 καινὸν ἄνθρωπον κέ] Ἐφεσ. δ', 24. — 18 Λουκᾶ ι', 19. — 24 **λιστὴς** B. — 26 κινῶν τὸν ἀνάγυρον] Corpus paroem. II, σ. 479, 758.

Digitized by Google

διερχόμενος ἦν, ῥάκει τινὶ φαυλοτάτῳ τὰ πρὸς σκέπην ἀναγκαιότερα τοῦ σώματος μέλη περικαλύπτων καὶ μωρίαν δῆθεν ὑποκρινόμενος ὁ τῆς ἀληθινῆς σοφίας εἴπερ τις ἔμπλεως, "ἡμεῖς μωροὶ διὰ Χριστὸν" ἐν αἰσθήσει καρδίας μετὰ Παύλου τοῦ μεγάλου καὶ αὐτὸς λέγων καὶ ὡς "ἄχρι τῆς ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν καὶ ἀστατοῦμεν, ὡς περικαθάρματα τοῦ κόσμου καὶ περίψημα πάντων γινόμενοι". Οὐ μὴν οὕτω τοῖς πᾶσιν ἁπλῶς αὐτὸ τοῦτο μωρὸς ἐδόκει τις καὶ μαινόμενος· ἀλλ' εἰσὶ μὲν οἳ καὶ ταῦθ' οὕτω πρὸς ἀλήθειαν ἔχειν ἐνόμιζον, τῷ φαινομένῳ τούτῳ δὴ προσέχοντες μόνῳ καὶ καθάπερ τινὶ λίθῳ καὶ σκανδάλου πέτρᾳ προσκόπτοντες, τοῖς δέ γε συνιέναι δυναμένοις καὶ δοκιμάζειν καλῶς ἐκ τῶν φαινομένων τὰ μὴ βλεπόμενα, δῆλος ἦν αὐτόθεν, ὅπως τὸ φρονοῦν ἐρρωμένον εἶχε, κρύπτων ἐν ὀστρακίνῳ σκεύει τὸν θησαυρὸν τὸν τοῦ πνεύματος· οὐ γὰρ ὡς ἔτυχεν ἀπερισκέπτως οὕτω τὸν μωρὸν ὁ σοφὸς κατά τινας ὑπεκρίνετο, οἵτινες ἑαυτοὺς οὐκ οἶδ' ὅπως λαθόντες ἠπάτησαν, οὐχὶ μωρίαν ὑποκριθέντες, ἀλλ' αὐτὸ τοῦτο μωροὶ γεγονότες ῥήμασί τε καὶ πράγμασι καὶ ἀντὶ τοῦ τοῖς Δαίμοσιν ἐμπαίζειν καὶ τῷ κόσμῳ, κατά γε τοὺς εἰπόντας πατέρας, εἰς ἐμπαιγμὸν καὶ χλεύην ἑαυτῶν καταλήξαντες· τὸ γὰρ ἄλογον τῆς ψυχῆς οὔπω καλῶς ὑποτάξαι δυνηθέντες τῷ λόγῳ, μηδὲ τὰς ἡνίας ὁλοσχερῶς δεδωκότες τῷ κρείττονι, ἐπεὶ πρὸ καιροῦ τῆς βαλβῖδος ἐξέδραμον, τοῖς πάθεσιν εὐχερῶς ἑαυτοὺς κατεκρήμνισαν, ἐκεῖνα λέγοντες ἀσέμνως καὶ πράττοντες, ὅσα τοὺς μαινομένους εἰκός. 'Αλλ' οὐχ ὁ μέγας ταυτὶ Σάβας, ἀλλὰ τὸ νοσοῦν τῆς ψυχῆς ἄριστα δι' ἐγκρατείας καὶ ταπεινοφροσύνης θεραπεύσας τὸ πρότερον, ὡς μηδοπωστιοῦν ὑπό γε τῶν αἰσθήσεων συμποδίζεσθαι τὸν καινὸν τοῦτον ἔπειτα δρόμον καὶ τὸν ἀγῶνα τεθάρρηκεν, οἱονεί τινα χαλινὸν ἐπιθεὶς τῇ γλώττῃ καὶ οὕτω τὴν σιωπήν, οὐ τὸ τῶν ἀπᾳδόντων οἶμαί τι λέγειν, διευλαβούμενος — ποῦ γὰρ ἐν ἐκείνῳ ταῦτα, πρυτανεῖον ἐργασαμένῳ πάλαι Θεοῦ

3/7 Κορινθ. 1, δ', 11, 12. — 8 *μενόμενος* Β. — 9 *τοῦτο* Β. — 10 σκανδάλου πέτρᾳ] 'Ρωμ. θ', 33. — 13 ἐν ὀστρακίνῳ σκεύει κέ] Κορινθ. 2, δ', 7. — 21 *δεδοκότες τῶ κρίττονι* Β.

Digitized by Google

τὴν ψυχὴν καὶ τὰ ἐκείνου διὰ παντὸς καὶ μελετῶντι καὶ λέγοντι; —, ἀλλ' ὡς ἂν τὸν τῆς ἐγκειμένης τοῦ πνεύματος σοφίας θησαυρὸν ἀποκρύπτειν ὡς μάλιστα ἔχῃ καὶ μὴ τοῦ δένδρου προχείρως ἀπὸ τοῦ καρποῦ φαινομένου ῥᾷστα τοῦ σκοποῦ διαμάρτῃ καὶ τῆς καλῆς ὑποκρίσεως. Ἤπιός γε μὴν ὅλος ὢν αὖθις καὶ προσηνής, σχήματί τε καὶ βλέμματι, σύννους τε καὶ πρὸς αὐτὸς ἑαυτὸν πάντοτε βλέπων καὶ τοῖς κρείττοσι τὸ νοερὸν ἀδιαλείπτως προσασχολῶν, ὡς καὶ τῷ πλήθει πυκνῶς συναναστρεφόμενος "κατὰ μόνας εἰμὶ ἐγώ, ἕως ἂν παρέλθω" μετὰ τοῦ Δαυὶδ λέγειν δύνασθαι· ἄλλως τε δὲ καὶ ὑπὸ τῆς ἄγαν ἀσιτίας συντετηκὸς ἔχων τὸ σῶμα καὶ λεπτόν τι πνέον καὶ ἀδρανές—οὐδὲ γὰρ καὶ ταῦτα κρύπτειν ἠδύνατο—, τοῖς συνετωτέροις ὕποπτος ἦν, ὅπερ εἶπον, καὶ διὰ τοῦτο καὶ τιμῆς ἄξιος. Καιρὸς δ' ἂν εἴη λοιπὸν καί τινων ἐπιμνησθῆναι τῶν κατὰ μέρος καὶ δεῖξαι καὶ τὴν ἐν τῇ πολιτείᾳ ταύτῃ τοῦ ἀνδρὸς εὐδοκίμησιν.

19. Διήρχετό ποτέ τινα τῶν Κυπρίων πόλιν ὁ μέγας ἐν τῷδε τῷ σχήματι· κατὰ δὲ μέσον τὴν λεωφόρον βαδίζοντι, γυνή τις ἐπιβάλλει τὸν ὀφθαλμόν, ὑπερῴου τινὸς ὑπερκύψασα, καὶ τίνι τῶν λογισμῶν οὐκ οἶδα χρωμένη, "ὢ τοῦ κάλλους τῶν σαρκῶν τοῦ ἀνθρώπου τοῦδε" μετὰ θαύματος ἐξεβόησεν· ἔτι γὰρ ἐν ἀρχαῖς ἦν αὐτῷ τὰ τοῦ παρόντος ἀγῶνος καὶ οὔπω ταῖς ἀμέσοις προσβολαῖς τοῦ ἀέρος, οὐδὲ ταῖς ἡλιακαῖς τε καὶ χειμερίοις βολαῖς ὡς εἰκὸς μεμελάνωτο· καὶ ἡ τοῦ σώματος δὲ κρᾶσις τὸ πυρῶδες ἔχουσα κατὰ φύσιν, λευκὴν ἄκρως ἐδείκνυ καὶ στίλβουσαν τὴν τῆς σαρκὸς ἐπιφάνειαν. Ὁ δὲ σοφὸς ὁμοῦ μὲν τὸν τῷ λείῳ τῆς ἡδονῆς ἐγκρυπτόμενον ὄφιν ἐλέγχων, ὁμοῦ δὲ καὶ τὸ γύναιον σωφρονίζον, μὴ τὰ τοιαῦτα θαυμάζειν, μηδὲ κάλλει σαρκὸς καὶ ὀφθαλμῶν ἀπατᾶσθαι φαντασίᾳ, ἄλλως τε δὲ καὶ τὸ μὴ προσκόμματος ἀφορμὴν διδόναι καὶ ὁπωσοῦν τοῖς ἁπλουστέροις περὶ πλείστου ποιούμενος, πρᾶγμα ποιεῖ τῆς διανοίας αὐτοῦ μόνης καὶ τῆς σπουδῆς ὄντως ἄξιον· περιβλεψάμενος γὰρ ὧδε κἀκεῖσε, δεξαμενὴν

4 τοῦ δένδρου πρ. ἀπὸ τοῦ καρποῦ φαινομένου] Ματθ. ιβ', 33. Λουκᾶ ς', 44. — 8/9 Ψαλμ. ρμ', 10. — 10 ἔχον BM.

Digitized by Google

τινα βλέπει βορβόρου καὶ σκωλήκων μεστήν, καὶ δραμὼν ὅλον ἑαυτόν, ὡς εἶχε, μέσον τοῦ βορβόρου καὶ τῆς σαπρίας ἐκείνης καθίησι· καὶ ὃ μὲν οὕτω καθῆστο, καθάπερ ἐπὶ λουτροῦ τινος ἢ λειμώνων εὐανθῶν καὶ ῥοδωνιᾶς εὐώδους καὶ μαλακῆς, ἐν μέσῳ τῆς ἀπλέτου δυσωδίας ἐκείνης, ἄχρις οὗ, τῆς ἑσπέρας καταλαβούσης, μόλις αὐτόθεν ἐξῆλθε μεμελανωμένος ὅλος καὶ ῥύπου καὶ δυσωδίας μεστός, ὡς μὴ μόνον μηκέτι τοῖς ἀσθενεστέροις τὸν νοῦν πρόσκομμα τὴν αὐτοῦ γενέσθαι γύμνωσιν — "ἱνατί γάρ", φησὶ Παῦλος ὁ μέγας, "ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως";—, ἀλλὰ καὶ τοῖς ἐχέφροσι καὶ σπουδαιοτέροις ὠφελείας οὔτι μικρᾶς ὑπόθεσιν εἶναι τὸ κατ' αὐτόν, ἄριστα παιδευομένοις ἐντεῦθεν, ὅπως καὶ σώματος κάλλους ὡς μηδὲν ὄντος ὑπερφρονεῖν δεῖ καὶ σωφροσύνην ἀσκεῖν ὡς μάλιστα τραχυτέραις τισὶν ἀγωγαῖς τοῦ λείου κατεξανισταμένους τῆς ἡδονῆς· ὃ δὴ καὶ παραυτίκα συμβαῖνον ὡρᾶτο, καὶ τοῦ σκοποῦ καὶ τῆς καλῆς ἐπινοίας οὐμενουν ἐκεῖνος τὸ παράπαν ἡμάρτανεν· οἱ μὲν γὰρ τῶν ὁρώντων ἐξεπλήττοντο τὴν ἀνδρίαν καὶ τῆς θαυμαστῆς προαιρέσεως οὐδ' ὅσον εἰπεῖν αὐτὸν ἀπεθαύμαζον· οἳ δὲ καὶ θερμὰ τοῖς ῥηθεῖσι προσετίθουν ἀπὸ ψυχῆς δάκρυα, καὶ πρὸ τῶν ἄλλων ἡ τοῦ δράματος αἰτία γυνή, τῆς προπετείας ἑαυτὴν καταμεμφομένη καὶ ὀφθαλμῶν ἀκρασίαν καὶ γλώττης ὄλισθον δάκρυσι καλοῖς καὶ ῥήμασι μετανοίας ἐξιωμένη καὶ τὴν εἰς τὸ μέλλον ἐγγυωμένη ἀσφάλειαν. Καὶ τοῦτο μὲν δὴ τοιοῦτον καὶ οὕτω κάλλιστον δεῖγμα τῆς περὶ τὰ καλὰ σπουδῆς τοῦ ἀνδρὸς καὶ ὅπως οὐκ ἀπρόσκοπα μόνον, ἀλλὰ καὶ ὠφελείας ἀφορμὴν ἔσπευδεν εἴπερ οἷόν τε τοῖς πᾶσιν εἶναι τὰ κατ' αὐτόν· δεῖ δὲ καὶ τῆς τῶν Δαιμόνων ἐπιμνησθῆναι πρὸς αὐτὸν μάχης καὶ δεῖξαι κἀντεῦθεν στεφανίτην τὸν ἀθλητήν, μᾶλλον δὲ καὶ τὸ ῥηθὲν ἤδη τῆς κατὰ τοῦ ἀνδρὸς μανίας οἱονεί τις προάγων ἦν, ἔνεδρον κατὰ τῆς ἀλήπτου ψυχῆς ἐκείνου συσκευασάντων τὸ λεῖον τῆς ἡδονῆς. 'Αλλ' ἐπεὶ τὸ τῆς ἀλωπεκῆς ἀπεδοκιμάσθη καὶ οὐκ ἔλαθον εἰπόντες ἐν ἑαυτοῖς "τῷ

4 λειμόνων B. — 9 Κορινθ. 1, ι', 29.

ψεύδει σκεπασθησώμεθα καὶ τὸν δίκαιον ἐνεδρεύσωμεν—"φῶς γὰρ δικαίοις διὰ παντός", καὶ "τοῦ σοφοῦ οἱ ὀφθαλμοὶ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ"—, τὴν λεοντῆν ἤδη περιβάλλονται καὶ τὸν θυμὸν ὅλον φανερῶς ὁπλίζουσι κατ' αὐτοῦ, τῆς ἀτιμασθείσης ἡδονῆς ὥσπερ ἐκδικητήν, καὶ ὅπως, ἕτοιμος ὁ λόγος δηλοῦν.

20. Ἰταλός τις τῶν ἐπὶ γένει καὶ πλούτῳ μέγα φυσώντων, μέγιστά τε δυνάμενος παρὰ τῇ σφετέρᾳ πατρίδι καὶ τῆς κατὰ φύσιν τοῦ γένους ὑπεροψίας αὐτὰ δὴ ταῦτα προσθήκην πεποιημένος, τῷ μεγάλῳ κατὰ μέσην ἐντυχάνει τὴν πόλιν οὕτω συμβάν, ἀγερώχῳ τινὶ καὶ γαύρῳ ἐφεζόμενος ἵππῳ μεθ' ὅσης τῆς δορυφορίας καὶ τῶν ἔξω φασμάτων, καὶ τὸ τοῦ σχήματος ὑποπτεύσας ἐκείνου καινὸν καὶ παρηλλαγμένον, μᾶλλον δ' εἰς τοῦτ' αὐτὸ συνελαθεὶς ὑπὸ τῆς τοῦ Δαίμονος κακουργίας, τίς οὗτος ἂν εἴη διεπυνθάνετο τῶν ἐφεπομένων· τῶν δὲ τοῦτον μὲν τὸ σύνολον ἀγνοεῖν εἰρηκότων, ὑποπτεύειν δ' ὅμως αὐτὸν ὅσον ἀπὸ τοῦ φαινομένου κατάσκοπον τῆς πατρίδος ἐξ ἀλλοδαπῆς τινος ἥκειν καὶ πρὸς ἐξαπάτην τῶν πολιτῶν τὸ σχῆμα καὶ ταύτην τὴν ὑπόκρισιν ἐνδεδεῖχθαι, κατασχεθῆναι τοῦτον αὐτίκα κελεύει· καὶ βλοσυρὸν ἐνιδὼν αὐτῷ μετὰ τῆς φίλης ἰταμότητος καὶ ὑπεροψίας, ὅστις ἂν εἴη καὶ ὅθεν λέγειν ἠρώτα· ὁ δὲ τῶν μὲν ἐκείνου λόγων οὐδὲ βραχύν τινα ποιούμενος λόγον, οὐδὲ γὰρ πρὸς αὐτὸν ἦσαν, τοῦ δὲ κενοῦ τύφου καὶ τῆς ὑπεροψίας ἀναστέλλων ἐκεῖνον, ἐπεὶ λέγειν οὐκ εἶχε, πράττειν δὲ εἶχεν, οἷς εἶχε, τὴν ὀφρὺν καταστρέφει· τὸν γὰρ ἐν τῇ χειρὶ κάλαμον ἠρέμα προτείνας, τοῦτον γὰρ εἰώθει βαστάζειν, ἅπτεται τοῦ ἐν τῇ κεφαλῇ πίλου καὶ εἰς γῆν αὐτὸν καταβάλλει, συνετῶς ἄγαν ὁμοῦ καὶ ἀστείως ὁ σοφὸς τὸν ἀλαζόνα διὰ τούτου διδάσκων, ὡς καὶ αὐτὰ δὴ τὰ ὑπερκείμενα καὶ πρώτιστα τῆς φαινομένης περὶ αὐτὸν κενῆς δόξης καὶ φαντασίας, σποδοῦ τε καὶ κόνεως οὐδὲν διαφέρει, καὶ ὅσον οὐκ ἤδη τοῦτ' αὐτὸ γῆ πατουμένη καὶ σποδὸς ἔσται, μετὰ τοσαύτης γε μὴν τῆς ὀξύ-

1 τῷ ψεύδει σκεπασθησώμεθα] Ἡσαΐου κη', 15 || *σκεπασθησόμεθα* B || τὸν δίκαιον ἐνεδρεύσωμεν] Σοφ. Σολομ. β', 12 || φῶς γὰρ δικαίοις διὰ παντὸς] Παροιμ. ιγ' 9. — 2 τοῦ σοφοῦ οἱ ὀφθαλμοὶ κἑ] Ἐκκλησ. β', 14.

Digitized by Google

τητος καὶ τῆς εὐκολίας, ὅσῳ καὶ κάλαμος τὸ ἀσθενὲς καὶ εὐρίπιστον τοῦτο μετὰ πολλῆς αὐτὰ καθαιρεῖ τῆς ἐλευθερίας καὶ τῆς ῥαστώνης, καὶ ταῦτα τοσούτων πανταχόθεν δορυφορούντων καὶ ὡσανεὶ μένουσιν αὐτοῖς προσεχόντων. Ἀλλ' ἐκείνῳ πολλοῦ τινος ἔδει τῶν τοιούτων αἰσθέσθαι καὶ ἦθος ἀνδρὸς καὶ ψυχῆς εὐγένειαν κεκρυμμένην ἀπὸ τῶν φαινομένων τεκμήρασθαι· ὅθεν καὶ ὕβριν αὐτὸ τοῦτο μόνον καὶ αὐθάδειαν ἐκάλει τὸ πρᾶγμα, καὶ τὸν θυμὸν ἀνυπόστατος ἦν καὶ μαινομένῳ τὸ παράπαν ἐῴκει, μᾶλλον μὲν οὖν καὶ μανίας τῆς ἐσχάτης ἔργα διαπραττόμενος ἦν. Κελεύει τοιγαροῦν τοῖς περὶ αὐτὸν δορυφόροις ῥάβδοις αὐτὸν ἀνηλεῶς κατακόπτειν· οἳ δὲ θᾶττον ἢ λόγος κατὰ γῆς τείναντες, τοσαύτας αὐτῷ τὰς πληγὰς ἐπιφέρουσιν, ὅσας οὔτ' ἄνθρωπος ἐπαγαγεῖν ἂν ἀνθρώπῳ προήχθη, μὴ θηρίου τινὰ γνώμην τὸ παράπαν ἀναλαβών, οὔτε μὴν ἀνθρώπου φύσις ὑπενεγκεῖν ἂν ἠδυνήθη, μὴ τῆς ἄνωθεν συμμαχούσης ἐπικουρίας. Καὶ τὰ μὲν ὀστᾶ συνετρίβετο, σάρκες δ' εἰς ἀέρα διερριπτοῦντο κατακοπτόμεναι, καὶ γῆ τοῖς καταρρέουσιν αἵμασιν ἐφοινίσσετο· τοὺς δὲ θηριώδεις ἐκείνους ἔλεος οὐμενουν ἐπεισῄει τῆς κοινῆς φύσεως· καὶ ὁ μὲν ἀθλητὴς ἔφερεν, οὐδὲ στεναγμὸν γοῦν προϊέμενος, οἱ τύπτοντες δὲ τοὐναντίον ἠτόνουν καὶ εἰς ἀμηχανίαν ἐνέπιπτον. Μέγα μὲν οὖν καὶ τοῦτο τῆς τοῦ ἀνδρὸς καρτερίας δεῖγμα καὶ οὐδαμῶς ἐνδέον τοῦ κατ' αὐτὸν πράγματος· ὃ δὲ τούτου μάλιστ' ἐγὼ θαυμάσας ἔχω, ἐξὸν αὐτῷ λαλήσαντι μόνον ἁπλῶς τὸν κίνδυνον διαδρᾶναι (τοῦτο γὰρ μόνον ὑπὲρ ἀπαλλαγῆς ὁ μιαρὸς ἐκεῖνος ἀπῄτει, ὥστ' ἂν μὴ παντάπασιν, ὡς ᾤετο, περιφρονηθῆναι), ὅδε τῆς ἐξ ἀρχῆς ἐνστάσεως καὶ τῶν πρὸς Θεὸν συνθηκῶν οὐ ζωήν, οὐ θάνατον, οὐκ ἐλευθερίαν, οὔτ' ἄλλο τι τῶν πάντων οὐδαμῶς προετίμα, ἀλλὰ Μακκαβαῖος ἄντικρυς τὴν ἔστασιν ἦν, μᾶλλον δὲ καὶ ὑπὲρ ἐκείνους πολλῷ τῷ μέσῳ· τοῖς μὲν γὰρ νόμων ἀνάγκη καὶ θεσμὰ θεῖα τὴν ἔνστασιν ἐνειργάζετο, ὃ δὲ ταύταις οὐχ ὑπέκειτο ταῖς ἀνάγκαις· καὶ τοῖς μέν, τοῖς τοῦ βασιλέως πειθομένοις τότε προστάγμασι, πᾶσα παρανομεῖν ἦν ἀνάγκη, πλημμελοῦσι περὶ τὰ προστάγματα τοῦ τῶν

6 *κεκρημμένην* B.

οὐρανῶν βασιλέως· ὃ δὲ μηδὲ τούτοις ὑπεύθυνος ὤν, μηδὲ ταυτηνὶ τὴν συντέλειαν μηδαμῶς ὀφείλων, ἐκ πολλοῦ τοῦ περιόντος οὐδὲ τὸν αὐτὸς ἑαυτοῦ κἂν πρὸς βραχὺ παρέθραυσε νόμον. Ὅτου φῇς χάριν; ἵνα μὴ δυοῖν θάτερον, ἢ τὰ πρότερα τοῖς δευτέροις, ἢ τὰ δεύτερα τοῖς προτέροις, αὖθις ἐξ ἀντιστρόφου φανείη φαυλίζων καὶ δίκην ἀστασίας, ἢ μᾶλλον ἀνοίας, αὐτὸς ἑαυτῷ λαγχάνοι, νῦν μὲν ἐκεῖνα, νῦν δὲ ταῦτα προτιμῶν καὶ ταῖς ἐναντίαις ἐξ ἴσου τιθέμενος δόξαις, ὡς ἀμφίβολός τις εἶναι πανταχοῦ τῷ φέροντι διδοὺς ἑαυτὸν ῥᾷστα καὶ μετὰ παντὸς τοῦ προθύμου, ἄλλως τε δὲ καὶ τὸ προτιθέναι τὸ πρὸς ὥραν ἡδὺ τοῦ καλοῦ τε καὶ ὠφελίμου, κἂν ἐπικίνδυνον ᾖ, δειλίαν ψυχῆς καὶ ὁδόν τινα τῆς τῶν μεγίστων καὶ αὐτῶν φημι τῶν περὶ Θεοῦ προδοσίας ἀσφαλέστατα λογιζόμενος ὁ γεννάδας· διὰ τοῦτο καὶ ἄκαμπτος καὶ ἀνένδοτος ἦν τὸ παράπαν, ὡς ἄψυχός τις ἀνδριὰς μᾶλλον ἢ ἄνθρωπος τὴν κόλασιν φέρων. Καὶ μικροῦ ἂν καὶ διεχρήσαντο τοῦτον, εἰ μὴ τοῦ καθ' ἡμᾶς τινες κόμματος τὴν τῶν κακοδόξων μυσαχθέντες μανίαν, ἄλλος ἀλλαχόθεν συναθροισθέντες καὶ ὥσπερ εἷς γεγονότες τῷ ζήλῳ, τοὺς μὲν καὶ μὴ βουλομένους τῆς ἀνοσίας ἐκείνης σφαγῆς ἐκώλυσαν, πολλὰ πρότερον τῆς αὐτῶν κατειπόντες ἀνοίας, ὅτι δὴ ξένον τινὰ καὶ ἀλήτην καὶ τὰς αἰσθήσεις οὕτω κατάκρας πεπηρωμένον ἄνθρωπον παρὰ πᾶσαν ἀποκτένουσι δίκην, μηδ' αὐτὸ τοῦτο δυνάμενοι συνιδεῖν, ὅτι περ οὐδὲ πεφυκότι λέγειν ἀπό γε τοῦ νῦν ἔξεστι, τῆς ζωτικῆς αὐτὸν ἤδη δυνάμεως τῷ τῶν πληγῶν ὑπερβάλλοντι καταλιμπανούσης· τὸν δὲ τοῦ Χριστοῦ ἀθλητὴν ὡς ἄψυχόν τινα βαστάσαντες φόρτον, τὸ μὴ παντάπασι νεκρὸν εἶναι μόνῃ τῇ ἀναπνοῇ πιστευόμενον, καὶ παρὰ τοὺς ἑαυτῶν ἀγαγόντες οἴκους, τοῦ αἵματός τε τὰς πληγὰς φιλανθρώπως ἀπέπλυναν καὶ νοσοκομοῦντες ἐφ' ἱκαναῖς ταῖς ἡμέραις ἦσαν, μᾶλλον δὲ τὸ μὲν φιλόθεον ἐκεῖνοι τοῦ τρόπου καὶ τὴν ἐπὶ τὰ κάλλιστα σπουδὴν διὰ τούτων αὐτῶν ἐνεδείξαντο, Θεὸς δὲ τοῦ ἀθλητοῦ ἄνωθεν οὐκ ἠμέλει, ἀλλ' ἀπέστειλε τὸν Λόγον αὐτοῦ καὶ ἰάσατο αὐτὸν καὶ τὰς ἀνειμένας χεῖρας καὶ τὰ παρειμένα συνέσφιγξε

19 ἐκόλυσαν Β. — 32 παρημένα Β.

Digitized by Google

γόνατα, καὶ γέγονεν ἴαμα τῆς σαρκὸς καὶ τῶν ὀστέων αὐτοῦ ἐπιμέλεια.

21. Ὅθεν καὶ ὡς ἐξ ὕπνου τινὸς ἀναστὰς σταθερὸς ὅλος καὶ ψυχὴν καὶ σῶμα καὶ ἄτρεπτος, "ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ" πρὸς τὸν Θεὸν μεθ' ἡδονῆς ἔψαλλεν· "ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ, Κύριε". Καὶ ταῦτα λέγων τοῦ προτέρου δρόμου καὶ τοῦ σχήματος αὖθις ἐξείχετο, νῦν μὲν εἰς τὰς ἐρήμους ἀναχωρῶν καὶ καθ' ἑαυτὸν τῷ Θεῷ συγγινόμενος ὁ πάντοτε καθ' ἑαυτὸν ὤν, καὶ τοῦ Θεοῦ μηδ' ὁπωσοῦν ἀφιστάμενος, νῦν δὲ χώρας ἐκείνας καὶ πόλεις τῆς νήσου περιπολῶν, ἧπερ ἔφην, καὶ μωρίαν δῆθεν ὑποκρινόμενος, μωρίαν πολὺ τὸ συνετὸν καὶ φιλόσοφον ὑποικουροῦν ἔχουσαν· οὐ γὰρ ὑβριστικόν τι καὶ ἄτακτον προσηνέχθη τινὶ πώποτε, οὐδὲ βλάβης εἶδός τι καὶ ὁπωσοῦν, ὥσπερ τισὶν ἔθος, τὸ παράπαν ἐπήνεγκεν, ἀλλ' ἦν ὅλος εὐταξίας καὶ εἰρήνης μεστὸς καὶ πᾶσι μετὰ τῆς φίλης σιωπῆς καὶ τῆς ἐπιπρεπούσης συννοίας καὶ ἱλαρότητος προσφερόμενος. Ἀλλ' οὐ καὶ τῷ φθόνῳ ταῦθ' ὅλως ἦν ἀνεκτά, οὐδ' ἠρεμεῖν ὁ ἐξ ἀρχῆς ἀνθρωποκτόνος ἔγνω, οὐδ' ἔληγεν ἔριδος οὔμενουν· διὰ τοῦτο καὶ τῆς πρώτης ἀποκρουσθεὶς πείρας, τοῖς αὐτοῖς καὶ αὖθις προσβάλλει μετὰ μείζονος πολλῷ τῆς παρασκευῆς καὶ τοῦ σχήματος· οὐ γὰρ ἕνα που καὶ δεύτερον αὖθις κινεῖ, καθάπερ τὸν κάκιστον Ἰταλὸν πρότερον, ἀλλὰ πάντοθεν αὐτῷ τὰ τοῦ πειρασμοῦ περιίστησι δίκτυα· τὸ γὰρ ἄλογον ὑπελθὼν πλῆθος, ἕτοιμον πάνυ πρός γε τὰ τοιαῦτα πεφυκὸς καὶ ὀξύρροπον, ἅτε καὶ οἴκοθεν ἔχων πανταχοῦ τὸ ἄστατόν τε καὶ ἀσυλλόγιστον, πολλὴν αὐτῷ τὴν τρικυμίαν καὶ τὸν σάλον ἐπήγειρε, καὶ οὐκ ἦν, ὡς εἰπεῖν, τοῦ πλήθους οὐδείς, οὐκ ἀνήρ, οὐ γυνή, οὐ παιδίον, οὐκ ἔφηβος, ὅστις οὐ μετὰ πολλῆς τῆς ἀναισχυντίας καὶ τῆς ὕβρεως αὐτῷ προσεφέρετο, λίθοις βάλλοντες, κόνει καὶ κόπρῳ τὴν τιμίαν — φεῦ — καὶ τοῖς Ἀγγέλοις αὐτοῖς χαριεστάτην κεφαλὴν τολμηρῶς καταπάττοντες καὶ τὰ τούτων ἔτι χείρω βλασφημοῦντες εἰς αὐτόν· "Ὁ λῆρος,

4/5 Ψαλμ. ριη', 14. — 6/7 Ψαλμ. κβ', 4. — 25 *ὀξύροπον* BM.

*

ὁ πλάνος, ὁ μωρός, ὁ τὰς φρένας παράκοπος, ὁ κάκιστος ἡμῖν οἰωνός, ἡ κοινὴ τῆς πόλεως λύμη τυπτέσθω, λιθολευστείσθω, τῶν ὁρίων ἡμῶν ὅτι τάχος ἀπεληλάσθω που, εἰς ὄρη καὶ ἐρημίας καὶ βάραθρα"! Ὁ δὲ σοφὸς ἐν ἅπασι σοφὸς ἦν καὶ τοῦ προσήκοντος οὐδαμοῦ διημάρτανε· τῷ γὰρ κινοῦντι κακῶς οὐ τοῖς ἁπλῶς κινουμένοις ὀργάνοις τὴν τῶν πειρασμῶν καλῶς ἐπιγράφων αἰτίαν κατ' ἐκείνου μὲν καὶ μόνου σφόδρα τὸ τῆς ψυχῆς ἐκίνει θυμούμενον καὶ προσευχῆς βέλεσιν οἱονεί τισι πρηστῆρσι κατὰ κεφαλῆς τὸν δράκοντα τὸν σκολιὸν ἔβαλλε, τοῖς ἀνθρώποις δὲ καὶ λίαν ἐπιεικῶς προσεφέρετο, νικῶν ἀποστολικῶς ἐν τῷ ἀγαθῷ τὸ κακόν, οὐκ αὐτὸς ὑπὸ τοῦ κακοῦ νικώμενος, μᾶλλον μὲν οὖν καὶ πατρικῶς τῆς νηπιότητος καὶ τῆς ἀφελείας αὐτοὺς οἰκτείρων καὶ τὸ ἀοίδιμον ἐκεῖνο χριστομιμήτως πρὸς τὸν Θεὸν ὑποψιθυρίζων ὁ συμπαθέστατος, "Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· οὐ γὰρ οἴδασι τί ποιοῦσι". Τί γὰρ ἂν ὤφθη ποτὲ τῆς μακαρίας ἐκείνης ψυχῆς συμπαθέστερον; τί δὲ μᾶλλον ἴσον ἐκείνης, ὅσα ἐμὲ εἰδέναι τὸν ἐκείνου πεπειραμένον ἐν τούτοις μάλιστα, ὥστε με καὶ τοῦτο θαρρούντως ἂν ἔχειν εἰπεῖν, ὅτι τὴν συμπάθειαν αὐτήν, ἥτις ἐστίν, εἴπερ ἐνδυσαμένην σῶμα καθάπερ τινὰ ψυχήν, ἔπειτ' ἐξῆν ἀνθρώποις ἐμφανισθῆναι καὶ τοῦτο τὸ πεφυκὸς ἐδίδου, μὴ ἂν ὑπὲρ τὸν ἄνδρα τοῦτον φρονῆσαι, μηδὲ σχεῖν ἐξελέγξαι ποτὲ καὶ ὁτιοῦν ὑφεικότα τοῦ καθ' αὐτὴν πράγματος; Τοσοῦτον ἦν σοι τὸ πρὸς πάντας ἐν τοῖς τοιούτοις ἀφεστηκός, ἄνθρωπε τοῦ Θεοῦ, καὶ οὕτω θεῖόν τι χρῆμα καὶ μοναδικὸν ὅσον εἰς καθαρότητα ψυχῆς ἐν μέσοις τοῖς ἀνθρώποις καὶ τούτῳ δὴ τῷ πλημμελοῦντι τῆς ὕλης ἐφάνης!

22. Οὕτω περιφανῶς διὰ τῶν ἀριστερῶν ὁ ἐχθρὸς ἡττηθεὶς αὐτίκα προσβάλλει τοῖς δεξιοῖς, ὥσπερ αὐτῷ νόμος, τὸν καιρὸν ἁρπάσας, ὡς ᾤετο, ἵνα καί τι χρήσιμον δόξειε λέγειν καὶ σύμβουλος ἀγαθὸς νομισθείη, πονηρότατος ὢν ἐπίβουλος. Τῶν ἔξω τοιγαροῦν ἀμελήσας πάντων αὐτὸς ἑαυτῷ τὴν μάχην ἐπιτρέπει διὰ τῶν λογισμῶν, "Ἵνα τί" λέγων "οὕτω σαυτὸν κατακόπτεις ἐπ'

14 Πράξ. ζ', 60. — 15 Λουκᾶ κγ', 34. — 23 ἀφεστικὸς Β. — 26 ἐφάνεις Β.

Digitized by Google

οὐδενὶ χρησίμῳ καὶ τῇ μὲν συζύγῳ σαρκὶ θάνατον οὕτω βίαιον καθ' ἑκάστην ἐπάγειν φιλονεικεῖς, καὶ ταῦτα μηδ' ἡντινοῦν εἰς τοῦτο δεξάμενος ἐντολήν, συγκατασπᾶν δὲ καὶ τὴν ψυχὴν διὰ τούτων αὐτῶν εἰς τὸν τῆς ὑπεροψίας ἐπιτηδεύεις κρημνόν, ὑπὲρ τὰ ἐσκαμμένα πηδᾶν ἀναγκάζων καὶ τὴν μὲν συνήθη καὶ φίλην ἀποδοκιμάζων τῶν πατέρων ὁδόν, ξένην δέ τινα καὶ ἀτριβῆ τέμνων αὐτὸς ἑαυτῷ, ἣν ἕνα που καὶ δεύτερον μόγις εὑρίσκομεν ὡδευκότας καὶ πρὸς κατάλυμα καταλελυκότας χρηστόν; ἢ τὰς τῶν Δαιμόνων ἀγνοεῖς ἐνέδρας καὶ ὅπως ἐκεῖνοι προφάσει τῆς ἐπὶ τὰ μείζω σπουδῆς πολλλοὺς τῶν μὴ νηφόντων κατέστρεψαν, τῷ βόθρῳ τῆς ὑπερηφανίας ἐναπορρίψαντες; ποικίλος γάρ τίς ἐστιν ὁ τοῦ κοινοῦ καθ' ἡμῶν ἐχθροῦ πόλεμος, καὶ οὓς οὐκ ἴσχυσε πολλοῖς τοῖς μηχανήμασιν ἑλεῖν διὰ τῶν ἀριστερῶν, τούτους αὐτοὺς τοῖς δεξιοῖς δελεάσας ὑφ' ἑαυτὸν μετὰ πολλῆς ἔθετο τῆς ῥᾳστώνης. Εἴ τι γοῦν ἐμοὶ πείθοιο, δεῦρο τῶν ἀνονήτων τουτωνὶ κινδύνων ἀφέμενος, πρὸς τὸν σὸν ὅτι τάχιστα πορεύου καθηγητήν, καὶ τῆς προτέρας αὖθις ἐχόμενος ὑπακοῆς, μετὰ παντὸς τοῦ περὶ ταῦτα κόσμου καὶ νόμου τὸν Θεὸν ἀκινδύνως εὑρήσεις, ταῖς πατρικαῖς εὐχαῖς στηριζόμενος, καὶ οὐδὲν ἐμποδὼν ἔσται σοι δήπου τὰ τῆς πατρίδος, πάλαι τούτων ἠμεληκότι καὶ πρὸς Θεὸν καὶ τὸν παιδευτὴν μόνον ὅλῳ θυμῷ βλέποντι". Πατρίδος δ' εἰσηγούμενος περιφρόνησιν ὁ πανοῦργος, ὡς πάλαι δῆθεν γεγενημένην, ἔρωτα πατρίδος αὐτῷ τούτῳ λανθανόντως ὑποσπείρειν ἐμηχανᾶτο καὶ προσέτι φιλτάτων ποθεινὴν ὄψιν καὶ συνήθων ὁμιλίαν ἐπέραστον· οὕτω μέντοι τομῶς καὶ ὡς εἰπεῖν ἐν παρόδῳ παρερρίπτει ταῦτα καὶ συνεκάλυπτε, τοῖς λοιποῖς ἀναμιγνὺς λογισμοῖς, ὡς δοκεῖν τὴν ἐντεῦθεν τοῦ ἐπιθυμητικοῦ κίνησιν οὐ φυσικῆς ἔργον εἶναι σχέσεως, μᾶλλον ἀναζωπυρουμένης τῇ μνήμῃ διὰ τῆς ἐναντίας ὑποβολῆς, ἀλλ' ἔρωτά τινα πνευματικόν, πρὸς τὴν φίλην ὑπακοὴν ὠθοῦντα, καὶ τὴν πρὸς τὸν σεμνὸν Ἀβραὰμ ἐκεῖνον φιλοστοργίαν καὶ τὴν ὀφειλομένην ἐκείνῳ παρ' αὐτοῦ ἐπιμέλειαν πολλοῦ τινος τιμωμένην τῷ ταῦτα τετιμηκότι Θεῷ. Τούτοις ὁ πονηρὸς ἐπίβου-

4 ὑπὲρ τὰ ἐσκαμμένα] Corpus paroem. II, σ. 224.

Digitized by Google

ὁ πλάνος, ὁ μωρός, ὁ τὰς φρένας παράκοπος, ὁ κάκιστος ἡμῖν οἰωνός, ἡ κοινὴ τῆς πόλεως λύμη τυπτέσθω, λιθολευστείσθω, τῶν ὁρίων ἡμῶν ὅτι τάχος ἀπεληλάσθω που, εἰς ὄρη καὶ ἐρημίας καὶ βάραθρα"! Ὁ δὲ σοφὸς ἐν ἅπασι σοφὸς ἦν καὶ τοῦ προσήκοντος οὐδαμοῦ διημάρτανε· τῷ γὰρ κινοῦντι κακῶς οὐ τοῖς ἁπλῶς κινουμένοις ὀργάνοις τὴν τῶν πειρασμῶν καλῶς ἐπιγράφων αἰτίαν κατ' ἐκείνου μὲν καὶ μόνου σφόδρα τὸ τῆς ψυχῆς ἐκίνει θυμούμενον καὶ προσευχῆς βέλεσιν οἱονεί τισι πρηστῆρσι κατὰ κεφαλῆς τὸν δράκοντα τὸν σκολιὸν ἔβαλλε, τοῖς ἀνθρώποις δὲ καὶ λίαν ἐπιεικῶς προσεφέρετο, νικῶν ἀποστολικῶς ἐν τῷ ἀγαθῷ τὸ κακόν, οὐκ αὐτὸς ὑπὸ τοῦ κακοῦ νικώμενος, μᾶλλον μὲν οὖν καὶ πατρικῶς τῆς νηπιότητος καὶ τῆς ἀφελείας αὐτοὺς οἰκτείρων καὶ τὸ ἀοίδιμον ἐκεῖνο χριστομιμήτως πρὸς τὸν Θεὸν ὑποψιθυρίζων ὁ συμπαθέστατος, "Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· οὐ γὰρ οἴδασι τί ποιοῦσι". Τί γὰρ ἂν ὤφθη ποτὲ τῆς μακαρίας ἐκείνης ψυχῆς συμπαθέστερον; τί δὲ μᾶλλον ἴσον ἐκείνης, ὅσα ἐμὲ εἰδέναι τὸν ἐκείνου πεπειραμένον ἐν τούτοις μάλιστα, ὥστε με καὶ τοῦτο θαρρούντως ἂν ἔχειν εἰπεῖν, ὅτι τὴν συμπάθειαν αὐτήν, ἥτις ἐστίν, εἴπερ ἐνδυσαμένην σῶμα καθάπερ τινὰ ψυχήν, ἔπειτ' ἐξῆν ἀνθρώποις ἐμφανισθῆναι καὶ τοῦτο τὸ πεφυκὸς ἐδίδου, μὴ ἂν ὑπὲρ τὸν ἄνδρα τοῦτον φρονῆσαι, μηδὲ σχεῖν ἐξελέγξαι ποτὲ καὶ ὁτιοῦν ὑφεικότα τοῦ καθ' αὑτὴν πράγματος; Τοσοῦτον ἦν σοι τὸ πρὸς πάντας ἐν τοῖς τοιούτοις ἀφεστηκός, ἄνθρωπε τοῦ Θεοῦ, καὶ οὕτω θεῖόν τι χρῆμα καὶ μοναδικὸν ὅσον εἰς καθαρότητα ψυχῆς ἐν μέσοις τοῖς ἀνθρώποις καὶ τούτῳ δὴ τῷ πλημμελοῦντι τῆς ὕλης ἐφάνης!

22. Οὕτω περιφανῶς διὰ τῶν ἀριστερῶν ὁ ἐχθρὸς ἡττηθεὶς αὐτίκα προσβάλλει τοῖς δεξιοῖς, ὥσπερ αὐτῷ νόμος, τὸν καιρὸν ἁρπάσας, ὡς ᾤετο, ἵνα καί τι χρήσιμον δόξειε λέγειν καὶ σύμβουλος ἀγαθὸς νομισθείη, πονηρότατος ὢν ἐπίβουλος. Τῶν ἔξω τοιγαροῦν ἀμελήσας πάντων αὐτὸς ἑαυτῷ τὴν μάχην ἐπιτρέπει διὰ τῶν λογισμῶν, "Ἵνα τί" λέγων "οὕτω σαυτὸν κατακόπτεις ἐπ'

14 Πράξ. ζ', 60. — 15 Λουκᾶ κγ', 34. — 23 ἀφεστικὸς B. — 26 ἐφάνεις B.

Digitized by Google

οὐδενὶ χρησίμῳ καὶ τῇ μὲν συζύγῳ σαρκὶ θάνατον οὕτω βίαιον καθ' ἑκάστην ἐπάγειν φιλονεικεῖς, καὶ ταῦτα μηδ' ἡντινοῦν εἰς τοῦτο δεξάμενος ἐντολήν, συγκατασπᾶν δὲ καὶ τὴν ψυχὴν διὰ τούτων αὐτῶν εἰς τὸν τῆς ὑπεροψίας ἐπιτηδεύεις κρημνόν, ὑπὲρ τὰ ἐσκαμμένα πηδᾶν ἀναγκάζων καὶ τὴν μὲν συνήθη καὶ φίλην ἀποδοκιμάζων τῶν πατέρων ὁδόν, ξένην δέ τινα καὶ ἀτριβῆ τέμνων αὐτὸς ἑαυτῷ, ἣν ἕνα που καὶ δεύτερον μόγις εὑρίσκομεν ὡδευκότας καὶ πρὸς κατάλυμα καταλελυκότας χρηστόν; ἢ τὰς τῶν Δαιμόνων ἀγνοεῖς ἐνέδρας καὶ ὅπως ἐκεῖνοι προφάσει τῆς ἐπὶ τὰ μείζω σπουδῆς πολλλοὺς τῶν μὴ νηφόντων κατέστρεψαν, τῷ βόθρῳ τῆς ὑπερηφανίας ἐναπορρίψαντες; ποικίλος γάρ τίς ἐστιν ὁ τοῦ κοινοῦ καθ' ἡμῶν ἐχθροῦ πόλεμος, καὶ οὓς οὐκ ἴσχυσε πολλοῖς τοῖς μηχανήμασιν ἑλεῖν διὰ τῶν ἀριστερῶν, τούτους αὐτοὺς τοῖς δεξιοῖς δελεάσας ὑφ' ἑαυτὸν μετὰ πολλῆς ἔθετο τῆς ῥᾳστώνης. Εἴ τι γοῦν ἐμοὶ πείθοιο, δεῦρο τῶν ἀνονήτων τουτωνὶ κινδύνων ἀφέμενος, πρὸς τὸν σὸν ὅτι τάχιστα πορεύου καθηγητήν, καὶ τῆς προτέρας αὖθις ἐχόμενος ὑπακοῆς, μετὰ παντὸς τοῦ περὶ ταῦτα κόσμου καὶ νόμου τὸν Θεὸν ἀκινδύνως εὑρήσεις, ταῖς πατρικαῖς εὐχαῖς στηριζόμενος, καὶ οὐδὲν ἐμποδὼν ἔσται σοι δήπου τὰ τῆς πατρίδος, πάλαι τούτων ἠμεληκότι καὶ πρὸς Θεὸν καὶ τὸν παιδευτὴν μόνον ὅλῳ θυμῷ βλέποντι". Πατρίδος δ' εἰσηγούμενος περιφρόνησιν ὁ πανοῦργος, ὡς πάλαι δῆθεν γεγενημένην, ἔρωτα πατρίδος αὐτῷ τούτῳ λανθανόντως ὑποσπείρειν ἐμηχανᾶτο καὶ προσέτι φιλτάτων ποθεινὴν ὄψιν καὶ συνήθων ὁμιλίαν ἐπέραστον· οὕτω μέντοι τομῶς καὶ ὡς εἰπεῖν ἐν παρόδῳ παρερρίπτει ταῦτα καὶ συνεκάλυπτε, τοῖς λοιποῖς ἀναμιγνὺς λογισμοῖς, ὡς δοκεῖν τὴν ἐντεῦθεν τοῦ ἐπιθυμητικοῦ κίνησιν οὐ φυσικῆς ἔργον εἶναι σχέσεως, μᾶλλον ἀναζωπυρουμένης τῇ μνήμῃ διὰ τῆς ἐναντίας ὑποβολῆς, ἀλλ' ἔρωτά τινα πνευματικόν, πρὸς τὴν φίλην ὑπακοὴν ὠθοῦντα, καὶ τὴν πρὸς τὸν σεμνὸν Ἀβραὰμ ἐκεῖνον φιλοστοργίαν καὶ τὴν ὀφειλομένην ἐκείνῳ παρ' αὐτοῦ ἐπιμέλειαν πολλοῦ τινος τιμωμένην τῷ ταῦτα τετιμηκότι Θεῷ. Τούτοις ὁ πονηρὸς ἐπίβου-

4 ὑπὲρ τὰ ἐσκαμμένα] Corpus paroem. II, σ. 224.

Digitized by Google

λος μᾶλλον ἢ σύμβουλος ἄλλον μὲν ἴσως ἄν τινα παρέσυρε τῶν πάντα ῥᾳδίων κἀκεῖνον ἠγνοηκότων, ὁ δὲ τοῦ κεκρυμμένου δηλητηρίου αὐτίκα λαβὼν αἴσθησιν, καὶ εἰ μέλιτι συνεκέκρατο, τὸ τοῦ μεγάλου Δαυὶδ ἐκεῖνο πρὸς τὸν σκολιὸν μετὰ τοῦ προσήκοντος αὐτῷ φρονήματος ἀπεκρίνατο· «Τί", φησίν, "ἐμοὶ καὶ σοί, ῥυπαρὲ κύον; τί μοι τὸν πατέρα καὶ πευδευτὴν οἱονεί τινα Πάτροκλον προβαλλόμενος πρὸς τοὺς οἰκείους καὶ τὴν πατρίδα παλινδρομῆσαι παρασκευάζεις καὶ ψεύσασθαι μὲν τὰς θαυμαστὰς ἐκείνας πρὸς τὸν δεσπότην συνθήκας, παραβάτην δ' ἐμαυτὸν ἀναδεῖξαι τῶν θείων θεσμῶν, ἃ πάλαι καλῶς καὶ μετὰ τοῦ προθύμου παντὸς καταλέλυκα, ταῦτ' οἰκοδομῶν πάλιν ὥσπερ ἐκ μεταμελείας τινός; τί δὲ καὶ τὴν ἐμὴν σωτηρίαν προβαλλόμενος δῆθεν, τὴν ὄντως σωτηρίαν ἀφελέσθαι μου σπεύδεις διὰ τῶν δεξιῶν, ὑπερηφανίαν μοι προφέρων καὶ τὸ καινὸν τῆς πρὸς Θεὸν ὁδοιπορίας καὶ τὴν συνήθη τῶν πατέρων ὁδὸν καὶ ἄττα τοιάδε; τίς ἄνευ πόνων καὶ αὐτῶν τῶν μεγίστων φημὶ κατώρθωσέ τι τῶν ἀγαθῶν; τίς καθεύδων καὶ τρυφῶν ἔστησε τὸ κατὰ σοῦ τρόπαιον, ἢ τίνα τῶν τὴν πρὸς Θεὸν φέρουσαν ὁδευόντων ἀπείραστον ἀφῆκας αὐτός; Ἐμοὶ μέν, ὡς καὶ αὐτὸς μαρτυρεῖς, πάλαι καὶ πατρὶς καὶ οἰκεῖοι καὶ πᾶν εἴ τι τοιοῦτον ἐκ πολλοῦ τοῦ περιόντος καταπεφρόνηται, καὶ λόγος τῶν τοιούτων οὐδείς, ἀποθανεῖν ἐγνωκότι τῷ κόσμῳ καὶ ζῆσαι τὴν ἐν Χριστῷ κεκρυμμένην ζωήν, "δι' ὃν ἐμοὶ κόσμος ἐσταύρωται", κατὰ Παῦλον φάναι τὸν μέγαν, "κἀγὼ τῷ κόσμῳ". Ἵνα δέ τι καὶ σαφέστερον μάθοις, ὥστε μὴ πλανᾶσθαι καὶ πρὸς τὸ μέλλον, μάτην περὶ ἐμοῦ τὰ μὴ ὄντα δοξάζων, πρόσεχε τὸν νοῦν, ἵνα πύθῃ· ὅρκιά μοι καὶ συνθῆκαι πρὸς τὸν Θεόν, εἰ οὕτω χρὴ λέγειν, ὥσπερ ἐξ ἄλλης ἀρχῆς γίνονται σήμερον, τοῦ μή ποτ' ἄν με τὴν ἐπίγειον ἐκείνην ἰδεῖν πατρίδα μέχρι καὶ τοῦ τελευταίου τῆς ἐνταῦθα ζωῆς ὅρου, κἂν αὐτὸς πάντα δονήσῃς, κἂν οὐρανῷ γῆν συνάψῃς, κἂν πᾶσαν μετέλθῃς ἐπίνοιαν διὰ τῶν δεξιῶν καὶ ἀριστερῶν, ὥσπερ σοι νόμος. Περὶ γοῦν τῆς πατρίδος, ὅπερ ἔφην, καὶ τῶν οἰκείων αὐτόθεν κατά-

4/5 Βασιλ. 1, ιζ', 43.—9 ἀποδεῖξαι B. 22 κεκρ. ζωὴν] Κολοσ. γ', 3.—23 Γαλάτ. ς', 14.

βαλε· οὐδὲ γὰρ ἔστι σοι μερίς, οὐδὲ κλῆρος, φησίν, ἐν τούτῳ τῷ λόγῳ· ἐγὼ δὲ τὴν ὁδόν μου δραμοῦμαι, πεποιθὼς ἐπὶ τὸν πάντα φέροντα τῷ ῥήματι τῆς δυνάμεως, ὅτι ᾑρετισάμην αὐτήν. καὶ ὅσα ηὐξάμην, ἀποδώσω προφητικῶς εἰς σωτηρίαν μου τῷ Κυρίῳ, οὐ τὴν ἀρχέτυπον τῶν σοφῶν ἀτιμάζων ὁδόν, ὡς αὐτὸς ἄρα κακῶς ὑπείληφας, ἀλλὰ καὶ παντὶ σθένει ταύτην μεταδιώκων καὶ τῶν ταύτην ἀπλανῶς ὡδευκότων, μὴ πόρρω θέειν εὐχόμενος. Ἀλλ' ἐπεὶ τὸ πολλὰς εἶναι παρὰ τῇ τῶν οὐρανῶν βασιλείᾳ μονὰς καὶ τὴν ὁδὸν τῆς εὐσεβείας εἰς διαφόρους τινάς, τὰς αὐτόθι φερούσας, ἠνάγκασε τέμνεσθαι, τὸν μὲν ταύτην, τὸν δ' ἐκείνην ἀνάγκῃ μετιέναι πάντως, τὸν δὲ τὰς πλείους, τὸν δὲ τὰς πάσας, εἴπερ οἷόν τε, ὅπως ἂν ἔχοι προθυμίας καὶ σπουδῆς ἕκαστος οἶμαι, "διὰ δόξης καὶ ἀτιμίας", κατὰ Παῦλον φάναι τὸν μέγαν, "διὰ δυσφημίας καὶ εὐφημίας, ὡς πλάνοι καὶ ἀληθεῖς, κατὰ σκοπὸν διώκοντες ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως", οὐκ ἀνθρώπους πείθοντες, ἀλλὰ τὸν Θεόν (οἱ μὲν γὰρ εἰς ὄψιν, κατὰ τὸ εἰρημένον, αὐτὸς δὲ εἰς καρδίαν ὁρᾷ), ὅστις ἐλέγξει τὰ κρυπτὰ τοῦ σκότους καὶ ἀποκαλύψει τὰς βουλὰς τῶν καρδιῶν ἐν ἡμέρᾳ ἐπισκοπῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας, ὅτε ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· ὃς κἀνταῦθα συντρίψει σε τάχιον ὑπὸ τοὺς πόδας ἡμῶν καὶ καταβαλεῖ, πᾶν σκῶλον ἐκ μέσου τιθεὶς καὶ κατευθύνων ἡμῖν τὰ πρὸς αὐτὸν διαβήματα ὁ καὶ δοὺς ἡμῖν δηλαδὴ τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν ὑπὸ σὲ πονηρὰν δύναμιν». Ταῦτα πρὸς τὸν κρυπτὸν πολέμιον ὑπειπὼν καὶ οἱονεί τις ἄριστος ἀθλητὴς ἀφ' ὕψους καταβαλὼν τὸν ἀντίπαλον, εἶτα καὶ τὸ τῆς νίκης ὥσπερ ἐπιδεικνύμενος σύμβολον, ἢ καὶ τοῖς ἔργοις τὰ ῥηθέντα πιστού-

1 Πράξ. η', 21. — 3 πάντα - δυνάμεως] Ἑβρ. α', 3 || *ἡρετησάμην* B || ὅτι ᾑρετισάμην αὐτήν] Ψαλμ. ρλα', 14. — 4 προφητικῶς] Ἰωνᾶ β', 10. — 8/9 Ἰωάν. ιδ', 2. – 13/14 Κορινθ. 2. ς', 8.—15 Φιλιπ. γ', 14.—18 τὰ κρυπτὰ - καρδιῶν] Κορ. 1, δ', 5. — 19 ἐν ἡμέρᾳ ἐπισκοπῆς] Πέτρου 1, β', 12 || ἀποκαλύψεως καὶ δικαιοκρισίας κέ] Ῥωμ. β', 5. — 20/21 συντρίψει σε τ. ὑπὸ τοὺς πόδας] Ῥωμ. ις', 20. — 22 κατευθύνων - διαβήματα] Ψαλμ. λς', 23. ριη', 133. Παροιμ. κ', 24. — 23/24 Λουκᾶ ι', 19.— 25 *ἐπειπὼν* B.

Digitized by Google

μενος, "ἡμεῖς μωροὶ διὰ Χριστὸν" ὅλῳ ποδὶ τρέχων ὑπεψιθύριζε, καὶ "τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις καὶ στενοχωρία, ἢ λιμός, ἢ διωγμός, ἢ μάχαιρα"; μᾶλλον μὲν οὖν καὶ "πέπεισμαι", κατὰ τὸν ἀπόστολον, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ μου, ὡς "οὐκ Ἄγγελοι, οὐκ Ἀρχάγγελοι, οὐ θρόνοι, οὐκ ἐξουσίαι, οὐκ ἐνεστῶτα, οὐ μέλλοντα, οὐχ ὕψος, οὐ βάθος, οὔτε τις ἑτέρα κτίσις δυνήσεταί με χωρίσαι τῆς πρὸς Θεὸν ἀγάπης, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ μου". Ταῦτα λέγων καὶ πάσχων ὁ γεννάδας ὅλῳ θυμῷ καὶ ὥσπερ ἐξεστηκότα τινὰ καὶ τῷ πυρὶ τῆς πρὸς Χριστὸν ἀγάπης μετεσκευασμένον ὅλον ἑαυτὸν τοῖς πονηροῖς δεικνὺς Δαίμοσι, φοβερώτερος ἔτι πολλῷ καὶ ἀπρόσιτος αὐτοῖς ἦν· ὅθεν καὶ τὰς διὰ τῶν λογισμῶν ἐνέδρας ἐκεῖνοι καθάπαξ ἀπείπαντο, πρὸς ἄνδρα μάλα τέλειον ἐγνωκότες ἔχειν, παίδων μορμολυκείοις οὐμενουν πεφυκότα σαλεύεσθαι. Ἆρ' οὖν οὕτω τὰ κατὰ τὸν μέγαν ἤδη πολλάκις πείρᾳ μαθόντες καὶ τοῦ πρὸς αὐτὸν πολέμου τὸ παράπαν ἀπέσχοντο; καὶ πῶς ἂν ὅ γε κακὸς ἄλλο τι καὶ οὐκ αὐτὸ τοῦτο μόνον ἂν εἴη κακός; ὅθεν καὶ πρὸς τὰ πρότερα πάλιν ὥσπερ ἔκ τινος μεταμελείας ἐπάνεισι, κύκλον τινὰ τρέχων ἀδιεξίτητον καὶ τοῦ μὲν κακουργεῖν οὐδόλως παυόμενος, τοῦ δὲ γέλωτα ὄφλειν ἀνηνύτοις ἐπιχειρῶν, οὐδένα λόγον ποιούμενος.

23. Τὰ δὲ τοῦ πειρασμοῦ οἷα; Ἀλλόμενος ἀνὰ τὴν νῆσον ὁ μέγας μετὰ τῆς φίλης οὑτωσὶ σιωπῆς καὶ τῆς μετριότητος, συναγωγῇ τινι προσβάλλει τῶν Ἰταλῶν, Ἰταλῶν οὐ τὸ γένος μόνον καὶ τὴν φωνήν, ἀλλὰ καὶ τὴν περὶ Θεοῦ δόξαν αὐτὴν ἄντικρυς φροντιστηρίου σχῆμα προβαλλομένων καὶ μετιόντων δῆθεν τὰ μοναχῶν. Εἴσεισι τοιγαροῦν τὸ τῶν ὑποκριτῶν ἐκεῖνο συνέδριον ὁ τῆς διακρίσεως λύχνος, τίνα τὴν ἀγωγὴν καὶ τὴν ἄσκησιν οἱ προσεδρεύοντες αὐτόθι μετίασιν ἐξ ὀλίγων τινῶν ἰδεῖν ἐφιέμενος, ὡς αὐτὸς ἐκεῖνος ἔλεγεν ὕστερον. Ἐπεὶ γοῦν ἑστιωμένους αὐτοὺς εὕροι — ἦν γὰρ ὁ τοῦ ἀρίστου καιρός —, ὑπεισέρχεται τὸν οἶκον ἠρέμα, τὸν τὴν τράπεζαν ἔχοντα, καὶ κύκλῳ ταύτην περιελθὼν

1 Κορινθ. 1, δ', 10. — 2/3 Ῥωμ. η', 35. — 4/8 Ῥωμ. η', 38, 39. — 5 οὐ θρόνοι, οὐκ ἐξουσίαι] Κολοσ. α', 16. — 21 *ἁλώμενος* B. — 26 *εἴσεισοι* B.

Digitized by Google

μετά γε τῆς αὐτῷ προσηκούσης εὐλαβείας τε καὶ τοῦ σχήματος, πρὸς ὑποστροφὴν αὖθις ἔβλεψεν· ἀλλ' οἱ τὰ μοναχῶν ἐκεῖνοι καθάπερ ἐν σκηνῇ καὶ δράματι παίζοντες, βίᾳ παρ' ἑαυτοῖς κατασχόντες, τραπέζης μὲν καὶ ἀλῶν οὐμενουν οὐδὲ βραχὺ γοῦν τῷ ἐνδεεῖ καὶ ξένῳ κεκοινωνήκασιν, οὐδ' αὐτῷ γοῦν τούτῳ πρὸς φιλανθρωπίαν ὑποκνισθέντες τῷ τραπέζης αὐτοὶ κατ' ἐκείνην ἀπολαύειν τὴν ὥραν· ὃ δὴ καὶ τοὺς ἄγαν ἀπηνεῖς τε καὶ θηριώδεις φυσικῶς πως μεταβάλλειν οἶδε πρὸς ἔλεον, τῆς τὸ θυμικὸν ὑποκινούσης ἀλλοιουμένης δυνάμεως, διὰ τῆς προσγινομένης ἐκ τῆς τροφῆς ἀναπληρώσεως τοῦ ἐνδέοντος, ἀλλ' οὐδὲ σκέπης καὶ ῥακίων τινῶν τῷ διὰ Χριστὸν ἀλήτῃ καὶ γυμνητεύοντι· πρόφασιν δὲ μᾶλλον τὴν ἄκραν ἐκείνου σιωπὴν καὶ τὸ καθάπαξ ἀνομίλητον εὑρηκότες, ὡς ᾤοντο, καὶ κλοπὴν καὶ περιεργίαν οἱ πονηροὶ τοῦ ἁπλουστάτου καταψευσάμενοι, τοσαύταις αὐτὸν κατακόπτουσι ταῖς πληγαῖς καὶ οὕτω καθ' ὑπερβολὴν ἀπανθρώποις, ὡς ὑπερβαλέσθαι μὲν κατ' αὐτὸ τοῦτο τὴν τοῦ προλαβόντος μανίαν ὁμόφρονος αὐτοῖς Ἰταλοῦ, διασπαράξαι δὲ τὰ μέλη καὶ τὰς σάρκας, ἐπ' ἐδάφους κειμένου τοῦ ἀθλητοῦ, καταβάψαι δὲ τοῦτο καὶ ταῖς ἐκεῖθεν προϊούσαις τῶν αἱμάτων ῥοαῖς· οὐ γὰρ ἑνί γέ τινι καὶ δευτέρῳ τὰς κατ' ἐκείνου πληγὰς ἐπιτετραφότες ἔπειτ' ἀπέστησαν, ἀλλ' εἰ μὴ πάντες ἐξ ὑπαλλαγῆς ἐκεῖνον μετέλθοιεν οὐμενουν ὅλως ἀπέστησαν· ἐπεὶ δὲ καὶ πάλαι κατεσκληκὸς καὶ λεπτὰ πνέον ὑπὸ τῆς ἄγαν ἀσιτίας ἤδη καὶ νεκρὸν ἐδόκει τὸ τῆς ἀδαμαντίνης ψυχῆς σῶμα, καθάπερ τι τῶν ἀκαθάρτων θνησιμαίων οἱ ὄντως αἱμοχαρεῖς καὶ ἀκάθαρτοι κύνες ἔξω θυρῶν ἀνηλεῶς κατὰ γῆς ῥίπτουσιν. Ἔκειτο μὲν οὖν οὕτω γυμνὸς ἐπ' ἐδάφους ὁ ἀγωνιστής, πνέων τὰ λοίθια, τὸ μὴ παντάπασιν εἶναι νεκρὸς τῷ καταρρέοντι κρουνῷ τῶν ἐκ τῶν πληγῶν αἱμάτων πιστούμενος· ὁ δὲ τὴν ἐπισκοπὴν αὐτοῦ ποιησόμενος καὶ τὴν μὲν γύμνωσιν σκεπάσων, θεραπεύσων δὲ καὶ τὰς πληγὰς ὁπωσοῦν, ἦν οὐδαμοῦ. Ὢ τῶν καινῶν καὶ παραδόξων πραγμάτων! ὢ τῆς γενναίας καὶ καρτερικωτάτης ἐκείνης ψυχῆς, ἥτις καθ' ἡμέραν ὑπεραθλοῦσα πολυτρόπως τῆς ἀγάπης Χριστοῦ πρὸς τοὺς

22 κατεσκληκὼς B.

παντοδαποὺς τούτους θανάτους ἀνδρειότατα παρετάττετο! Καὶ μηδεὶς ἐριστικῶς πως ἐπιλαμβανέσθω τοῦ λόγου· τί γὰρ λέγων ἐχρῆν πρὸς τοσούτους αὐτομολεῖν κινδύνους, καὶ τοῦ χάριν ἀσπαστὸς ὁ θάνατος ἦν ἐκείνῳ, μηδενὸς ὄντος τοῦ ταῦτ' ἀπαιτοῦντος πρὸς βίαν, ἢ καὶ πρὸς ἄρνησιν συνωθοῦντος τῆς πίστεως; ὑπὲρ γὰρ τούτων, φησίν, ἴσμεν ἀποστόλους τε καὶ μάρτυρας ἄριστα διηγωνισμένους καὶ μέχρις αἵματος ἀνδρικῶς πρὸς τὴν ἁμαρτίαν τὸ θυμούμενον τῆς ψυχῆς ἀντιστήσαντας, κἀντεῦθεν μιμητὰς ἑαυτοὺς καθόσον οἷόν τε τοῦ δεσποτικοῦ σταυροῦ καὶ τοῦ θανάτου καλῶς ἀναδείξαντας. Πρῶτον μὲν γὰρ ἐκεῖνο τοὺς περὶ τούτων ἀμφιβάλλοντας ἄξιον εἰδέναι νομίζω, ὃ καὶ φθάσας ἤδη πολλάκις ὁ λόγος ἔδειξεν, ὡς ἐξεστηκώς τις ἐκεῖνος ὢν ἑαυτοῦ καὶ ὅλος ἠλλοιωμένος τῷ ὑπερφυεῖ πρὸς Χριστὸν ἔρωτι, καὶ ζῆν οὐκέτι νομίζων αὐτὸς ἑαυτῷ, ἀλλὰ τῷ αὐτὸν ἀγαπήσαντι, Παῦλος φησὶν ὁ μέγας, καὶ ἑαυτὸν ὑπὲρ αὐτοῦ παραδόντι· μαρτυρικοῦ τε καὶ ἀποστολικοῦ ζήλου πνέων καὶ μηδὲν τὸ καθάπαξ ἐλλείπων τοῦ περὶ ταῦτα νόμου καὶ τῆς σπουδῆς, ἐδίψα μὲν καὶ τὴν αὐτὸς ἑαυτοῦ δι' αἵματος καὶ μαρτυρίου τῷ δεδωκότι προέσθαι ψυχήν, καθάπερ αὐτὸς ἐκεῖνος ἐν ἀπορρήτοις ἐμοὶ δεδήλωκεν ὕστερον· τὸν γὰρ πρὸς τοὺς μάρτυρας θαυμαστὸν αὐτοῦ πόθον ὑπερφυῶς μοι θαυμάζοντι, τὴν δεξιὰν ἐκεῖνος ὑποκοιλάνας, "Πίστευσόν μοι, βέλτιστε", μετά τινος ἡδονῆς ἔλεγεν ἀπορρήτου, "ὡς, εἰ καὶ τοσοῦτον ἔστι μοι τὸ τὴν ψυχὴν πρὸς τὸ σῶμα συνδέον αἷμα, πόθος μέ τις ἄρρητος ἔχει μαρτυρικῶς ἂν ὑπὲρ τῆς ἀγάπης καὶ τοῦτο τοῦ κοινοῦ δεσπότου κενῶσαι· ὅθεν καὶ πρὸς αὐτὸ τοῦτο μόνον, ἅτε καὶ μόνον ὑπολειφθέν, ἐκ πολλοῦ τὴν ἔφεσιν ἔχων, οὕτω, καθάπερ ὁρᾷς με, μανικόν τινα τρέφω τὸν πρὸς τοὺς αὐτοῦ μάρτυρας ἔρωτα". Οὕτω μὲν οὖν ἐδίψα καὶ πρότερον, ὅπερ ἔφην, ὁ μέγας τοῦ μαρτυρικοῦ τε καὶ δεσποτικοῦ ποτηρίου, καὶ ὅλος πρὸς αὐτὸ βλέπων ἦν, τὸ διὰ Χριστόν φημι πρὸς Χριστὸν ἀναλῦσαι καὶ σὺν αὐτῷ διὰ παντὸς εἶναι· ἐπεὶ δὲ τοῦτο μὴ κατὰ σκοπὸν ὁ καιρὸς ἐδίδου, τοῦ σκοποῦ τέως ἐκεῖνος, ὅσον τὸ κατ' αὐτόν,

12 ἐξεστηκὼς Β. — 13 ζεῖν Β. — 14/15 Γαλάτ. β', 20.

Digitized by Google

οὐκ ἀφίστατο, οὐ τὸ βιαίως ἀποθανεῖν ἀσυλλογίστως, ὡς ἂν εἰκάσαι τις, αἱρούμενος, ἀλλὰ παντὶ τρόπῳ πρὸς τὸν καθημερινὸν ἀγωνιζόμενος τύραννον, πάσαις ἐπινοίαις ἀφανῶς τε καὶ φανερῶς ἐπεμβαίνοντα, "πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις", ἃ δὴ καὶ τὸν κάκιστον ζῆλον καθ' ὑπερβολὴν τοῖς ἀοράτοις ἐχθροῖς τούτοις ἀνῆπτε καὶ πρὸς τὸν ἐκείνου φόνον ὀξύτατα καθ' ἑκάστην ἠρέθιζε καὶ κοινωνὸν αὐτὸν ἐδείκνυ τῶν τοῦ δεσπότου παθῶν ἀκριβέστατον. Κἀκεῖνό γε μὴν τοῖς εἰρημένοις ἀναγκαῖον προσθεῖναι, τοῦ μὴ συμποδίζεσθαί τινας τῷ φαινομένῳ προσέχοντας ἁπλῶς τοῦ ἀνδρὸς καὶ τούτῳ μόνῳ καθάπερ ἀρχετύπῳ τινὶ πολιτείας ἀρίστης χρωμένοις τῆς ἐν βάθει σοφίας ἐκείνου καὶ ἀρετῆς πολλῷ τῷ μέσῳ καθ' ὑπερβολὴν ἀποδεῖν.

24. Εἴρηται μὲν οὖν ἡμῖν κἀν τοῖς φθάσασιν, ὡς οὐχ ἁπλῶς οὐδ' ἀπροπαρασκευάστως οὑτωσὶ τὸ δρᾶμα τουτὶ καὶ τὴν τῆς μωρίας ὑπόκρισιν ὁ μέγας ὑπεισελθεῖν ἔγνω, ἀλλὰ πᾶν μέλος καὶ πᾶσαν αἴσθησιν καλῶς παιδαγωγήσας τὸ πρότερον, ὡς μηδαμῶς ἐπανίστασθαι τὸ χεῖρον τῷ κρείττονι, μετὰ τῆς προσηκούσης ἀσφαλείας οὕτω πρὸς τὸν ἐμπαιγμὸν τουτονὶ τοῦ σοφιστοῦ τῆς κακίας ἐξέδραμε, πρόφασιν μὲν ἔχων τὴν πρώτην τε καὶ μεγίστην, καθάπερ ὁ λόγος ἤδη πολλάκις ἐδήλωσε, τὸ τῆς πρὸς Χριστὸν ἀγάπης καινόν τε καὶ ἄρρητον καὶ τὸ διψᾶν καθ' ὑπερβολὴν τὸν ὑπὲρ αὐτοῦ γλυκὺν θάνατον. Ἐβούλετο μέντοι κἀκεῖνο, καθάπερ αὐτὸς ἐκεῖνος ἡμᾶς ἐδίδασκεν ὕστερον, τὸ διὰ πάσης πολιτειῶν ἂν ἰδέας ἐλθεῖν καὶ μηδέν τι τῶν ὅλων παραλιπεῖν, ὅσον τὸ κατ' αὐτόν, ἀνάσκητόν τε καὶ ἀβασάνιστον· ὃ δὴ καὶ κατὰ σκοπὸν ἐκείνῳ μετὰ παντὸς τοῦ γιγνομένου διήνυσται, ὡς καὶ τὰ ἑξῆς τοῦ λόγου δηλώσει μοι. Τὴν δέ γε σιωπὴν τῶν ἄλλων ἐν τούτοις προυτίθει μάλιστα, μηδέν τι λέγων ὅλως εἶναι τὴν ὑπόκρισιν ταυτηνὶ τῆς μωρίας, κἂν πᾶσάν τις τὴν ἀρετὴν εἰς ἄκρον μετέλθῃ, δίχα τῆς ἐξ αὐτῆς ἀσφαλείας, ἀλλ' αὐτὸ τοῦτο παίγνιον ἂν εἴη καὶ μωρία σαφής, εἰς ἐμπαιγμὸν ἔστιν ὅτε τελευτῶσα τοῦ ταύτῃ χρωμένου, κατὰ

4/5 Ἐφεσ. ς', 12. — 16 *ὑπησελθεῖν* B. — 18 *κρίττωνι* B. — 29 *ταυτινὶ* B.

Digitized by Google

τοὺς καλῶς ταῦτ᾽ εἰπόντας πάλαι πατέρας· "νήψεως γάρ", φασὶν ἐκεῖνοι, "πολλῆς χρεία τοῖς ταύτην ἐσπουδακόσι τὴν ὁδὸν μετιέναι, μήπως ἐμπαίζειν τοῖς ἐχθροῖς ἐπιχειρήσαντες δῆθεν, εἰς ἐμπαιγμὸ νἔπειτα καὶ χλεύην ἑαυτῶν καταλήξωσι"· "νήφειν δ᾽ ἀκριβῶς", ὁ σοφὸς ἔλεγεν αὖθις, "οὐκ ἄν ποτε προσγένοιτο σιωπῆς δίχα τῷ μετιόντι ταυτηνὶ τὴν ὁδόν. Ἐμοὶ γοῦν, εἴ τί που", φησίν, "ἐξεγένετο τῶν καλῶν ἐν ἐκείνῃ τῇ μακρᾷ περιόδῳ κατωρθωκέναι, βραβεύοντος δηλαδὴ τοῦ Θεοῦ, τῆς καλλίστης σιωπῆς ἦν ἔργον· ὅθεν οὐδ᾽ ἀπέστην αὐτῆς τὸ παράπαν εἰκοστὸν οἶμαί που χρόνον καὶ πρός, ἕως οὗ πρὸς τὸν φίλτατον αὖθις ἐπανῆλθον Ἄθω, τὴν πατρίδα τῶν μοναχῶν· οὗτος γὰρ τὸν τῆς γλώττης δεσμὸν ἔλυσε, κατὰ τὰ πρὸς Θεὸν ὑπεσχημένα μοι πάλαι, τῶν μακρῶν περιόδων τε καὶ πόνων ἡμᾶς ἀναπαύσας". Καὶ ταῦτα μὲν ἡ καλὴ πρὸς ἡμᾶς ἔλεγε γλῶττα, τὰ προσκόμματα τῆς πρὸς Θεὸν φερούσης ἐκ μέσου τιθεῖσα καὶ τὴν διὰ πάσης ἀγωγῆς λείαν καὶ βασιλικήν, ὥσπερ ἔθος, ὑποδεικνύουσα· διόπερ καὶ ἡμεῖς ἐπεξελθεῖν ἔγνωμέν πως τῷ μέρει τῷδε τοῦ λόγου, οὐχ ἵνα τῆς τοῦ ἀνδρὸς ὑπεραπολογησώμεθα δόξης—πῶς γὰρ τοῦ δοξασθέντος ὑπερφυῶς ἄνωθεν, ὡς αὐτίκα μάλα φανεῖται, καὶ διὰ τοῦτο τῆς παρὰ τῶν ἀνθρώπων μηδαμῶς δεομένου, κἂν εἰς ταὐτὸ πᾶσα συνέλθῃ;—, ἀλλ᾽ ἵνα μὴ τοῦτ᾽ αὐτὸ νόμον ἡγούμενοί τινες πολιτείας, ὡς ἔφην, ἀρίστης τὸ φαινόμενον τῆς προσποιήτου ταύτης μωρίας περὶ τὰ καίρια συμποδίζοιντο, τὴν κεκρυμμένην τοῦ ἀνδρὸς ἀγνοοῦντες σοφίαν. Ἀλλ᾽ ἐπανιτέον μοι πρὸς τὸν αὐτὸν πάλιν.

25. Ἔκειτο μὲν ὁ τοῦ Θεοῦ ἄνθρωπος τραυματίας, ὅπερ ἔφην, καὶ κατάρρυτος ὅλος τοῖς αἵμασι, παρὰ τοσοῦτον, ὡς εἰπεῖν, ἀνώδυνος, παρ᾽ ὅσον καὶ τὴν αἴσθησιν ἤδη τῆς ὀδύνης ἀφῄρητο· καὶ νεκρὸς ἦν δίχα τοῦ βραχύ τι καὶ ἀσθενέστατον ἀναπνεῖν, τῆς οἱασοῦν ἐπικουρίας καὶ ἐπισκέψεως ἔρημος. Ὁ δὲ Θεὸς ἄνωθεν οὐκ ἠμέλει τοῦ ἀθλητοῦ, ἀλλὰ καὶ σιωπῶντος ἀκούει καὶ "πάρειμι" λέγει πρὸ τοῦ ἐκεῖνον λαλῆσαι, τοσοῦτο μεγαλοπρεπῶς μέντοι καὶ

7 *κατορθωκέναι* B. — 16 *βασιλεικὴν* B. — 30 σιωπῶντος ἀκούει] Μαχ. 4, ί, 18 || πάρειμι] Ἡσαΐου νη΄, 9.

Digitized by Google

θεοπρεπῶς, ὡς μᾶλλον μὲν τῆς ταχυτῆτος τὸ ἐπίδοξον εἶναι θαυμάζειν, μᾶλλον δὲ τοῦ ἐπιδόξου τὴν ταχυτῆτα, ἢ καὶ δι' ἀλλήλων ἀμφότερα. Καὶ ὁ τρόπος οἷος; Φῶς ῥυὲν οὐρανόθεν ἀθρόον— "ὢ τῆς ἀρρήτου καὶ ξένης λαμπρότητός" φησι "καὶ τῆς γλυκύτητος τοῦ φωτὸς ἐκείνου" —πρῶτα μὲν τὸν ἡγεμόνα νοῦν ἀρρήτως καταφωτίζει τε καὶ γλυκαίνει, ἔπειτα καὶ τοῦ σώματος πᾶσαν αἴσθησιν καὶ πᾶν μέλος ὑγιῶσαν καθάπαξ, ὡς μηδὲ πληγῆς ἴχνος ὡς εἰπεῖν ἐναφεῖναι, δύναμίν τε πολλῷ τῆς προτέρας ἰσχυροτέραν καὶ οἷον ἀκμάζουσαν ἐμβαλόν, ὡς ἐκ νεκρῶν ἀνίστησι ζῶντα, τοσοῦτο καινότερόν τε καὶ ἰσχυρότερον, ὅσῳ καὶ τῆς μελλούσης κληρονομίας καὶ χάριτος ἤδη τοὺς ἀρραβῶνας ἤρξατο δέχεσθαι διὰ τῆς ὑπερφυοῦς αἴγλης ἐκείνης. Ὅθεν καὶ λήγει μὲν αὐτῷ τὰ τῶν πειρασμῶν ἤδη, τὰ δὲ τῆς ἀνθρωπίνης ἐκείνης ζάλης, μᾶλλον δὲ τὰ τῆς δαιμονικῆς ἐπηρείας, τῆς ὑποκινούσης ἐκείνην, εἰς γαλήνην ἀκριβῆ μεταβάλλει καὶ πάντα πρὸς τὸ χρηστότερον ἀμείβει Θεὸς "ὁ πάντα ποιῶν καὶ μετασκευάζων" μόνῳ τῷ βούλεσθαι, καθάπερ ἀρχήν τινα τῶν ἐφεξῆς ταύτην προθείς· ἡγεῖσθαι μὲν γὰρ τῶν χαρισμάτων τοὺς πόνους φασὶν οἱ περὶ ταῦτα σοφοί, ἕπεσθαι δὲ καὶ τοῖς πειρασμοῖς τὰς τοῦ πνεύματος παρακλήσεις, ἵνα κατ' ἐκείνους αὐτοὺς εἴποιμεν· ὃ δὴ κἀπὶ τῷδε τῷ ἀθλητῇ κάλλιστα καὶ μετὰ τῆς γιγνομένης ἀκολουθίας συνέβη· ἔξεισι μὲν γὰρ αὐτὸς μετὰ τῆς ἴσης προθυμίας, τοῦ συνήθους δρόμου καὶ αὖθις ἐχόμενος, τὸ δὲ πλῆθος τοῦ πονηροῦ πάντως ὑποχωρήσαντος, μεταβαλόντες ὁμοῦ πάντες ἀθρόως οὐκέτι μὲν ὑβριστικῶς, οὐδ' ἀναισχύντως, καθάπερ τὸ πρότερον, μετὰ τῆς προσηκούσης δὲ μᾶλλον αἰδοῦς καὶ τῆς εὐλαβείας τούτῳ προσῄεσαν, ὥσπερ ἄρτι τότε τῶν ὀφθαλμῶν αὐτοῖς ἐκ τῆς προτέρας ἀνοιγέντων τυφλώσεως. Πρόσεισι τοίνυν αὐτῷ τις τῶν εὐλαβείας καὶ χρηστότητος μεταποιουμένων, ἱκετεύων μεθ' ὅσης ἂν εἴποι τις τῆς περιπαθείας καὶ τῶν δακρύων παύσασθαί τε μικρὸν τῆς μακρᾶς ἐκείνης περιόδου καὶ πλάνης, ἐπιβαλεῖν δὲ καὶ τὴν παρατυχοῦσαν τῷ σαρκίῳ σκέπην

12 *λήγη* B. — 16 'Αμὼς ε', 8. — 21 *ἀκολουθείας* B. — 23 *τῶν πονηρῶν πάντος* B.

Digitized by Google

πρός γε τοὺς ὑπερβάλλοντας πόνους καὶ τὴν χρονίαν κάκωσιν ἤδη τὸ παράπαν ἀπαγορεύσαντι· καὶ ἅμα ταῦτα λέγων ἐπὶ τὸν ἴδιον οἶκον, καθάπερ ἡ Σωμανῖτις πάλαι τὸν Ἐλισσαῖον, ἐκάλει, "Ἔστι μοι" λέγων, "ἄνθρωπε τοῦ Θεοῦ, καὶ παράδεισος εὐθαλής τε καὶ κατάρρυτος ὕδασιν, ἱκανὸς μεταδιδόναι πάσης ἡσυχίας τῷ χρῄζοντι, καὶ καταγωγὴ τοιῷδε κατάλληλος ἀσκητῇ. Μὴ τοίνυν ἀπαξιώσῃς σου τὸν ἱκέτην· μή, πρὸς τῶν ὑπὲρ ἀρετῆς ὑπερφυῶν τουτωνὶ πόνων, πρὸς αὐτῆς τῆς ὑψηλοτάτης ἀγάπης, δι' ἥν, ὡς ὁρῶμεν, ὅλος ἐκστὰς τοῦ κόσμου, μετὰ πολλοῦ τοῦ περιόντος Χριστῷ τῷ ἀγαπήσαντί σε συνέστης". Ταῦτα καὶ τὰ τούτοις παραπλήσια λέγων καὶ τοῖς δάκρυσι προστιθείς, πείθει τὸν μέγαν ταύτην παρ' αὐτοῦ δέξασθαι τὴν ξενίαν, μᾶλλον δὲ ταύτην αὐτῷ καταθέσθαι τὴν χάριν καὶ τὴν τιμὴν ἐκεῖνον, ἧς οὐδὲν τῶν ἐν ἀνθρώποις κερδαλεώτερόν τε καὶ τιμιώτερον τοῖς γε νοῦν ἔχουσιν. Εἴσεισι τοίνυν ὁ μέγας τὴν φιλόξενον ἐκείνην καταγωγήν, περιβαλόμενος ἅμα καὶ ῥάκος τρίχινον, εὐτελές τε καὶ πενιχρότατον, τῆς μὲν ἄλλης ἀγωγῆς τε καὶ περιόδου μικρὸν ὑπαλλάξας καὶ καθυφείς, τῆς δὲ φίλης σιωπῆς οὐδὲν ἧττον καὶ αὖθις ἐχόμενος. Οὐ μὴν οὐδ' ἀπρόιτος τὸ παράπαν ἔκρινεν εἶναι καὶ προσηλωμένος ὡσανεὶ τῇ οἰκίᾳ· ἀλλὰ τὸ μὲν ἐκείνῃ παρεῖχε, τὴν εὐγνώμονα ψυχὴν θεραπεύων καὶ τὸ θερμὸν τῆς πίστεως ἀμειβόμενος, τὸ δέ γε πλέον ἀναχωρήσει καὶ τοῖς ἐρημικωτέροις τῶν τόπων αὖθις ἐδίδου, τά τε μέγιστ' αὐτὸς ἑαυτῷ χαριζόμενος μάλιστ' ἐντεῦθεν τῷ μάλιστα τῶν παιδικῶν ἀπολαύειν καὶ τὸ μὴ συνήθης ἂν τοῖς ἀνθρώποις γενέσθαι περὶ πλείστου ποιούμενος, εἰ καὶ λαθεῖν εἰς τέλος ἀμήχανον ἦν, ὡς αὐτίκα δὴ καὶ ῥηθήσεται.

26. Καταχθέντι γάρ ποτε τῷ μεγάλῳ συνήθως παρ' ἐκείνῃ δηλαδὴ τῇ ξενίᾳ, προσπίπτει τοῖς ὡραίοις ποσὶν ὁ θεοφιλὴς πρόξενος, δάκρυσιν αὐτοὺς καταβρέχων καὶ τὴν αὐτοῦ κλῆσιν ἥτις ποτὲ εἴη παρ' αὐτοῦ τούτου μαθεῖν ἐκζητῶν· ὃ δὲ τὴν ἀρετὴν αἰδεσθεὶς τοῦ ἀνδρὸς μάλιστα καὶ θειοτέρας τινὸς οἰκονομίας

3 Βασιλ. 4, δ', 8 κέ. — 15/16 *περιβαλλόμενος* B. — 22 *ἀναχωρίσει* B.

Digitized by Google

λεληθότως εἰς τοῦτ᾽ αὐτὸ συνωθούσης καὶ ταύτην αὐτῷ προσαπονέμει τὴν χάριν, χάριν, ἧς οὐκ ἄν ποτέ τις παρ᾽ ἐκείνου τυχεῖν ἤλπισε, καὶ τὰ χείλη διάρας "Σάβας ἔστι μοι τοὔνομα", φησίν, "ὦ φίλος", ἠρέμα. Καὶ ὁ μὲν τοῦτ᾽ αὐτὸ μόνον εἰπὼν καὶ τὸν πόθον ἐν βραχεῖ τοῦ ἀνδρὸς ἀφοσιωσάμενος, ἐν τοῖς προτέροις καὶ πάλιν ἦν, σιωπὴν ἀκροτάτην, οἵαν ἐν ἅπασι, τὸ παράπαν ἀσκῶν· ὁ δὲ οὐκ εἶχεν ὅ τι καὶ γένοιτο· θαυμαστῇ τινι κάτοχος ὢν ἡδονῇ ἔχαιρεν· ἐσκίρτα τῆς εὐτυχίας· ἑαυτὸν αὐτός, οὐχ ὅσον ἂν εἴποι τις, ἐμακάριζεν, ὅτι τε λόγον ἀκούσοι τοῦ μεμυκότος ἱεροῦ στόματος ἐκείνου καὶ ὅτι λόγον οὐχ ἁπλῶς, ἀλλὰ τὸν εὐκταιότατόν τε καὶ χαριέστατον καὶ οὗπερ ἀκοῦσαι μετὰ πολλοῦ μὲν ηὔξατό τις ἂν τοῦ προθύμου, ἐπιτυχεῖν γε μὴν καὶ τοῦ κατ᾽ εὐχὴν ῥαδίως οὐκ ἂν ἤλπισεν. Ὅθεν καὶ τὴν ἡδονὴν μηδαμῶς παρ᾽ ἑαυτῷ κατέχειν οἷός τε ὤν, ὅπερ ἐπὶ τῶν μεγάλων εἰώθαμεν πάσχειν πραγμάτων, ἐξ ἀπροσδοκήτου συναντώντων ἡμῖν, κῆρυξ τοῖς ὁμοφύλοις καὶ γείτοσι καὶ πάσῃ τῇ νήσῳ διὰ τούτων αὐτῶν ἐν βραχεῖ τοῦ πράγματος γίνεται· κἀντεῦθεν ὥσπερ ἰσχὺν ἡ φήμη λαβοῦσα—φιλοῦσι γὰρ οἱ περί τι τῶν ὄντων ἐρωτικῶς διακείμενοι—τούτου περιχαρῶς καὶ μόνῃ τῇ κλήσει προστίθεται. Ἐπὶ μέγα δόξης ἦγε καθ᾽ ἑκάστην τὸν μέγαν καὶ Σάβας ἦν παρὰ πᾶσι τὸ νύκτωρ καὶ μεθ᾽ ἡμέραν μεθ᾽ ὅσης τῆς ἡδονῆς λαλούμενόν τε καὶ θαυμαζόμενον, ἐξ ἀντιρρόπου παρασκευῆς ὥσπερ πρὸς τὰς πρότερον κατ᾽ αὐτοῦ δυσφημίας ἵστασθαι σπεύδουσι καὶ καλῷ τὸ κακὸν μαλα καλῶς θεραπεύουσι. Συνέρρεον οὖν ἡλικία πᾶσα καὶ γένος, ὥσπερ ἐπὶ κοινῷ τινι καὶ πανδήμῳ κηρύγματι, μηδενὸς ὄντος τοῦ συνελαύνοντος, οἱ μέν, ἵνα τῆς χειρὸς καὶ τῆς εὐλογίας ἐκείνου, ἢ τῶν ἰχνῶν τυχὸν καὶ τοῦ ῥάκους ἐφάψωνται, οἱ δ᾽ ὅπως καὶ μόνης τῆς ἀπαντῆς καὶ τῆς θέας ἐκ μέρους μετάσχωσιν, ὥς τι καὶ τούτων ἐχόντων ὄφελος. "Ἰδού", λέγοντες πρὸς ἀλλήλους μετὰ πολλῆς τῆς περιχαρείας τε καὶ τοῦ θαύματος, "ὁ μέγας ἐν ἀσκηταῖς Σάβας, ὁ τῶν πάλαι θαυμαζομένων ἁγίων ὁμότροπος, ἡ τῆς ψυχῆς ἄρρητος εὐφροσύνη, τῶν ἀσθενούντων ὁ ταχύτατος

1 *συνοθούσης* B. — 1/2 *προσαπονέμοι* B. — 30 *περιχαρίας* B.

ἰατρός, ἡ ποικίλη τῶν λυπουμένων παράκλησις, τὸ κοινὸν τῆς ἀνθωπείας φύσεως ὄφελος, ὅπερ ἡμῖν ἀπροσδοκήτως ὁ Θεὸς ἐχαρίσατο", ὥσπερ ἄρτι τότε πρῶτον ὁρῶντες, ἢ καὶ ὡς ἐπί τινων ἀπολωλότων εὑρέσει μεγίστων μεγίστην καὶ τὴν ἑορτὴν ἄγοντες. Καὶ μέντοι καὶ τοὺς καρποὺς καταλλήλως ἐτρύγων τῇ πίστει, καὶ τὰ τῆς σπουδῆς οὐκ εἰς κενὸν αὐτοῖς κατεβάλλετο· τὰ δὲ ἦν ἀπαλλαγὴ νοσημάτων καὶ πειρασμῶν παντοδαπῶν λύτρωσις, οὐκ ἐκ τῆς ἀφῆς καὶ τῆς θέας μόνον, ἀλλὰ κἀκ μόνης τῆς ἐπικλήσεως τοῦ ὀνόματος. Οὐδὲ οἱ τοῦ γένους ἐξάρχοντες τοῦδε, ἢ καὶ ἄλλως ἐπὶ πλούτῳ καὶ δόξῃ γνώριμοι, ἢ τοῦ περὶ αὐτὸν θαύματος ἀμαθεῖς ἦσαν, ἢ καὶ γνόντες περὶ ἐλαχίστου τινὸς τὸ κατ' ἐκεῖνον ἐτίθεντο· ἀλλὰ καὶ πρὸς αὐτοὺς ὀξύτατα διαβάσης τῆς φήμης, σπουδῇ πάσῃ παρῆσαν, γόνυ κλίνοντες, ποδῶν ἁπτόμενοι. χεῖρας ἐκείνου καταφιλοῦντες καὶ τὴν ἐκεῖθεν ἐπικουρίαν μετὰ θερμῆς ἐξαιτούμενοι πίστεως· οἳ καὶ χρήματα μετὰ πολλῆς τῆς ἀφθονίας προσάγοντες λαμβάνειν αὐτὸν ἠξίουν καὶ χρῆσθαι πρὸς ὅ τι καὶ βούλοιτο· ὁ δὲ καὶ τὸ προσσχεῖν ὅλως ἀπηξίου τοῖς δώροις, οὐδέν τι πλέον ἐκείνοις διδοὺς τῶν κατὰ γῆς πατουμένων ψηφίδων τε καὶ κόνεως· ὃ καὶ μᾶλλον αὐτοὺς θαυμάζειν ἐποίει τὸν ἄνδρα καὶ τὸ μέγεθος τοῦ φρονήματος καθ' ὑπερβολὴν καταπλήττεσθαι, ὁπόσον εὐγενείᾳ ψυχῆς τῶν ἄλλων ὑπέρκειται κατὰ νοῦν στρέφοντας ὁ τὰ παρ' ἐκείνοις ἔστιν ὅτε καὶ τῆς ψυχῆς αὐτῆς προτιμώμενα τοσοῦτον ἀτιμάζων, ὡς μηδὲ προκειμένοις ἐθέλειν προσέχειν, μηδὲ ψιλῆς τῆς θέας γοῦν ἀξιοῦν.

27. Ἐκ δὴ τούτων καὶ τῶν τοιούτων τοσοῦτον τὸ περὶ αὐτὸν φίλτρον συνέστη τὸ τηνικαῦτα Κυπρίοις, καὶ οὕτως ἐπὶ μέγα προῆλθε λαμπρότητος, ὡς μὴ τὰ προρρηθέντα μόνον μεθ' ὅσης τῆς ἡδονῆς πάσχειν περὶ αὐτόν, ἀλλὰ καὶ σανίσι καὶ πίναξί τισιν ἐγχαράττοντας αὐτοῦ τὴν εἰκόνα λαμπάσι κατ' οἴκους τιμᾶν καὶ μύροις καὶ θυμιάμασι καὶ τοῖς ἄλλοις, οἷς εὐσεβεῖς ψυχαὶ τὸ θεῖον καὶ τοὺς ἐκείνου θεραπευτὰς θεραπεύουσιν· οἳ δὲ καὶ τῶν τραχήλων ἐκείνην ἐγκόλπιον ἐξαρτήσαντες, ὡς τινα θώρακα πο-

5 *μέντι* B. — 13 *πάσῃ* M, *πάσι* B. — 17 *προσχεῖν* B M. — 28 *πίναξίτισιν* B.

Digitized by Google

λεμικὸν καὶ φυλακτήριον ἀσφαλές, πανταχοῦ μετὰ πολλῆς τῆς πίστεως περιέφερον καὶ τοῦ σκοποῦ καὶ τῆς ἐλπίδος οὐμενουν διημάρτανον, μᾶλλον μὲν οὖν καὶ ὑπὲρ τὰς ἐλπίδας ἡ χάρις παντοδαπῶς ἐκεῖθεν αὐτοῖς ἐξεπέμπετο, καθάπερ ἤδη φθάσας ὁ λόγος ἐδήλωσεν. Ἦν δὲ καὶ τὴν ἔντευξιν ἱλαρώτατος καὶ τὴν ὄψιν ἥδιστός τε καὶ χαριέστατος· οὐ γὰρ ὡς βαθεῖαν ἀσκῶν σιωπὴν καὶ νηστείᾳ συζῶν ἀκροτάτῃ, καὶ τὴν ὅλην δίαιταν ἀμείλικτός τις τὸ παράπαν καὶ ἄφιλος ὤν, καὶ τοῖς ἔξω τοιοῦτός τις ὁρᾶσθαι κατηναγκάζετο, ἀλλὰ φυλακὴν τῶν ἔνδον ποιούμενος, οἵαν οὐκ ἄν τίς ποτε τῶν ἄκρως ἐρημικῶν καὶ μεμονωμένων τῷ φαινομένῳ, κοινωνικός τε καὶ εὐπρόσιτος ἦν καὶ ὅλως ἡδονή τις ψυχῆς καὶ θυμηδία τοῦ προσώπου καὶ τῶν ὀφθαλμῶν ἐκείνων ἀπέσταζεν, ὥστε συμβαίνειν κἀντεῦθεν τὸ πρὸς αὐτὸν φίλτρον ἐπιδιδόναι καὶ τοὺς πάντας ἀρρήτοις τισὶν ἱμέροις ἀγάπης θαυμαστῶς αὐτὸν ἔχειν ἀναδυσάμενον. Ταῦτα καὶ Βυζαντίους κατασχόντα τῇ φήμῃ τὸν Ἑλλήσποντον ὀξύτατα διαβαίνει, καὶ τὸ Αἰγαῖον διαβαλόντα μέχρις ἡμῶν ἔρχεται, καὶ πλήρης Θεσσαλονίκη τε καὶ Ἄθως τοῦ κατ' αὐτὸν θαύματος· καὶ ὃν ἀναχώρησις καὶ φυγὴ καὶ πρὸ τούτων τε καὶ σὺν τούτοις ἔρωτες θεῖοι τῶν ὁρίων ἡμῶν ἐκβαλόντες ἀπέκρυψαν, τοῦτον μετ' ἀξιολόγου τινὸς τῆς παρασκευῆς οὐχ ὡς ἄνθρωπον, ἀλλ' ὡς ὑπεράνθρωπόν τι καὶ καινότατον χρῆμα καὶ μακρὰν ὄντα Θεὸς ἀναγορεύει μέσον ἡμῶν ἀθρόον καὶ στεφανίτην λαμπρὸν ἀναδείκνυσι· "τοὺς δοξάζοντας γάρ με", φησί, "δοξάσω καὶ οἱ ἐξουθενοῦντές με ἀτιμασθήσονται". Ἀλλ' ἐκεῖνος, πάλαι τοῖς παροῦσιν ἀπογενόμενος πᾶσι καὶ πρὸς μόνα βλέπων τὰ μέλλοντα, καὶ θεόσδοτον οὖσαν τὴν δόξαν ταύτην πάσαις ἐπινοίαις εὐφυῶς ἀπεστρέφετο, καὶ ὅπως, ὁ λόγος ἤδη δηλοῦν ἕτοιμος.

28. Λάκκον γάρ τινα βορβόρου καὶ δυσωδίας μεστὸν ἐπιτηρήσας αὐτοῦ που, μεθ' ὧν ἐνεδέδυτο ῥακίων, πάντων ὁρώντων, ἑαυτὸν αὖθις ἀθρόον ἐκεῖσε καθίησι, τὸν ἔκφρονα καὶ μωρὸν ἐπίτηδες προσποιούμενος, καὶ οὕτω δι' ὅλης τῆς ἡμέρας καθῆστο, τοῦ πηλοῦ καὶ τῆς δυσώδους ἐκείνης ὑγρότητος καρτερικῶς ἀνε-

11 ὅλος B. — 23/24 Βασιλ. 1, β', 30.

Digitized by Google

χόμενος. Καὶ τὸν μὲν ὀφθαλμὸν αὐτὸς οὐδενὶ τῶν πάντων προσεῖχε, δάκρυσιν ἀστακτὶ τὸ πρόσωπον καταβρέχων καὶ τοῦ λανθάνειν χάριν τῇ περικεφαλαίᾳ συγκαλυπτόμενος· ἐπεὶ δὲ καὶ πρὸς πάντας ἐξηχεῖτο τὸ δρᾶμα, θᾶττον ἢ λόγος ἡ πόλις ἐκείνη πᾶσα κατὰ θέαν ἐκείνου συνέτρεχον, καὶ δάκρυα πάντων ἀπέρρει σχεδὸν καὶ οἰμωγὴ συμμιγής τις ἀνδρῶν ἅμα καὶ γυναικῶν καὶ παίδων ἠκούετο, τῶν μὲν ἐκπληττομένων καὶ "Τί γένοιτο; τί πάθοι"; λεγόντων, "τίς ἡ αἰφνίδιος αὕτη μεταβολὴ τοῦ σοφοῦ, τοῦ τῶν ψυχῶν καὶ σωμάτων ἰατροῦ, τοῦ πάσης ἁγιωσύνης πεπληρωμένου καὶ χάριτος"; τῶν δέ γε σοφωτέρων καί τι βαθύτερον συνορᾶν δυναμένων αὐτόθεν συνιέντων τοῦ μυστηρίου καὶ τὸ τῆς ταπεινοφροσύνης ὑπερβάλλον μεθ' ὅσης τῆς ἡδονῆς ἐπαινούντων καὶ τῆς ἐκπλήξεως. Καὶ οἱ μὲν αὐτόθι πάντες ἦσαν σχεδόν, τὸ τοῦ δράματος τέλος ἰδεῖν ἐκδεχόμενοι· ἐπεὶ δὲ καὶ τῷ μεγάλῳ τὰ τῆς ὑποκρίσεως πάντα κατὰ σκοπὸν εἶχε, καὶ τὰ τῆς ἡμέρας τὸ κατὰ φύσιν τέλος παρεῖχεν, ἔξεισι τοῦ βορβόρου. θαῦμα φρικτὸν καὶ ὑπερφυέστατον τοῖς ὁρῶσιν ἅμα καὶ τοῖς ἀκούουσιν· οὐ γὰρ ὡς ἐκ βορβόρου καὶ σαπρίας δύσοδμόν τινα τὴν ἀποφορὰν εἶχε καὶ ἀποτρόπαιον, ἀλλ' οὐδὲ ὑγρότητός τι μετεῖχε τὸ παράπαν καὶ τέλματος, ἀλλ' ὡσεὶ στρωμνῆς τινος ἢ καθαρᾶς τε καὶ μαλακῆς πόας καὶ παραδείσων ἐξαναστὰς καθαρώτατος ἦν ὅλος καὶ ἄθικτος, οὐδὲ νοτίδος γοῦν τινος — ὢ τοῦ θαύματος —, οὐδὲ τοῦ ῥάκους ἁψαμένης αὐτοῦ, ὥστε γενέσθαι τὴν περὶ τὸ φυγεῖν τὴν ἀνθρωπίνην δόξαν ἐπίνοιαν δόξης αὐτῷ περιουσίαν, πολλαπλασίως τὴν προλαβοῦσαν προέχουσαν· τὸ γὰρ σημεῖον οὐ τοὺς ἰδόντας μόνον, ἀλλὰ καὶ πᾶσαν ἀκοὴν ἁπλῶς καταπλῆξαν, οὐκέτι καθ' ἕνα καὶ σύνδυο, καθάπερ τὸ πρότερον, ἀλλὰ τὸ γένος ὅλον ἐκεῖνο κατὰ πλήθη καὶ τάγματα τῷ μεγάλῳ προσῆγεν· οἱ δὴ καὶ τοῖς ποσὶν ἐκείνου μετὰ φόβου καὶ χαρᾶς ἀρρήτου προσέπιπτον, ἴχνη καταφιλοῦντες, τὴν ὑπ' αὐτοῦ πατουμένην κόνιν ὡς ἱερόν τι χρῆμα τῇ κεφαλῇ καὶ τοῖς προσώποις ἑαυτῶν ἐπιπάττοντες· εἶτα καὶ θερμῶς ἐλιπάρουν δάκρυσι τὴν ἱκετείαν συμ-

10 *σοφοτέρων* B.

Digitized by Google

πλέκοντες, ἐνδοῦναι λοιπὸν τῆς κατ' αὐτὸν ἑαυτοῦ μάχης καὶ τῆς ἐνστάσεως, "ἐπειδὴ καὶ Θεὸς ἄνωθεν", φασίν, "ὡς ἔστιν ὁρᾶν ἐκ τοῦδε τοῦ θαύματος, ἐξαισίως τοῖς ἡμετέροις λόγοις ἐπιψηφίζεται καὶ τῶν μακρῶν ἐκείνων πόνων μικρὸν πρός γε τὸ παρὸν τέως ἀνεῖναί σε βούλεται". Καὶ ταῦτα μὲν ἐκεῖνοι, τῷ δὲ μεγάλῳ τὸ παράπαν οὐκ ἦν ἀνεκτά, οὐδὲ τὰς ἰσοθέους ταύτας ἠγάπα τιμάς· οὐδὲ γὰρ εἶναι πρὸς αὐτοῦ ταῦτα καὶ τῆς χριστομιμήτου πτωχείας ἐκείνου καὶ ταπεινώσεως, ᾗ καὶ ὅλος ἐξ ὅλου προσετετήκει καὶ ὡσανεὶ συμπεφυκώς τις καὶ σύμπνους ἦν καὶ οὐδὲ ζῆν ὅλως ἡγεῖτο, μὴ ταύτῃ συζῶν· μᾶλλον μὲν οὖν καὶ ὑπεραποθανεῖν ἂν ἔσχε τοῦ μετρίου πολλάκις, ὡς ὑπὲρ αὐτῆς γε τῆς τοῦ Χριστοῦ δόξης, εἴ πού τις ἦν ὁ πρὸς βίαν ἐκεῖθεν αὐτὸν ἀποσπῶν. Ὅθεν καὶ δρασμὸν αὐτίκα βουλεύεται, καὶ τοὺς ἐκεῖ πάντας λαθὼν σπουδῇ κλέπτει τὴν ἀναχώρησιν καὶ τῆς πρὸς τὴν θείαν φερούσης Σιὼν ὅλος κατὰ τοὺς πάλαι πρὸς αὐτὸν χρησμοὺς γίνεται.

29. Κυπρίοις μὲν οὖν, ἐπειδὴ τὰ κατὰ τὴν νῆσον ἅπαντα διερευνωμένοις, κρημνούς φημι καὶ ὄρη καὶ ἐρημίας καὶ σπήλαια, ὁ ποθούμενος ἦν οὐδαμοῦ, μέγα τὸ τηνικαῦτα πένθος ἐπῆλθε καὶ βαρέως τὴν συμφορὰν ἔφερον (συμφορὰν γὰρ οὐ φορητὴν τὴν ἐκείνου ζημίαν ἐνόμιζεν ἕκαστος), καὶ θεομηνίας τινὸς ὑπώπτευον ἀρχὴν εἶναι τὸ πρᾶγμα, καὶ προφῆται κακῶν καινοτέρων σφίσιν αὐτοῖς ἐγίνοντο, τοιούτου προβόλου περιαιρεθέντος αὐτῶν καὶ ψυχῶν καὶ σωμάτων ἀγρύπνου φύλακος· ὁ δὲ τῆς πάλαι ποθουμένης ἀψάμενος οὐκ ἀμογητὶ μὲν οὐδ' ἄνευ τῶν κατὰ θάλατταν πειρασμῶν καὶ κινδύνων, πλὴν ἐπιβαίνει τῆς πάλαι καὶ νῦν θαυμαστῆς Ἱερουσαλήμ, τοῦ πόθου τὸ σκληρὸν τῶν πόνων ἐξευμαρίζοντος. Καὶ πρῶτα μὲν τῷ τῆς Ζωῆς πρόσεισι Τάφῳ, τὰ πρεσβεῖα κατὰ λόγον διδοὺς τοῖς τῇ δόξῃ τῶν ἄλλων προέχουσι, καὶ γόνυ κλίνας καὶ τῇ γῇ προσερείσας τὸ μέτωπον, ὥσπερ ἄρτι νεκρωθέντι καὶ πρὸ τῶν ὀφθαλμῶν τῷ τῆς ζωῆς δεσπότῃ κειμένῳ τοιαῦτα μετὰ θερμῶν τῶν δακρύων ἐφθέγγετο· "Τοῦτό σοι, δέ-

7 *χρηστομιμήτου* M. — 9 *συμπεφυκός* B. — 17 *διερευνομένοις* B. — 20 *ὑπόπτευον* B.

*

σποτα, τῆς περὶ τοὺς ἀχαρίστους ἡμᾶς οἰκονομίας τὸ ὑπὲρ φύσιν καὶ πάντα λόγον μυστήριον· οὗτος ὁ καινὸς καὶ ἀνεξιχνίαστος πλοῦτος τῆς ἀγαθότητος· τούτοις ἀμείβῃ τὴν κακῶς ἀποστᾶσάν σου τῶν ἀνθρώπων φύσιν· λόγχη καὶ σταυρὸς καὶ τάφος καὶ θάνατος τοῦ τῆς ζωῆς καὶ θανάτου δεσπότου λύτρα τῷ δραπέτῃ δούλῳ καὶ μυρίων ὑπευθύνῳ διὰ ταῦτα θανάτων τε καὶ κολάσεων. Ἀλλὰ τίς ὁ λόγος, τί τὸ ξένον, τί τὸ καινὸν καὶ ἄρρητον τοῦτο μυστήριον, δέσποτα; τί τὸ φίλτρον, τίς ὁ ἀκάθεκτος περὶ τοὺς ἀχαρίστους ἡμᾶς ἔρως καὶ μανικώτατος; ποία γλῶσσα λαλήσει, ποῖος δὲ νοῦς προσβαλεῖ καὶ ὁπωσοῦν τοῖς ὑπερφυέσι τούτοις σου θαύμασιν; ἐξέστη οὐρανὸς ἐπὶ τούτῳ καὶ γῆ καὶ τὰ ὑπὸ γῆν ἐσαλεύθη πάντα, τὸ παράδοξον ἐννοοῦντα τοῦ θαύματος· οὐ δύναμαι κατέχειν τὴν ἄρρητον φλόγα τοῦ πόθου μου· ἔνθους ὑπὸ τῆς ἡδονῆς καὶ αὐτὸς ὅλος γίνομαι, μικροῦ καὶ ὡς αἱ περὶ Μαρίαν σὲ τὸν ἀναστάντα τοῖς μαθηταῖς τε καὶ φίλοις εὐαγγελίζομαι". Τούτοις καὶ τοῖς τοιούτοις ἐκθειάσας ὁ μέγας, καὶ προσευχαριστήσας ὑπὲρ οὗ τῶν ἐκ μακροῦ ποθουμένων τούτων ἠξίωτο, κρουνοῖς ἀφθονωτάτοις δακρύων τὸ ὑποκείμενον ἅπαν ἀνενδότως κατέβρεχε, πυκνῶς τῇ κεφαλῇ κόπτων τὸ ἔδαφος, τὴν γῆν ἐκείνην καταφιλῶν, τοὺς παρακειμένους τε λίθους καὶ ὅλον τὸ περὶ τὸν Δεσποτικὸν Τάφον σεπτὸν οἰκοδόμημα· εἶτα καὶ τοὺς λοιποὺς τῶν σεπτῶν ἐκείνων τόπων, τοὺς τὰ δεσποτικὰ δεξαμένους ἴχνη σὺν τῇ πανάγνῳ μητρὶ καὶ τοῖς μαθηταῖς, τοὺς καὶ τῶν ἄλλων μυστηρίων τε καὶ θαυμάτων ἀξιωθέντας ὑποδέξασθαι τὴν ἐνέργειαν, μετὰ τοῦ ἴσου ζήλου καὶ τῆς ἀπορρήτου χαρᾶς ἐκείνης διέρχεται, τὴν κόνιν πανταχοῦ καὶ τοὺς λίθους ὡσανεὶ τοὺς τοῦ δεσπότου πόδας αὐτοὺς ἔρωτι ψυχῆς ἀκατασχέτῳ περιπτυσσόμενος· ἐμπύρευμα γὰρ τῆς πρὸς ἐκεῖνον ἀγάπης ἅπαν τὸ προστυχὸν ἐποιεῖτο, κατὰ τοὺς μανικωτάτους τῶν ἐραστῶν, οἳ τῇ τῶν φιλτάτων ἀποτυχίᾳ τοῖς ἐκείνων περιβλήμασιν, ἢ καὶ οἱστισινοῦν ἔργοις, μετὰ τῆς ἴσης σπουδῆς ἐνασχολεῖσθαι πεφύκασι, τὸ σχετικὸν πεφυκὸς ἐκ τούτου μᾶλλον ἀνάπτοντες.

31 πεφυκῶς B.

Digitized by Google

30. Τούτῳ τῷ μακαρίῳ πάθει τηνικαῦτα οὗτος κατασχεθείς, ὁ μηδὲν ἧττον ἐξ ἱκανοῦ τούτῳ κάτοχος, πρὸς τὸν ἐπίσημον ἔξεισιν Ἰορδάνην, δι' οὗ τῶν ὑδάτων ἡ φύσις ἁγιασθεῖσα πάλαι τὴν ἐμὴν παλιγγενεσίαν τῷ δεσποτικῷ λουτρῷ καινῶς καὶ ὑπὲρ φύσιν ἐνήργησε· καὶ τὸν τόπον ἀνερευνήσας αὐτὸν ἐκεῖνον, ἵνα δὴ καὶ τὸν δεσπότην καταδεδυκότα φασὶ τὸ βάπτισμα δέξασθαι, λοῦται καὶ οὗτος αὐτόθι τὸ σῶμα μεθ' ὅσης τῆς ἡδονῆς καὶ τῆς πίστεως· εἶτα καὶ τὴν ἀνὰ τὸν Ἰορδάνην ἅπασαν διελθὼν ἔρημον, καθ' ἱστορίαν τῶν πάλαι ποθουμένων (φροντιστήρια δὲ ταῦτ' ἦν ἱερὰ καὶ ἀσκητῶν καταγωγαὶ καὶ ἄντρα καὶ σπήλαια, τὰ τοὺς ἐν ἀσκήσει λάμψαντας θαυμαστοὺς πάλαι πατέρας εἰς παροικίαν δεξάμενα), καὶ τὴν ψυχὴν κἀντεῦθεν οὐκ ὀλίγον ἡσθείς (τῷ γὰρ ὁμοίῳ, φασί, φίλον τὸ ὅμοιον), εἰς τὴν φίλην ὑποστρέφει πάλιν Σιών, καὶ τὰ κατὰ τὸ Σίναιον ὡσαύτως ἱστορῆσαι βουλόμενος. Ἔνθα δὴ καὶ γενόμενος νεύει τινὶ τῶν εὐλαβῶν τε καὶ φιλοθέων (οὐ γὰρ εἶχε χρῆσθαι τῇ γλώττῃ) ταυτηνὶ τὴν χάριν αὐτῷ καὶ δι' αὐτοῦ Θεῷ καταθέσθαι, μισθώσασθαι δηλαδὴ τῶν ὑποζυγίων ἕν, δι' οὗ καὶ αὐτῷ τὴν μέχρι Σιναίου διελθεῖν ἂν ἐξέσται σύν γε τοῖς ἄλλοις καὶ μὴ τοῦ ποθουμένου διαμαρτεῖν· ὁ δὲ γνώμης ἐλευθερίᾳ χρώμενος καὶ τὴν ἀρετὴν τοῦ ἀνδρός, ᾗ προσῆκε, τιμῶν, τήν τε κάμηλον εὐθὺς ἐκμισθοῦται καὶ προσέτι τῶν ἐφοδίων πλείστων τε καὶ παντοδαπῶν ἐπιδαψιλεύεται. Εἶτα καὶ τὸν μέγαν ἐπικαθεσθῆναι παρασκευάσας, χαίροντα χαίρων ἐκπέμπει τὸν τῆς καμήλου δεσπότην (Ἰσμαηλίτης δ' ἐκεῖνος ἦν) ὀπαδὸν ἐγχειρίσας αὐτῷ καὶ θεραπευτήν· ἀλλ' ὁ Σάβας εὐθὺς ἀποβαίνει τοῦ κτήνους, μικρὸν δηλαδὴ τῆς Ἱερουσαλὴμ προελθών, καὶ οὕτω πεζοπορῶν ὅλην τὴν ὁδὸν ἐξανύει δι' ὅλων ἡμερῶν εἴκοσι, τὸν εἰς ὑπηρεσίαν ἑαυτοῦ ἀποδόμενον Ἰσμαηλίτην ἐκεῖνον—ὢ ψυχῆς φιλανθρώπου!—πείσας αὐτὸς μᾶλλον διὰ πάσης ἐκείνης τῆς μακρᾶς ὁδοιπορίας τῇ καμήλῳ ἐπικαθέζεσθαι· "οὐδὲ γὰρ ἔφερόν" φησιν "ὅλως ἐμαυτὸν μὲν ἐπαναπαύεσθαι τῇ τοῦ κτήνους ὑπηρεσίᾳ, τὴν δὲ ψυχὴν ἐκεί-

3 *φήσις* B. — 12/13 Corpus paroem. II, σ. 559 «ὅμοιος ὁμοίῳ». 561 «ὅμοιον ὁμοίῳ δεῖ πλησιάζειν». — 28 *ὢ* M, *ἐκ* B.

Digitized by Google

νην οὕτω κακοπαθοῦσαν ὁρᾶν τῇ μακροτάτῃ πεζοπορίᾳ· ἐδόκει μοι καὶ γὰρ ἄντικρυς τοῦτο τῶν πλεονεξιῶν ἡ μεγίστη". Οὐ μὴν ἀλλὰ καὶ τῶν ἐφοδίων ὡσαύτως ἐκείνῳ παραχωρήσας, ταῖς παρευρισκομέναις καθ' ὁδὸν αὐτὸς ἐχρῆτο βοτάναις μετ' ὀλίγου τινὸς ὕδατος· ταύτῃ γὰρ αὐτὸς τῇ τραπέζῃ καὶ μόνῃ δεῖν ἔγνω κατὰ τὴν ὁδὸν πᾶσαν μέχρι δὴ καὶ αὐτοῦ φημι τοῦ Σιναίου θαυμαστῶς χρήσασθαι. Ὃ δὴ καὶ κατὰ σκοπὸν ἐκείνῳ θαυμαστῶς ἀπέβαινε· τί γὰρ τῶν μεγίστων τε καὶ ὑπερφυῶν οὐ πεφυκός, ὅπερ ἦν ἐκείνῳ καὶ κατὰ γνώμην; τί δὲ τῶν πρὸς βουλῆς τε καὶ γνώμης οὐκ εὐθὺς ἔργον ἦν μετὰ πολλοῦ γε τοῦ περιόντος, ὡς καὶ ἄπορον ἐντεῦθεν τοῖς ἀκούουσιν εἶναι, πότερον μᾶλλον τουτωνὶ πρότερον δεῖ θαυμάζειν, τὸ βουλόμενον τῆς ψυχῆς καὶ ὡσανεὶ πεφυκὸς ἐπὶ τούτοις, ἢ τὴν ἐν τοῖς ἔργοις ὀξύτητα καὶ ἀνδρείαν, μηδὲν τὸ παράπαν τοῦ τῆς γνώμης ὡρμηκότος καθυστεροῦσαν, ὡς ἅμ' ἔπος ἅμ' ἔργον εἶναι κατὰ τὸν λόγον, προσεῖναί γε μὴν αὐτοῖς τούτοις καὶ τρίτον, τὸ τῶν πραγμάτων ὑπερφυὲς καὶ παντὸς ἐπέκεινα λόγου; Ὃ μὲν οὖν οὕτως ἀθλητικῶς καὶ τουτονὶ τὸν ἀγῶνα διῄει, κατ' οὐδὲν ἀπᾴδοντα τῶν παρῳχηκότων· ὁ δὲ βάρβαρος ἐκεῖνος πολὺς ἦν τοῦ μεγάλου δεόμενος τοῦ τε κτήνους ἐπιβαίνειν, εἰς τοῦτ' αὐτὸ δεδομένου, καὶ αὐτῷ δὲ τούτῳ σύν γε τῷ κτήνει καὶ πᾶσι τοῖς πρὸς χρείαν κατ' ἐξουσίαν οἷα δὴ καὶ δεσπότης τούτων κεχρῆσθαι· ἀλλ' ἐπεὶ πολλὰ λέγων ἐπὶ πολλαῖς ταῖς ἡμέραις οὐδ' ἐπὶ βραχὺ πείθειν εἶχε, θεὸν αὐτὸν ἐκ πολλοῦ τοῦ περιόντος ἐκπληττόμενος ἔλεγε καὶ οὐκ ἄνθρωπον, μᾶλλον δ' οὐκ ἔλεγε μόνον, ἀλλὰ καὶ τοῖς ἔργοις πολλῷ μᾶλλον ἐδείκνυ, πρὸς τοῖς ποσὶ κυλιόμενος καὶ τὰ ἴχνη τούτου καταφιλῶν μετὰ πολλῆς τῆς ἡδονῆς καὶ τοῦ θαύματος· ἦν γὰρ εἰ καὶ τὸ γένος, ὡς ἔοικε, Βάρβαρος, ἀλλ' οὐκ ἀκριβῶς βάρβαρος, ἀλλὰ καὶ γνώμης εὖ ἔχων καὶ συνέσεως οὐ πάμπαν ἀμέτοχος, ψυχῆς τε δυναμένης καλοῦ σπέρματος δέξασθαι. Διὰ τοῦτο καὶ πλείστην ὡς ἐν βραχεῖ τὴν ἡδονὴν ἐκεῖθεν ἐκαρποῦτο καὶ τὴν ὠφέλειαν, τό τε πρὸς τοὺς πνευματικοὺς πόνους καρτερικὸν ἐκείνου καταπληττόμενος καὶ τὸ

3 *παραχωρίσας* B.—8 *πεφυκῶς ὥσπερ* B.—15 Corpus paroem. II, 6.—21 *κτήνι* B.

Digitized by Google

καινὸν τῆς ταπεινοφροσύνης καὶ ἡμερότητος· ὅπερ κἀκ μόνης τῆς θέας εὐθὺς ἐχειροῦτο τὸν ἐντυχάνοντα, κἂν αὐτόλιθός τις ἦν καὶ τὴν γνώμην θηριώδης τε καὶ ἀνήμερος, ὡς μηδὲ τῶν Σειρήνων εἶναί τι πρὸς τοῦτο, εἴ γε καὶ μῦθος οὐκ ἦν τὸ περὶ ἐκείνων ᾀδόμενον. Ἐπεὶ δὲ καὶ τὴν ὁδὸν ἀνύσαντες ἦσαν ἤδη καὶ τοῦ κατὰ σκοπὸν οὐκ ἐξέπιπτον, ὁ μὲν Ἰσμαηλίτης ὑπέστρεφεν αὖθις ἡδονῇ τε καὶ λύπῃ σύμμικτος, τὸ μὲν ὅτι τοιούτων αὐτόπτης γενέσθαι παρ' ἐλπίδα πᾶσαν ἠξίωτο, μεῖζον εὑρηκὼς κατὰ πολὺ τοῦ ἔργου τὸ πάρεργον· λύπῃ γε μὴν οὔτοι μετρίᾳ κάτοχος ἦν καὶ δριμείαις ταῖς τοῦ χωρισμοῦ τοῦ πατρὸς ὀδύναις ἐβάλλετο, καὶ πᾶσι δῆλος ἦν οὐκ ἀνεκτῶς τὴν ἐκείνου φέρων διάστασιν.

31. Ὁ δὲ μέγας, ἐπειδὴ τὸ πάλαι θρυλλούμενον κατέλαβε Σίναιον—ὢ τῆς ἐνούσης εὐλαβείας ἐκείνῳ καὶ μετριότητος—μετὰ πόνους τοσούτους καὶ κατορθώματα τὴν τῶν εἰσαγομένων αὖθις αἱρεῖται τάξιν καὶ τὸν μαθητιῶντα καὶ στοιχειούμενον ὑποκρίνεται ὁ τὰ τῆς μεγάλης ἤδη σοφίας φιλοσοφήσας ἐξαίρετα. Τοῖς γοῦν αὐτόθι πατράσιν ἑαυτὸν εἰς ὑποταγὴν δοὺς ἐπὶ δυσὶν ὅλοις ἔτεσι, καταπλήττει μὲν αὐτούς τε καὶ πάντας τῷ τῆς ἀρετῆς ἐν ἅπασιν ἄκρῳ καὶ πολλοὺς εἰς ἀνδρείαν ἀλείφει τῷ καθ' ἑαυτὸν ὑποδείγματι, ἐκλεξάμενος δὲ φιλοπόνως καὶ αὐτός, καθάπερ τις φιλεργὸς μέλισσα, τῶν ἐνταῦθα πᾶν εἴ τι κάλλιστόν τε καὶ χρησιμώτατον εἰς Ἱερουσαλὴμ ὑποστρέφει πάλιν, τὴν τῶν Χριστοῦ μυστηρίων μητέρα· καὶ τὴν μὲν προσκύνησιν ἐκείνοις ἀποδοὺς μετὰ πόθου, ὡς ἐφόδιον δέ τι καὶ σύνθημα τὸν ἐντεῦθεν ἁγιασμὸν καὶ τὴν εὐφροσύνην αὐτὸς ἀντιλαβὼν αὖθις εἰς τὸ τῆς ἀγγελικῆς ἡσυχίας καὶ παντελοῦς ἀναχωρήσεως ἔξεισι στάδιον· τὰ γὰρ περὶ τὸν Ἰορδάνην αὖθις περιελθὼν ἀσκητήρια, σπηλαίῳ τινὶ τῶν αὐτόθι περιγράφει τὸ σῶμα καὶ ἦν ἐξ ἐκείνου τὸ παράπαν ἀπρόϊτος, Θεῷ μόνῳ διὰ προσευχῆς ἀδιαλείπτου καὶ θεωρίας προσκείμενος καὶ ταῖς ἀΰλοις καὶ θειοτέραις ἀναβάσεσι τοῦ νοῦ πρὸς τὸ συγγενὲς θεῖον καθ' ἑκάστην ἀνατεινόμενος καὶ πρὸς τὴν ὑπὲρ νοῦν ἐπει-

2 *αὐτολίθος* MB. — 8 *εὑρικὼς* B. — 9 *οὔτι* B. — 16 *φιλοσοφίσας* B. — 27/28 *περιγράφῃ* B. — 31 *ἐπιγόμενος* B.

Digitized by Google

γόμενος ἕνωσιν ἤδη, κατὰ τοὺς θεοφόρους, ἣν δὴ καὶ θεωρίαν ἄμεσον καὶ ἄγνωστον γνῶσιν οἱ αὐτοί φασιν, ὡς ὑπὲρ πᾶσαν φύσιν καὶ κίνησιν νοερὰν οὖσαν καὶ πάσης θεωρίας ἀνάπαυσιν, ἀγνώστως τε καὶ ἀρρήτως τῷ τῶν ἐφετῶν ἀκροτάτῳ συνάπτουσαν. Ἀλλ' ἵνα μικρὸν ἀνωτέρω τὸν λόγον ἀγάγωμεν, τὸν τοῦ Θεοῦ φόβον, γέννημα πεφυκότα τῆς ἀσφαλοῦς πίστεως, ἀρχήν τινα καὶ θεμέλιόν φασιν εἶναι πάσης τῆς σωματικῆς τε καὶ ψυχικῆς ἀρετῆς· πίστεως γὰρ ἀσφαλοῦς ἡγησαμένης, τῆς ὅτι καὶ Θεός ἐστι τοῦ παντὸς καὶ τῶν πρὸς ἀξίαν ἑκάστῳ μισθαποδότης τε καὶ διαιτητής, ὁ τοῦ Θεοῦ φόβος ἐξ ἀνάγκης ἀκολουθεῖ, ἡ πάσης ἀρετῆς ἀρχή, κατὰ τὴν θείαν Γραφήν, τὸ προοίμιον τῆς ἐργασίας τῶν τοῦ Θεοῦ ἐντολῶν—"ἀρχὴ γάρ" φησι "σοφίας φόβος Κυρίου"—καὶ οὗ φόβος ἐντολῶν τήρησις· οὗτος δὲ παιδαγωγὸς ὥσπερ ἄριστος μετὰ χεῖρας λαβὼν ὡσανεὶ τὴν ψυχήν, πρῶτα μὲν τὴν τῆς ἁμαρτίας κατὰ πρᾶξιν ἐνέργειαν ἵστησιν· ἔπειτα, τρόπους ἐπιζητούσῃ μάλα προθύμως, δι' ὧν αὐτῇ τόν τε προκατασχόντα τῶν ἁμαρτημάτων ἀποθέσθαι ῥᾷστα φόρτον ἐξέσται καὶ Θεῷ πρός γε τὸ μέλλον ἂν εὐδρομῆσαι, τὴν τῶν θείων ἐντολῶν ἐργασίαν ὁ τοῦ Θεοῦ φόβος εὐκαίρως εὐθὺς ἐπεισάγει· ἧς δὴ μετὰ τοῦ περὶ ταῦτα νόμου σπουδῇ καὶ νήψει κατορθωθείσης, ὥστ' ἂν ἀπολεπτυνθῆναι μὲν τὸ τῆς σαρκὸς παχύτερον καὶ γεῶδες, τὸ δὲ τῆς ψυχῆς παθητικόν τε καὶ ἄλογον κάλλιστα καὶ σὺν λόγῳ παντὶ καθυποκύψαι τῷ λόγῳ, τῆς καρδίας ἡ καθαρότης εὐχερῶς περιγίνεσθαι πέφυκεν· ἣν δὴ καὶ λογισμῶν εἰρήνην καὶ μακαρίαν ἁπλότητα, ἀπάθειάν τε καὶ τελειότητα καὶ τέλος ἀγάπης οἱ ταῦτα παθόντες τε καὶ φιλοσοφήσαντες θεοφόροι φασί· τοῖς δ' οὕτω μὲν ἠσκηκόσι πᾶσαν εὐσεβείας ὁδόν, τὸ δὲ κατ' εἰκόνα τετηρηκόσιν, ᾗ προσῆκεν, ἀλώβητον, κἀντεῦθεν εἰς τὸ καθ' ὁμοίωσιν ὡς δυνατὸν ἀνιοῦσι διὰ τῆς καθαρότητος, ὡς οἰκείοις ὁ Θεός φησιν ἤδη προσομιλεῖ, Θεός, εἰ μὴ τολμηρὸν εἰπεῖν, θεοῖς ἑνούμενός τε καὶ γνωριζόμενος· "μακάριοι γάρ", φησὶν ὁ αὐτὸς ἐκεῖνος, "οἱ καθα-

12 Παροιμ. α', 7. — 17 *ἁμαρτιμάτων* B. — 26 *φιλοσοφίσαντες* B. — 31 Ματθ. ε', 8.

Digitized by Google

ροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται" οὐκ ἐν τῷ μέλλοντι μόνον, ὡς ἂν οἰηθείη τις, ἀλλὰ κἀν τῷ παρόντι, κατὰ τοὺς ταῦτα παθόντας τε καὶ διδάξαντας θεολόγους, ὧν ἱεραὶ βίβλοι πλήρεις καὶ διηγήματα.

32. Τούτων εἷς ὢν καὶ ὁ νῦν εἰς ὑπόθεσιν τῷ λόγῳ προκείμενος, ὡς ὁ λόγος αὐτίκα δηλώσει σαφέστερον, ἐπεὶ τῶν ἀνθρώπων ἀπερρωγὼς ἤδη καθάπαξ ὁ μηδὲν ἧττον καὶ πρότερον αὐτῶν ἀποστάς, τοῦ τελειοτάτου τυγχάνειν ἔμελλε καὶ τοῦτο δηλαδὴ τῷ κοινῷ τοῦ γένους ἡμῶν ἐχθρῷ πολλαχόθεν δῆλον ἐγίνετο, ἐξ ὧν τε φθάσας ἤδη κατώρθωσε καὶ ὧν ἐφαίνετο τό γε νῦν ἔχον κατορθῶν ὁ γεννάδας ὑπερφυέστατα, ὀξύτατον ὡς μάλιστα καὶ σφοδρὸν ἐγείρει τὸν ἐκείνου καθ' ἑαυτοῦ πόλεμον· ὁ δὲ πόλεμος οἷος; Δράκοντά τινα μεγέθει μέγιστον καὶ ἰδεῖν φοβερώτατον ὁ νοητὸς ὑπεισέρχεται δράκων, καὶ τούτῳ καθάπερ ὀργάνῳ τινὶ καὶ κατὰ τοῦ μεγάλου μάχης χρησάμενος, τὸ σπήλαιον ἀωρί τε νυκτὸς εἴσεισι καὶ τῆς πάλης εὐθὺς ἅπτεται, οὐ προσποιήσει τινὶ κρύπτων τὸν δόλον καὶ φεναχισμῷ καὶ χλεύῃ τοῦτον ὑποποιούμενος, καθά φημι καὶ τὴν γυναῖκα τὸ πρότερον· τίνα γὰρ καὶ ἀπατᾶν ὁ σκολιὸς ἔμελλεν; ἢ πῶς ἂν καὶ προσβαλεῖν ὅλως εἶχεν ἐκείνῳ τῷ νῷ καὶ τοῖς λογισμοῖς, πάλαι τούτων ἀπεληλαμένος, ὥσπερ ἀπὸ χαμίνου πυρὸς ἐμπίδες τινὲς καὶ μυῖαι καὶ ὅσα τῶν ζωϋφίων ἐποχούμενα καθορᾶται τούτῳ δὴ τῷ περὶ ἡμᾶς ἀέρι διὰ λεπτότητα; Ἀλλ' ἐπεὶ πρὸς ἄνδρα τέλειον ἔχων ἐγνώκει, μάλα καλῶς ἐφθακότα τὸ "μέτρον τῆς ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ" καὶ τὴν μὲν πανοπλίαν ἀποστολικῶς ἐνδεδυμένον τοῦ πνεύματος, ὥστ' ἂν ἀσφαλῶς δύνασθαι στῆναι πρὸς τὰς μεθοδείας τοῦ Διαβόλου καὶ πρός γε ἔτι ταῖς ὑπ' ἐκεῖνον ἀρχαῖς καὶ ταῖς ἐξουσίαις πάσαις μόνος αὐτὸς ἀνδρικῶς ἀντεπεξιέναι πρὸς πόλεμον, τὴν δέ γε σωματικὴν ἕξιν ἄλλως κατειργασμένον, τοῖς μακροῖς πόνοις ἀπειρηκυῖαν καὶ τῷ πάμπαν ἀτρόφῳ σχεδὸν καὶ ἀναίμονι, τούτῳ δὴ καὶ αὐτὸς ἀναξίως — πῶς ἂν εἴποι τις; —

24/25 Ἐφεσ. δ', 13. — 25 πανοπλίαν - ἐξουσίαις] Ἐφεσ. ς', 11, 12. — 27 *μεθοδίας* B.

ἑαυτοῦ καὶ δυσκλεῶς ὑπ' ἀμηχανίας ἐσχάτης ὁ κακομήχανος ἐπιτίθεται, καθάπερ ἐπὶ στρατοπέδου καὶ παρατάξεώς τινος οἱ μὴ δυνάμενοι κατὰ μέτωπον ἀντιστῆναι ταῖς φάλαγξι κἀντεῦθεν τὸ πεπονηκὸς τῶν ταγμάτων ἐπιτηροῦντες προσβάλλουσιν, ἢ καὶ τοῖς οὐραγοῖς τοῦ παντὸς ἀναχωροῦντες μικρὸν ὕστερον δολερῶς ἐπιτίθενται, μᾶλλον δ', ἵν' οἰκειότερον εἴπω, καθάπερ αἱ μυῖαι τῶν ὑγιαινόντων ἀποπηδῶσαι μελῶν ὑπ' ἀδυναμίας τοῖς τραύμασιν ἐπιτίθενται. Εἴσεισι τοίνυν, ὅπερ ἔφην, ὁ αἰσθητὸς ἐκεῖνος ὄφις τὸ σπήλαιον, τὸν νοητὸν ἔχων ὑποκινοῦντα καὶ πρὸς τὸ ἐκείνῳ βουλόμενον ἄγοντα· καὶ πρῶτα μὲν ψόφοις τε καὶ συριγμοῖς καὶ πατάγοις τισὶν ἀσυνήθεσι δονεῖν ἐδόκει τὸ σπήλαιον καὶ φοβερός τις ἐφάνταζεν εἶναι καὶ τὸ μέγεθος ἀπαράμιλλος, παίδων ἀνοήτων μορμολυκείοις ὁ ἀνόητος τὸν λέοντα δεδιττόμενος. Ἐπεὶ δ' ὁ σοφώτατος οὐ μᾶλλον τῷ φαινομένῳ προσέχων, τῷ κρυπτομένῳ διὰ τῆς ἱερᾶς προσευχῆς συνεπλέκετο καὶ ὅλος ἀτρέμας εἱστήκει, ὅλῃ καὶ ψυχῇ καὶ σώματι πρὸς τὸν Θεὸν ἐκτεινόμενος, ἐκμανεὶς ἐκεῖνος ὁ μιαρός — ὢ κριμάτων ἐξαισίων Θεοῦ, οἷς ἐκεῖνος ἰθύνει σοφῶς τὰ ἡμέτερα, παραδιδοὺς εἰς χεῖρας ἀνόμων ἔστιν ὅτε καὶ δίκαιον, ἵνα μᾶλλον δοκιμασθεὶς ἐπὶ τέλει τῶν ἄθλων λαμπρότερον ἀνακηρυχθῇ καὶ τοῖς ἄλλοις τύπος ὑπομονῆς γένηται —, παίει τοῦτον τῷ κέρκῳ κατὰ τῶν νώτων, συμπλέξας αὐτὴν ἑαυτῇ πάντοθεν ἀσφαλῶς πρότερον καὶ οὕτως ἀντὶ κορύνης τινὸς σιδηρᾶς ἰσχυρώτατα κατ' ἐκείνου χρησάμενος· ὡς δ' οὐδὲν μᾶλλον ἐκεῖνος τῆς πρὸς Θεὸν εὐχῆς ἐνεδίδου καὶ τῆς ἐνστάσεως, οὐδ' ἐπιστρεφῶς τὸ παράπαν εἶχεν ἐκείνου, τὸ προφητικὸν ἐκεῖνό που πάντως ὑπᾴδων, "ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας τοῦ φαγεῖν τὰς σάρκας μου,' ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ", παίει πάλιν ἐκεῖνος δίς τε καὶ τρὶς ἰσχυρότερον καὶ εἰς γῆν εὐθὺς καταβάλλει τὸν ἀθλητήν, μᾶλλον δὲ τὸ μὲν σῶμα καταπεσὸν κατὰ φύσιν ὡς εἰπεῖν ἔκειτο, ὁ δὲ νοῦς ὑπερφυῶς ἀνίπτατο μάλιστα, ταῖς φυσικαῖς ἀνάγκαις καμπτό-

18 Ἰὼβ ις', 11 «παρέδωκε γάρ με ὁ κύριος εἰς χεῖρας ἀδίκων». — 26 *ἐγκύζειν* B || Ψαλμ. κς', 2. — 26/28 Ψαλμ. λζ', 14.

Digitized by Google

μενος ἥκιστα. Διὸ καὶ τοῦ κατὰ γνώμην καθάπαξ ἀπογνοὺς ὁ πολέμιος (ἐβούλετο γὰρ διὰ τούτων ἐκβαλεῖν ἂν ἐκεῖνον τοῦ σπηλαίου καὶ τῷ καλῷ τῆς ἡσυχίας ἐγκοπήν τινα δοῦναι διὰ τῆς μεταβάσεως, οὐ μὴν ἀλλὰ καὶ πάθει δειλίας περιβαλεῖν τὸν ἄληπτόν τε καὶ ἀπαθέστατον) καὶ κατὰ γῆς ἐρριμμένῳ ταῖς πληγαῖς ἐπεμβαίνει σφοδρότερον, ' συντρῖψαι τέως αὐτῷ καὶ πονήρως κατά γε τὸ δυνατὸν διαθεῖναι τὸ σῶμα βουλόμενος, ἐπειδὴ τῆς ζωῆς ἀφελέσθαι, καίτοι γε σφόδρα βουλόμενος, ἥκιστα κύριος ἦν ὁ μηδὲ κατὰ χοίρων αὐτὸ τοῦτο δυνάμενος, καθάπερ ἐν τοῖς Εὐαγγελίοις ἠκούσαμεν· ἀλλ' ἀνθίστησι καὶ οὗτος ἐκείνῳ κατὰ καιρὸν τὸ πρὸς Θεοῦ δεδομένον φυσικὸν ὅπλον, φημὶ τὸν θυμόν, κατ' αὐτοῦ δηλονότι μόνου τοῦ ὄφεως, καὶ βάλλει καιρίαν, τὸ φοβερὸν τοῦ Κυρίου κατ' ἐκείνου δηλαδὴ βαλὼν ὄνομα, καὶ δειλὸν αὐτίκα δραπέτην τὸν πρὸ μικροῦ θρασύτατον διώκτην ἐργάζεται, "Ἵνα τί" λέγων, "ὦ νοητὲ δράκων καὶ τῷ ἡμετέρῳ γένει διὰ τὴν ἄνωθεν βασκανίαν πολέμιε" (δοκεῖ γὰρ κἀνταῦθα τῶν ἐκοίνου λόγων ἐπιμνησθῆναι, ἵνα καὶ μᾶλλον τὸν ἡμέτερον λόγον καθαγιάσωμεν), "ἵνα τί", φησίν, "οὕτως ἀνενδότως ἐχθραίνεις τοῦ κοινοῦ δεσπότου τῷ πλάσματι πάντα καταπιεῖν ὑφ' ἓν κεχηνώς, εἴπερ οἷόν τε, καὶ λήθης βυθοῖς παραπέμψαι τὴν κτίσιν ἅπασαν; τίς λόγος σοι πρὸς ἐμὲ τὸν Χριστοῦ δοῦλον, οὐδὲν κοινὸν κεκτῆσθαι πρὸς σὲ τὸ παράπαν βουλόμενον; μᾶλλον δὲ τί σοι καὶ τῷ κοινῷ τῶν χριστιανῶν γένει, οὓς αὐτὸς ὁ κοινὸς δεσπότης τῆς σῆς τυραννίδος ἐλευθερώσας, καθάπερ τινὶ βασιλικῇ σφραγῖδι τῷ ἰδίῳ ἐσημειώσατο αἵματι; οὐκ οἶσθα, πονηρὲ δοῦλε καὶ ἀποστάτα, τὴν τῆς σῆς τυραννίδος κατάλυσιν; οὐ σταυρὸς καὶ λόγχη καὶ πάθος τοῦ ἀπαθοῦς ἐθελούσιον τὴν μὲν σην ἰσχὺν καὶ τὸ κράτος συνέτριψεν, ἡμῖν δὲ τὸ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν σὴν πονηρὰν δύναμιν εὐκλεῶς ἐχαρίσατο; πῶς ταῖς δεσποτικαῖς ἐκείναις ἀποφάσεσιν ἀπιστῶν τοῖς μὴ δεδομένοις ἐπιχειρεῖς καὶ χεῖρα θεομάχον καθ' ἡμῶν αἴρεις καὶ τοῖς βασιλι-

9 Ματθ. η', 28-33. Μαρκ. ε', 1-14. Λουκᾶ η', 26-34. — 22 *κεκτεῖσθαι* B. — 25 πονηρὲ δοῦλε] Ματθ. ιη', 32. — 28/29 Λουκᾶ ι', 19.

κοῖς τολμηρῶς ἀνταίρεις προστάγμασιν; Ἀλλ' ἐγὼ πάλαι, καλῶς ἴσθι πιστεύσας, καὶ μόνοις δὴ τούτοις, ὡς ἔχεις ὁρᾶν, παντὶ τῷ θυμῷ καὶ ζῶν καὶ πολιτευόμενος ἐπὶ ἀσπίδα καὶ βασιλίσκον αἰσθητῶς τε καὶ νοητῶς ἐπιβήσομαι καὶ καταπατήσω σε τὸν ἀρχέκακον δράκοντα ἐν ὀνόματι κυρίου Σαβαὼθ παρατάξεως Ἰσραήλ". Οὔπω τὸν λόγον ἔφθη συμπεράνας ὁ μέγας καὶ ὁ φαινόμενος δράκων σὺν τῷ κινοῦντι κρυπτῶς ἀφανεῖς ἦσαν, ὡς ὑπὸ κεραυνοῦ φοβεροῦ τινος ἐλαυνόμενοι· καὶ ἦν ὄντως μέγα τι καὶ θεσπέσιον τὸ ὁρώμενον, ἄνθρωπος κατὰ γῆς ἐρριμμένος, οὐ γυμνὸς μόνον καὶ ἄοπλος, ἀλλὰ καὶ νεκρὸς ἤδη τῷ πλείστῳ μέρει τοῦ σώματος, ἐπῳδαῖς τισι βραχυτάτων ῥημάτων αἴσχιστα δραπετεύειν ποιῶν τὸν ἐξαλείφειν αὐχοῦντα τὴν γῆν καὶ τὴν θάλασσαν. Διά τοι τοῦτο καὶ καινῶν τινων καὶ θεοπρεπῶν ἄνωθεν ἀξιοῦται τῶν στεφάνων ὁ νικητὴς καὶ οἵων οὔπω τὸ πρότερον, μᾶλλον δ' αὐτὴν τὴν τῆς ἀνθρωπείας φύσεως θέωσιν εἰς ἀμοιβὴν ἤδη λαμβάνει, τὸ προοίμιον, κατὰ τοὺς θεοφόρους εἰπεῖν, τῆς μελλούσης κληρονομίας, τὸ καινὸν τοῦ καινοῦ τῆς δεσποτικῆς οἰκονομίας μυστηρίου μυστήριον καὶ συμπέρασμα· ὃ δὴ καὶ οὐρανῶν βασιλεία καὶ υἱοθεσία καὶ τὰ τοιαῦτα τῇ Γραφῇ προσηγόρευται, οὐ καμάτων ἀντίδοσις ὄν, κατ' αὐτοὺς τούτους αὖθις, ἀλλὰ τῆς τοῦ δεσπότου φιλοτιμίας καὶ χάριτος ἔνδειξις.

33. Ἀλλὰ προσεκτέον τῷ λόγῳ, παρακαλῶ, δεσποτικῶν ἐπειγομένῳ μυστηρίων ἐφάπτεσθαι· κίνδυνος δὲ τὸ παράπαν οὐδείς, οὐδέ τις ἂν ὑποψία διαμαρτεῖν ἡμᾶς τοῦ προσήκοντος, αὐτοῦ τοῦ ταῦτ' ἰδόντος τε καὶ παθόντος ἀρρήτως ἀκροατὰς ἐπιστήμονας γενομένους καὶ τῷ στερρῷ καὶ εἰλικρινεστάτῳ τῆς ἐν καρδίᾳ πίστεως κατά τινα λόγον ταῦτα καὶ αὐτοὺς πεπονθότας, ὡς ἂν εἴποι τις, κἀντεῦθεν δυναμένους τὰ καινὰ ταῦτα ῥᾷστα τοῖς παλαιοῖς συμβιβάζειν καὶ τὰ τοῖς κοινοῖς ἡμῶν πατράσι καὶ νομοθέταις περὶ τούτων αὐτῶν διωμιλημένα διδόναι τῷ λόγῳ κατὰ καιρὸν εἰς κοινὸν ὄφελος, εἰ καὶ μὴ πείρᾳ τινὶ καὶ αὐτοὶ τῶν λεγομένων ἐν

3/5 ἐπὶ ἀσπίδα - δράκοντα] Ψαλμ. ϙ', 13. — 5 ἐν ὀνόματι - Ἰσραήλ] Βασιλ. 1, ιζ', 45. — 9 *ἐρριμένος* B. -- 19/20 *ἀντίδωσις* B.

Digitized by Google

γνώσει γεγόναμεν, μηδὲ τὸ μακάριον ἐκεῖνο καὶ ἄφραστον πάθος σύν γε τοῖς μακαρίοις ἐκείνοις διὰ ψυχῆς ἀκαθαρσίαν παθεῖν ἠξιώθημεν. Εἰ δέ που θηρίον, κατὰ τὸν εἰπόντα, φιλόνεικόν τε καὶ ἄπιστον, πόρρω που στήτω, ἢ λιθοβοληθήσεται τῇ σφενδόνῃ τῶν τῆς ἀληθείας ἐλέγχων βαλλόμενον. Ἦν μὲν οὔπω περὶ δευτέραν ἡ νύξ, οἶμαι, τὴν φυλακήν· ὁ δὲ τοῦ σκότους φίλος ἐκεῖνος, ἧπερ ἔφην, ὑπὸ νύκτα φανείς, ὑπὸ ταύτην δὴ καὶ ἀπώλετο τῇ δυνάμει καὶ τῷ ῥήματι τοῦ Θεοῦ· ὁ δὲ γενναῖος ἀγωνιστὴς ἔκειτο κατὰ γῆς, τὸ μὲν σύμμαχον ὑποζύγιον, τὸ σῶμα φημί, πεπληγὸς ἔχων καὶ μὴ δυνάμενον ἀναστῆναι (δεῖγμα τοῦτο τῆς ἐσχάτης μανίας καὶ ἀνανδρίας ὁμοῦ τοῦ δραπετεύσαντος ἀντιπάλου), τοὺς ὀφθαλμοὺς δὲ συνάμα τῷ νῷ τεταμένους ἔχων ὡς εἰς τὸν οὐρανόν, ὁρᾷ τὸν μὲν οὐρανὸν αὐτὸν (ἐδόκει γὰρ ὕπαιθρος ὁ τόπος εἶναι λοιπόν) αἴφνης διανοιχθέντα, φωτὸς δὲ χύσιν ἄρρητον, προβεβλημένου τήν τε λαμπρότητα καὶ τὸ μεγεθος, κατιοῦσαν ἐκεῖθεν ἀθρόον. Καὶ καταλάμπεται μὲν ἅπαν εὐθὺς τὸ δωμάτιον, προκαταυγασθεὶς δ' αὐτῷ τούτῳ καὶ ὁ μέγας τοὺς ὀφθαλμοὺς καὶ προτελεσθεὶς ὡσανεὶ διὰ τῶν δευτέρων τὰ μέγιστά τε καὶ πρώτιστα (ἀγγελικὰς εἴποιεν ἂν ἐκεῖνα δυνάμεις οἱ θεολόγοι τοῦ πνεύματος, τὰς εἰς ταῦτα τοὺς ἀξίους ἱεραρχούσας τε καὶ φωταγωγούσας δι' ἑαυτῶν), τοῦ μεγάλου καὶ πρώτου φωτός, τοῦ φωτίζοντος πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ὑπερφυῶς μετὰ Πέτρου καὶ τῶν υἱῶν τῆς βροντῆς τῶν συναναβάντων πάλαι Χριστῷ τὸ Θαβώριον κοινωνὸς γίνεται· πλὴν ὅσον, οὐ τῷ στερρῷ καὶ ὑπερφυεῖ τῆς ἐκεῖθεν ἐξαλλομένης λαμπρότητος, ἐπὶ πρόσωπον κατ' ἐκείνους εἰς γῆν πίπτει. Κατακείμενος δὲ μᾶλλον καὶ τὴν φυσικὴν πᾶσαν τῶν αἰσθήσεων σχεδὸν ἀφῃρημένος ἐνέργειαν, τῷ κάλλει καὶ τῇ δόξῃ καὶ ἡδονῇ τῆς ἀρρήτως ἐκφανθείσης θεότητος ὅλος ἀλλοιοῦται καὶ μεταπλάττεται τὴν θαυμαστὴν τῆς δεξιᾶς τοῦ ὑψίστου

21/22 Ἰωάν. α', 9 «ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον». — 23 υἱῶν τῆς βροντῆς] Μαρκ. γ' 17. — 23/24 Ματθ. ιζ', 1-8. Μαρκ. θ', 2-8. Λουκᾶ θ', 28-36. Πρβλ. Βασιλείου Καισαρείας ὁμιλίαν εἰς τὸν μδ' ψαλμόν [Migne τ. 29, σ. 400] «εἶδον δὲ αὐτοῦ τὸ κάλλος Πέτρος καὶ οἱ υἱοὶ τῆς βροντῆς ἐν τῷ ὄρει ὑπερλάμπον τὴν τοῦ ἡλίου λαμπρότητα»

Digitized by Google

ἀλλοίωσιν, ἰδεῖν σὺν τοῖς Ἀγγέλοις ἀξιωθεὶς ἐν σαρκί—ὢ τοῦ καινοῦ μυστηρίου καὶ θαύματος!—"ἃ ὀφθαλμὸς οὐκ οἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη"· ὃ δηλαδὴ περὶ τῶν τοῦ Λόγου μαθητῶν ἐκείνων ὁ Δαμασκηνὸς θεολόγος ἐδίδαξε· μᾶλλον δὲ κἀκεῖνοι κατὰ γῆς ἔπιπτον, εἴτε τῷ τοῦ μεγάλου φωτὸς ὑπερβάλλοντι, εἴτε τῇ προσβολῇ τῆς μαρτυρούσης ἐκπλαγέντες πατρικῆς φωνῆς ἄνωθεν, εἴτε καὶ ἀμφοτέροις τούτοις, ὡς ἄν, τῆς φυσικῆς πάσης ἀποπαυθείσης αἰσθήσεως πρότερον, ἐν πνεύματι δυνηθῶσιν ἰδεῖν τὰ ὑπὲρ πάντα νοῦν τε καὶ αἴσθησιν. Διὸ καὶ "διαγρηγορήσαντες", ὥς φησιν ὁ εὐαγγελιστής, μετὰ τὸν κάρον ἐκεῖνον δηλαδὴ καὶ τὴν τῶν αἰσθήσεων νέκρωσιν (ἦσαν γάρ φησιν "ὕπνῳ βαρούμενοι"), "εἶδον ὑπερφυῶς τὴν ἐκείνου δόξαν", τὴν ὑπὲρ πᾶσαν ἀνθρωπίνην κατάληψιν, τῶν ὀφθαλμῶν αὐτοῖς ἐν πνεύματι μετασκευασθέντων πρὸς τὸ θειότερον· "Θεὸν γάρ", φησὶν ὁ αὐτὸς θεολόγος, "οὐδεὶς ἑώρακε πώποτε", καὶ ὃ δὲ ἑώρακεν, ἐν πνεύματι τοῦτο τεθέαται. Διαγρηγορήσας καὶ οὗτος τοιγαροῦν—δεῖ γὰρ αὖθις τὸν λόγον ἀναλαβεῖν—εἶδεν ὑπερφυῶς ἀπὸ μέρους, κατὰ τὸν μέγαν εἰπεῖν Ἀθανάσιον, τὸ τοῦ μέλλοντος αἰῶνος μυστήριον· εἶδε τὸν γλυκύτατον Ἰησοῦν ἀρρήτῳ τινὶ κάλλει καὶ γλυκυτάτῳ φωτὶ τῆς φυσικῆς τῆς θεότητος δόξης ἐκ τοῦ ἐκ Μαρίας ἁγίου σώματος, κατὰ τὸν αὐτὸν θεολόγον, ἐκλάμποντα· εἶδε τοῖς ὑπερφυέσιν ἐκείνοις ὀφθαλμοῖς οὓς ἐν τοῖς ἀξίοις ἡ δημιουργὸς μετασκευάζει τοῦ πνεύματος δύναμις, πρὸς μετοχὴν δηλαδὴ τῆς ὁρατῆς τοῦ λόγου θεοφανείας, τὰ φυσικοῖς ὀφθαλμοῖς καὶ καρδίαις ἀνθρώπων ἄβατά τε καὶ ἄθικτα οὐκ ἐν τῷ μέλλοντι μόνον, ἀλλὰ κἀνταῦθα τούτοις ὁρώμενα, κατὰ τὸν μέγαν τῶν μεγίστων φημὶ μυστηρίων αὐτόπτην τε καὶ μυσταγωγὸν Διονύσιον· "ὅταν γὰρ ἄφθαρτοι καὶ ἀθάνατοι", φησὶν οὗτος, "γενώμεθα καὶ τῆς χριστοειδοῦς καὶ μακαριωτάτης ἐφικώμεθα λήξεως, πάντοτε σὺν Κυρίῳ, κατὰ τὸ λόγιον, ἐσόμεθα, τῆς ὁρατῆς αὐτοῦ θεοφανείας ἐν πανάγνοις θεωρίαις ἀποπληρούμενοι, φανοτάταις μαρμαρυγαῖς ἡμᾶς περιαυγαζούσης, ὡς τοὺς μαθητὰς ἐν ἐκείνῃ τῇ θειοτάτῃ

2/3 Κορινθ. 1. β', 9. — 10/12 Λουκᾶ θ', 32. — 14/15 Ἰωάν. α', 18.

Digitized by Google

μεταμορφώσει". Οὕτως ὁ μέγας Στέφανος ἐν μέσῳ φονῶντι τῷ συνεδρίῳ τῶν Ἰουδαίων ἱστάμενος, εἰς οὐρανὸν ἀτενίσας, εἶδε τὸν Κύριον· οὕτω τῷ σκεύει τῆς ἐκλογῆς ἐν ὄρει φανεὶς ὁ Χριστὸς ἀστραπήμορφος, κατὰ τὸν θεοφόρον φάναι Δαμασκηνόν, τὸ ὄμμα μὲν σκοτίζει τῆς σαρκός, διὰ τὸ ἀτέλεστον, τὴν δὲ ψυχὴν συνετίζει πρὸς θεοσέβειαν· οὕτως Ἀντώνιος ὁμοῦ καὶ Μακάριος καὶ εἴ τις τοῦ κατ' ἐκείνους κόμματος ἕτερος, κατὰ τοὺς θείους χρησμούς, καθαρθέντες εἶδον τὸν Κύριον· "μακάριοι γάρ" φησιν "οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται", οὐκ αὐτὴν δηλαδὴ τὴν τοῦ Θεοῦ φύσιν, ἥτις ποτέ ἐστι (Θεὸν γὰρ οὕτως οὐδεὶς ἑώρακε πώποτε· "οὐ γὰρ μὴ ἴδῃ", φησίν, "ἄνθρωπος τὸ πρόσωπόν μου καὶ ζήσεται"), ἀλλὰ τὴν φυσικὴν ἐκείνου δόξαν τε καὶ θεότητα, τὴν τρυφὴν τῶν ἀγγελικῶν ταγμάτων τε καὶ δυνάμεων, τὴν μέλλουσαν τοῦ Θεοῦ βασιλείαν, ἧς τὰ προοίμια, κατὰ τὸν μέγαν εἰπεῖν Βασίλειον, οἱ συνανελθόντες Χριστῷ τὸ Θαβώριον ἰδεῖν ἠξιώθησαν καὶ εἴ τις κατ' ἐκείνους τῆς τοιαύτης θεοπτίας ἠξιωμένος, καθάπερ ἤδη φθάσας ὁ λόγος ἐδήλωσε.

34. Τούτων ὁ θεσπέσιος Σάβας τοῖς μὲν ἁμιλληθείς, τῶν δὲ μικρὸν ἀπολειφθείς, ἔστι δὲ οὓς καὶ ὑπερβαλών, καὶ τῆς μεγάλης ἐκείνης χάριτος καὶ θεοφανείας μετὰ πολλοῦ τοῦ περιόντος κοινωνὸς ἐχρημάτισε. Τοῦτο κἀμοὶ βουληθεὶς ὁ μέγας παραδεῖξαί ποτε τὸ μυστήριον, καὶ ὡς αὐτὸς ἐκεῖνος μετὰ Πέτρου καὶ τῶν υἱῶν τῆς βροντῆς τοῦτο πάσχειν ἠξίωται, ἐπεὶ τὰ τῆς δεσποτικῆς μεταμορφώσεως πανδημεὶ πανηγυρίζοντες ἦμεν—ἦν γὰρ ἡμέρα, καθ' ἣν τῷ δεσπότῃ τελεῖσθαι τὰ τοῦ μυστηρίου νομίζεται—, ἐν μέσῳ τῶν ᾀδόντων τὰ τῆς ἑορτῆς ἑστῶτί μοι συνιστάμενος, τὰ χείλη μοι τοῖς ὠσὶν ἐμβαλών, ὥστε δὴ καὶ προσάψασθαι, "Εἰς τοῦτο τὸ μυστήριον ἐν ἀπορρήτοις" εἶπεν, "ὦ βέλτιστε, φθάσαι δεῖ τὸν πρὸς τὴν εὐαγγελικὴν ἐπειγόμενον τελειότητα". Ἐγὼ δὲ πρὸς τὸν λόγον ἐκπλαγεὶς στρέφω τοὺς ὀφθαλμοὺς ἀθρόον πρὸς τὴν

1/2 Πράξ. ζ', 55. — 8/9 Ματθ. ε', 8. — 11/12 Ἐξόδ. λγ', 20. — 14/16 Βασιλείου ὁμιλία εἰς τὸν μδ' ψαλμὸν [Migne τ. 29, σ. 400] «τὰ προοίμια τῆς ἐνδόξου αὐτοῦ παρουσίας ὀφθαλμοῖς λαβεῖν κατηξιώθησαν».

Digitized by Google

ἱερὰν ὄψιν ἐκείνην, ὥστ' ἂν ἐρέσθαι τι περὶ τούτου σαφέστερον, καὶ τῶν αὐτῶν μὲν αὖθις ῥημάτων σχεδὸν ἤκουσα, τὴν δ' ὄψιν οὕτω δεδοξασμένην εἶδον καὶ χαρᾶς ὑπερβαλλούσης καὶ λαμπρότητος ἔμπλεων, ὡς ἄρτι τότε τῆς δεσποτικῆς μετασχοῦσαν ἐκείνης θεοπτίας τε καὶ μεταμορφώσεως· ὃ δὴ καὶ πρὸς ἀλήθειαν ὄν, ἐμοὶ βλεπόμενον τέως οὐ καθωρᾶτο, καὶ ἀκουόμενον ἐνθεῖναι τὴν ἑαυτοῦ σύνεσιν ἀκριβῶς οὐκ ἠβούλετο διὰ τὸ ἀνάξιον· ἐκρατοῦντό μου γὰρ οἱ ὀφθαλμοὶ δι' αὐτὸ τοῦτο, τοῦ μὴ ἐπιγνῶναι αὐτόν, ὡς οἱ περὶ τὸν Κλεώπαν πάλαι τὸν Κύριον, ἐπειδὴ καὶ αὐτὸς μετὰ τὴν ἑσπέραν, τὴν τοῦ νοητοῦ φημι τούτου φωστῆρος ἐκδημίαν, ταὐτὰ τοῖς εἰρημένοις τοῦ Λόγου μαθηταῖς ὀδυνηρῶς λέγειν ἔμελλον· "Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν τῇ τῆς ζωῆς ταύτης ὁδῷ καὶ ὡς διήνοιγεν ἡμῖν τὰ τοῖς πολλοῖς συγκεκαλυμμένα μυστήρια; ἀλλ' Ἰωάννῃ πάντως ἀποκαλυφθῆναι τὸ μυστήριον ἔδει, τῷ γνησιωτάτῳ τῶν μαθητῶν, ἐν τοῖς πειρασμοῖς τῷ διδασκάλῳ συνδιαμεμενηκότι καὶ ταύτην δεξαμένῳ τῆς προσεδρείας ἀμοιβὴν τὴν ὑπέρτιμον· ὃς καὶ τὰ σκιωδῶς ἡμῖν ὁραθέντα τότε κατὰ μέρος ἐκφαίνων νῦν, τοῦτο πρὸς δόξαν ἡμῖν καταλείπει τέως, τὸ λόγοις ἔχειν προτιθέναι ταῦτα καὶ τοῖς ἑξῆς, εἰς δόξαν τοῦ δοξάσαντος ἐκεῖνον ὑπερφυῶς καὶ κοινὸν ὄφελος". Εἶεν.

35. Ἃ δὲ τῷ μεγάλῳ καθεξῆς πέπρακται, τοῦ μὲν ἀμηχάνου κάλλους τῆς μακαρίας ἐκείνης θεότητος καὶ τῆς ἐκεῖθεν ἐκπηδώσης ἀρρήτως αἴγλης ἀφράστως παρ' ὅλην ἐκείνην τὴν νύκτα κατατρυφῶν ἵστατο· ἐπεὶ δὲ τῆς νυκτὸς ἀπιούσης καὶ τὰ τῆς ὑπερφυοῦς θεοπτίας ἀφίπτατο καὶ πρὸς ἑαυτὸν καὶ τὴν κατὰ φύσιν ἕξιν ἀπὸ τῆς ὑπὲρ φύσιν ἐκστάσεως ἐπανήρχετο, οἱ μὲν περιπείροντες τῆς ἐν Θαβωρίῳ πάλαι θεοφανείας λυόμενοι μηδενὶ τὸ ὅραμα φράζειν δεσποτικῶς τοῦ συνόντος δεσπότου προστάσσοντος ἤκουον, ἕως οὗ "ὁ υἱὸς τοῦ ἀνθρώπου" ἐκ νεκρῶν ἀναστῇ· ὁ δὲ σιωπὴν ἐκ μακροῦ τάξας τοῖς χείλεσιν οὐδὲ θεατὸς εἶναι μετὰ τὴν φρικτὴν ἐκείνην θεωρίαν τινὶ τῶν πάντων ἐβού-

8 τοῦ μὴ ἐπιγνῶναι αὐτόν] Λουκᾶ κδ', 16. — 9 Λουκᾶ κδ', 18.

Digitized by Google

λετο, οὐδὲ τοῦ δωματίου προϊόντα τις αὐτὸν ἐξ ἐκείνου τὸ σύνολον ἐθεάσατο, ἀλλ' ἦν ὅλος ἠλλοιωμένος καὶ τὴν μακαρίαν ἐξεστηκὼς ἔκστασιν, τὸ φανὲν ἐκεῖνο τοῦ δεσποτικοῦ προσώπου κάλλος διὰ παντὸς τῷ νῷ φανταζόμενος καὶ κρουνηδὸν ἀεννάως προχέων τὰ τῆς ἀρρήτου χαρᾶς δακρυα. Ἀλλ' οὐκ ἦν κρυβῆναι τὸν τοσοῦτον τῆς ἀρετῆς πυρσόν, οὐδὲ τὴν θαυμαστὴν ἐκείνην καθάπαξ διαλαθεῖν εὐωδίαν τῶν μεγάλων χαρισμάτων τοῦ πνεύματος, ὅτι μηδὲ τὸν ἐν κόλποις ἀρώματα φέροντα διαλαθεῖν οἷόν τε, κἂν αὐτὸς τοῦτο βούληται, φυσικῶς τῆς ἐκεῖθεν προϊούσης εὐωδίας μὴ δυναμένης κατέχεσθαι, ἀλλὰ τὸν μὲν παρ' ἡμῶν εἰσπνεόμενον τοῦτον ἀναχρωννύσης ἀέρα, δι' αὐτοῦ δὲ πάλιν ταῖς τῶν ἐντυγχανόντων αἰσθήσεσι προσβαλλούσης ὀξύτατα· διὸ καὶ παμπληθεὶ πρὸς τοῦτον ἁπανταχόθεν συνέρρεον οἵ τε περὶ τὸν Ἰορδάνην ἀσκούμενοι μοναχοὶ καὶ Παλαιστίνη πᾶσα καὶ τῆς τῶν Σύρων γλώττης ὅσοι δηλαδὴ τὰ Χριστιανῶν ἀκριβῶς ἦσαν πρεσβεύοντες· ἀλλ' ἐκεῖνος τοῖς πᾶσι τὸ παράπαν ἀνομίλητος ὤν, ὅπερ ἔφην, ἐπὶ πολὺ δὲ καὶ ἀθέατος, οὐκ ἐν τούτῳ τὸ πῦρ τῆς καλῆς ἐπιθυμίας ἐκείνων κατέσβεσε· μᾶλλον μὲν οὖν κἀντεῦθεν ἡ τοῦ ἔρωτος φλὸξ ἐκείνοις ἀνῆπτο καὶ πολλῷ σπουδαιότερον ἐκεῖσε πάντες συνέτρεχον, ὥστε τὴν μακαρίαν ἐκείνην ὄψιν ἰδεῖν τέως, ἧς οὐδὲν ἥδιον, οὐδ' εἰς ὠφελείας λόγον ὀνυσιμώτερον. Καὶ μέντοι καὶ πείθουσιν αὖθις τὴν μακαρίαν ψυχήν, τὸν τερπνὸν τῆς ταπεινώσεως καὶ τῆς ἀγάπης ὄντως παράδεισον. Πάντας μὲν οὖν τὸ τῆς ἀγγελικῆς ἐκείνης πολιτείας ὑπερέχον ὑπερβαλλόντως ἐξέπληττε, καὶ οὐκ ἦν ὅστις ἐκεῖνον ἰδὼν καί τινα τῶν κατ' αὐτὸν ἐκμαθών, ὃς οὐ μεγίστην ἐντεῦθεν ἐκαρποῦτο τὴν ὄνησιν, τοῖς γε μὴν λεπτοτέροις τὴν γνῶσιν καὶ ἀσκήσει παντοδαπῆς ἀρετῆς κεκοσμηκόσι τὸ φρόνημα καὶ διὰ νεύματος ὁμιλῶν ἦν ἔστιν ὅτε καὶ πρὸς τὰς πεύσεις ἐκείνων ἀποκρινόμενος· οἳ δὴ καὶ τοῦ τῆς σοφίας ἐκείνου βάθους τῆς τε θεωρίας συνιέντες ἐντεῦθεν καὶ τῆς καθαρότητος ὅση δύναμις ἡδονῆς τε καὶ θαύματος ἐπληροῦντο καὶ πατέρα καὶ διδάσκαλον τοῦτον ἐκάλουν, οὐδὲν τῶν θαυμαστῶν ἐκείνων πατέρων, Ἀντωνίου τέ φημι καὶ Σάβα καὶ τῶν κατ' αὐτούς, τὸ πα-

ράπαν ἐνδέοντα· ὁ δὲ τῷ περιόντι τῆς ταπεινοφροσύνης πᾶσι νῦν ὑποπίπτων, χεῖράς τε καὶ πόδας ἐκείνων ἦν καταφιλῶν μεθ' ὅσης οὐκ ἄν τις εἶπε τῆς περιχαρείας καὶ τῆς ἀπλότητος (ὃ δὴ καὶ μᾶλλον τὰς ἐκείνων ὑπερφυῶς ἐγειροῦτο γνώμας), καὶ πάντες τῆς ἐκείνου ψυχῆς καὶ τῆς ἀρετῆς ὥσπερ ἐξήρτηντο καὶ οὐδ' ἀποστῆναι τὸ παράπαν ἠδύναντο.

36. Τρίτον μὲν οὖν ἔτος ἤνυστο τῷ μεγάλῳ τουτὶ παροικοῦντι τὸ σπήλαιον καὶ πολὺς ὁ περὶ αὐτοῦ λόγος, ὅπερ ἔφην, ἦν πανταχοῦ, καὶ πλήρεις τοῦ κατ' αὐτὸν ἦσαν θαύματος ἅπαντες· ἐκείνῳ δὲ ταῦτ' οὐκ ἦν ἀνεκτὰ τὸ παράπαν, οὐδὲ τὴν παρὰ πάντων εὐφημίαν καὶ δόξαν ὁσημέραι προστιθεμένην εὐχερῶς ἔφερεν· ἄλλως τε καὶ τὸ πάντῃ μεμονωμένον τε καὶ φιλήσυχον ὡς τὰ πολλὰ καθορῶν ἑαυτῷ ἐγκοπτόμενον, τοῦ σπηλαίου καὶ τῆς γῆς ἐκείνης, πάντας τοὺς αὐτόθι λαθών, εὐθέως ἀφίσταται· καὶ τὸν Ἰορδάνην τάχιστα διαβὰς τὴν ἐνδοτάτω καὶ πᾶσιν ἄβατον ἔρημον εἴσεισιν, ἵνα δὴ καὶ τὴν θαυμαστὴν Αἰγυπτίαν ἐκείνην ὑπερφυῶς ἀσκουμένην ἐντετυχηκέναι τῷ μεγάλῳ φασὶ Ζωσιμᾷ. Ἐκεῖσε τοιγαροῦν καὶ αὐτός, κατὰ ζῆλόν που πάντως ἐκείνης, καὶ τὸν ἔσχατον ἀποδὺς χιτῶνα, μεθ' ὅσης τῆς ἡδονῆς ἄπεισιν· οὐδὲ γὰρ ἠρεμεῖν ὅλως εἶχε, τῷ γλυκυτάτῳ βέλει τοῦ δεσπότου τρωθείς, ἀλλὰ τὸν φανέντα καθάπαξ δεσπότην ἀρρήτῳ ψυχῆς ἔρωτι φανταζόμενος καὶ τοῦ γλυκυτάτου φωτὸς ἐκείνου μηδὲ βραχὺ γοῦν ἀπολειφθῆναι βουλόμενος, "Ποῦ μένεις καὶ ποῦ κοιτάζῃ", πρὸς αὐτὸν ἐρωτικῶς ἔλεγε· "δεῖξόν μοι τὴν δόξαν σου, γνωστῶς ἴδω σε· ἀπόδος μοι τὸ τῆς εἰκόνος κάλλος καὶ τὸ μέγα τῆς υἱοθεσίας καὶ τῆς σῆς βασιλείας ἀξίωμα, οὗ με καὶ κοινωνὸν ἤδη γενέσθαι φιλανθρώπως ὁ φιλάνθρωπος δεσπότης ὑπὲρ πάντα λόγον ἠξίωσας". Ταῦτα πρὸς τὸν δεσπότην ἡσυχῇ λέγων, τὸ μέγα τῆς ἐρήμου πλάτος ἐκεῖνο διῄει, πέλαγος ἄπλετον οἱονεί τι καὶ τοῖς ὀφθαλμοῖς οὐχ ὁρίζον, γυμνὸς κεφαλήν τε καὶ πόδας σὺν ὅλῳ τῷ σώματι βραχύτατόν τι ῥάκος περιεζωσμένος μόνον διὰ τὸ εὔσχημον, ὥσπερ δὴ καὶ τὸ πρότερον· ἄτροφος τὸ παράπαν καὶ

3 *περιχαρίας* B. — 12 *μεμονομένον*. — 17 *ἐντυχικέναι* B. — 25 *κάλος* B.

ἄποτος, πλὴν εἰ μὴ βοτάναις ἀγρίαις ἐντύχοι που καὶ σταγόσιν ὀλίγαις τισὶν ὕδατος, καὶ τοῦτο διὰ συχνῶν ἡμερῶν, ἐπεὶ καὶ ταῦτα σπανίως ταῖς ξηροτάταις ἐκείναις ἐρήμοις παραφύεσθαι πέφυκε, θέαμα φρικτὸν ὄντως καὶ τὴν φύσιν αὐτήν φημι τῶν Ἀγγέλων ἄγον εἰς ἔκπληξιν. Οὕτω τοιγαροῦν ταῖς ἐρήμοις ἐκείναις ἐμφιλοχωροῦντι τῷ μεγάλῳ τῆς τοῦ Θεοῦ βασιλείας ἀγωνιστῇ, σκληροτάτοις τισὶ καὶ καθ' ὑπερβολὴν ἀνύδροις συμβαίνει ποτὲ χωρίοις περιπεσεῖν, οὕτως ἀκριβῶς ἀνίκμοις τε καὶ ξηροῖς, ὡς ἐφ' ὅλαις ἡμέραις πεντήκοντα μὴ βοτάνῃ τινὶ τὸ παράπαν, μὴ ψεκάδι καὶ δρόσῳ τῇ ἐκ νεφῶν, μὴ νοτίδι κάτωθεν ὁπωσοῦν ἀναδιδομένῃ περιτυχεῖν· ὅθεν καὶ τῆς φυσικῆς αὐτὸν κατ' ὀλίγον ἀπολιπούσης ὑγρότητος, συναπέληγεν ἤδη κατὰ μικρὸν καὶ τὰ τῆς ζωῆς, καὶ βραχύ τι νεκροῦ διαφέρων κατὰ γῆς ἔρριπτο, λεπτά τινα πνέων καὶ τὸν Ἄγγελον, ὡς αὐτὸς ἐκεῖνος ἔφασκεν ὕστερον, φανταζόμενος, ὅσον οὐκ ἤδη, παραληψόμενον τὴν ψυχήν. Οὕτω τοίνυν αὐτόθι κειμένῳ καὶ τὰς μὲν ἐλπίδας πάσας ἀπειπόντι τῆς κάτω ζωῆς, ἄνω δὲ μόνον βλέποντι καὶ τὸν Ἄγγελον καραδοκοῦντι, καθάπερ ἔφθην εἰπών, ἰδοὺ καὶ ὁ προσδοκώμενος Ἄγγελος λαμπρὸς λαμπρῶς ἄγαν ἐφίσταται, καταπεμφθεὶς ὑπὸ τοῦ Θεοῦ, οὐ μὴν ὥστε καὶ τὴν ψυχὴν ἐκείνου λαβεῖν, καθάπερ ἐκεῖνος ὑπέλαβεν, ἀλλ' ὥστε καὶ σθένος ἐνθεῖναι μᾶλλον, ἀναψυχῆς ἀπειρηκότι τε μεταδοῦναι καὶ πρός γε τὸ βέλτιον καὶ ψυχὴν καὶ σῶμα μετασκευάσαι κάλλιστα καὶ μετὰ τοῦ γιγνομένου παντός· ἄρρητος γάρ τις εὐωδία σὺν ἐκείνῳ κατιοῦσα καὶ δρόσος ἅμα καὶ φῶς ἀνέψυχέ τε κατὰ γῆς ἐρριμμένον τὸν ἀθλητὴν καὶ τὸ πᾶν ἐκεῖνο χωρίον ἀθρόως εἰς ἑαυτὰ μετεσκεύασεν. Εἶτα καὶ τῆς τοῦ κειμένου δεξιᾶς λαβόμενος ὁ φανεὶς ἀνίστησί τε καὶ πρὸς ὑγείαν ἀποκαθίστησιν ἱλαρῶς καὶ φιλίως, ὡς ἄν τις τῶν πάλαι κοινωνῶν καὶ συνήθων, αὐτῷ τὰ βέλτιστα προσλαλεῖ, "Ἀνδρίζου" λέγων, "ὦ φίλος, καὶ ἴσχυε, καὶ μηδεὶς τὸ παράπαν προσέστω σοι φόβος· σύμμαχός σοι καὶ γὰρ ἄμαχος αὐτὸς ἐγὼ παρέσομαι πανταχοῦ, τοῦτό μοι προστα-

11 *κατολίγον* B. — 12 *μηκρὸν* B. — 18 *προσδοκόμενος* B. — 25 *ἐρριμένον* B.

χθὲν ὑπὸ τοῦ Θεοῦ". Οὔπω τὸ πρόσταγμα τοῦ βασιλέως ἐξαγγείλας ἔφθη τελείως ὁ φανείς, καὶ φῶς αὐτίκα, πολλῷ τοῦ προτέρου θειότερόν τε καὶ λαμπρότερον ἐπιστάν, αὐτὸν ἐκεῖνον ἐν ἑαυτῷ παρεδείκνυ τὸν βασιλέα, καθάπερ καὶ πρότερον ἤδη φθάσας ὁ λόγος δεδήλωκεν. Καὶ ἡ ἐκεῖθεν ἄρρητος αἴγλη προβαλοῦσα καὶ θυμηδία, ἡ ὑπὲρ πᾶσαν ἐπιθυμίαν ἀκόρεστος ἔφεσις, τὸ ἀκρότατον ὄντως τῶν ὀρεκτῶν, εὐθὺς ἐκείνῳ τὰ πάντα γίνεται καὶ τροφὴ καὶ ῥῶσις, ἀπαλλαγή τε τοῦ λυποῦντος παντοία καὶ πολλαπλασίων τις τοῦ ἐνδέοντος ἀναπλήρωσις· συναλλοιοῦσθαι γάρ πως καὶ συμπάσχειν τῇ ψυχῇ καὶ τὸ σύμφυτον σῶμα τὸ μακάριον τουτὶ πάθος οἱ ταῦτα παθόντες καὶ διδάξαντες θεοφόροι φασίν. "Ἡ ψυχὴ γοῦν", φησὶν ὁ θεόληπτος Μάξιμος, "γίνεται θεὸς τῇ μεθέξει τῆς θεϊκῆς χάριτος, συνθεωθέντος αὐτῇ καὶ τοῦ σώματος, κατὰ τὴν ἀναλογοῦσαν αὐτῷ μέθεξιν τῆς θεώσεως".

37. Οὕτω μὲν οὖν ὁ τῆς ὑψηλοτάτης ἐκείνης θεωρίας μύστης καὶ μυσταγωγὸς Ἄγγελος τὸν μέγαν ἐνισχύσας αὐτῆς θεωρόν, τῷ μεγάλῳ τούτῳ συναπέπτη θεάματι· ὁ δ' ἰσάγγελος οὗτος ἀγωνιστὴς τῷ μὲν σώματι τὴν βαθυτάτην καὶ ἄνικμον ἔρημον ἐκείνην αὖθις διῄει, χαρᾶς ὅλος πεπληρωμένος καὶ ἀφάτου τινὸς ἡδονῆς, τῷ δὲ νῷ τὸν οὐρανὸν καὶ τὰ ἐκεῖ κάλλη διόλου περιπολῶν ἦν, αὐτόθι τὸ πολίτευμα καὶ αὐτὸς κατὰ Παῦλον ἐναργῶς ἔχων ἤδη τὸν μέγαν, τὸν εἰς τρίτον οὐρανὸν ἀνελθόντα καὶ ῥημάτων ἀρρήτων ἀνθρωπίναις δηλαδὴ γλώσσαις ἀκούσαντα. Τούτῳ καὶ τῆς ὑπερφυοῦς ἁρπαγῆς νοερῶς καὶ τῶν μυστηρίων κοινωνήσας ὁ μέγας, ἃ μὲν αὐτόθι κατὰ μέρος ἴδοι τε καὶ ἀκούσοι, τὰ μὲν πλείω καὶ ὡς ἄφθεγκτα τὸ παράπαν καὶ ἀκοῆς ἀνθρωπίνης ἐπέκεινα, κατ' αὐτὸν δὴ τοῦτον κἀκεῖνος σιγῇ τετίμηκεν· ἃ δὲ τοῖς αὐτὸς αὐτοῦ φίλοις καὶ μύσταις παρέδειξε μυστικώτερον, ταῦτα δὴ καὶ αὐτός, καθόσον οἷόν τε, συνελὼν δώσω τῷ λόγῳ, αὐτὸν προστησάμενος τοῦ λόγου τὸν ἐκείνου Θεόν, μηδέν τι τῆς ἀληθείας ὑφεῖναι, μηδὲ τὴν ὑψηλοτάτην τοῦ ἀνδρὸς ἑκοντὶ φιλοσοφίαν ὑβρίσαι, εἰ καὶ φειδοῖ τῶν ἀσθενεστέρων ἔστιν οὗ τὸν λεπτότερον

21 πολίτευμα] Φιλιπ. γ'. 20. — 22/23 Κορινθ. 2 ιβ', 2-4.

Digitized by Google

λόγον συστέλλομεν, μέτρα τιθέντες εὐλόγως λόγοις τε καὶ καιροῖς, κατὰ τὸν σοφὸν δηλαδὴ Σολομῶντα, καιρὸν ὁρίζοντα παντὶ πράγματι, καὶ οὐδ' ἄπο γνώμης ἐκείνῳ τὸ "πᾶν μέτρον ἄριστον", ἄριστα καὶ ὡς ὀλίγοι τῶν πάντων φιλοσοφήσαντι. Ἀλλ' ἐπὶ τὸ προκείμενον αὖθις ἴωμεν.

38. Ἐνιαυτῶν μὲν κύκλος ὅλων τριῶν ἐμέτρει τῷ ἀθλητῇ, τὴν ἐν ταῖς ξηροτάταις ταύταις ἐρήμοις περίοδον πρός τε χειμῶνα καὶ καύσωνα γενναίως ἀνθισταμένῳ τῷ ἀσάρκῳ τε καὶ ἀτρόφῳ πρός γε τὰς ἀΰλους ὑπὲρ πάντα λόγον ἁμιλλωμένῳ δυνάμεις καὶ τὰς τοῦ πνεύματος ἐλλάμψεις ἐξ ἐφαμίλλου ταύταις δεχομένῳ, καθὰ δὴ καὶ φθάσας ὁ λόγος ἐδήλωσε· μᾶλλον μὲν οὖν κἀκείνας αὐτὰς ὑπερφυῶς καταπλήξας, οἷς μετὰ τῆς ὕλης ὡς ἄυλός τις ἔσχεν ὑπὲρ ὕλην φρονῆσαι, φοβερός τε διὰ ταῦτα πολλῷ τινι τῷ περιόντι καὶ θηρίοις ὀφθεὶς καὶ τοῖς Δαίμοσι, τὴν ἐξωτέραν ἔρημον αὖθις τὴν πρὸς Ἰορδάνην καταλαμβάνει, συμπαθές τι καὶ προσηνέστερον οἷον εἰς διατριβὴν ἀνθρώπων τε καὶ λοιπῶν ζῴων βλέπουσαν· ἐπεὶ καὶ βοτάνας ἔστι συλλέγειν αὐτόθι καὶ ὕδατί που κεχρῆσθαι πρὸς παραμυθίαν τοῦ δίψους. Ἀλλ' ὁ πειραστής, τὴν φύσιν ἄυλος ὤν, τοῦ πειράζειν ἔληγεν οὔμενουν, οὐδὲ κάματός τις ἀντιβαίνειν αὐτῷ τὸ παράπαν ἠδύνατο, καίτοι γε πολλάκις ἀνηνύτοις ἐπιχειρῶν, ὅπερ ἔφθην εἰπών, ἔγνω καὶ καθ' ἑαυτοῦ συσκευάζων τὸν πόλεμον· ἀλλ' ὁ φθόνος αὐτὸν ἠρεμεῖν οὐκ εἴα καὶ ταῦτα πάσχοντα. Τῆς γοῦν δι' αὐτὸς αὐτοῦ μάχης πρὸς τὸν μέγαν ἀφέμενος—ταύτην γὰρ ἀφεστηκόσι καθάπαξ τῶν ἀνθρώπων ἐπανιστᾶν τοῖς ἀγωνισταῖς πέφυκε—, τὴν διὰ τῶν ἀνθρώπων αὖθις ἐγείρει φιλοτιμώτερον, ἐπεὶ καὶ τοῖς ἀνθρώποις κατ' ὀλίγον αὐτὸν ἔβλεπε πλησιάζοντα καὶ τὴν εἰς τὴν οἰκουμένην ἐπιδημίαν αὐτοῦ πονηρὸς ὢν ὑπώπτευε φῶς ἐσομένην τοῖς ἐν σκότει καὶ ὁδηγὸν πλανωμένοις καὶ ψυχαῖς ἀληθῆ σωτηρίαν ἐκζητεῖν ἑλομέναις τὸν Κύριον· ὃ δὴ καὶ τοῖς ἔργοις ὁ τῶν ἀγαθῶν χορηγὸς δεσπότης ἐσύστερον ἡμῖν καθυπέδειξεν, αὐταῖς ἐπιβουλαῖς καὶ βασκανίᾳ τῇ καθ' ἡμῶν ἀφανισμῷ τὸν ἀποστάτην δούς, καθάπερ

2 Ἐκκλ. γ', 1. — 24 *αφεστικόσι* B. — 29 *πλανομένοις* B.

Digitized by Google

τινὰ χαλκὸν ἰῷ τῷ ἰδίῳ συμφθειρόμενον αἴσχιστα· τὸ δ' οὖν παρὸν τοῦ πολέμου τέως ὅλαις χερσὶν ἥπτετο.

39. Ἄραβας αὐτῷ τοίνυν ἀνὰ τὴν ἔρημον, οὕτως ὡς εἶχε σχήματος ἀλλομένῳ, δύο τινὰς ἐπανίστησιν· οἳ καὶ περιτυχόντες αὐτῷ καὶ καινὴν πάντη καὶ ἄτοπον αὐτοῦ κατειπόντες πρόφασιν, ὡς εἴη χρημάτων δηλαδὴ φύλαξ πάλαι τεθησαυρισμένων αὐτόθι χριστιανοῖς, οἳ καὶ τῆς γῆς φασι ταύτης δεσπόζοντες ἐτύγχανον πρότερον, καὶ δεῖ τούτων αὐτοῖς ἐκστῆναι τὸν τόπον καθυποδείξαντα (τοῦ πονηροῦ δ' ἀτεχνῶς ὑποθήκη τοῦτο, τοῦ τὸν πόλεμον συσκευάζοντος) τοσαύταις αὐτὸν σιγῶντα ταῖς πληγαῖς κατακόπτουσι καὶ οὕτω βαρυτάταις (ἀνῆπτε γὰρ αὐτοῖς ὁ Σατὰν τὸν βαρβαρικὸν θυμόν, τῆς Χαλδαϊκῆς ἐκείνης καμίνου πολλαπλασίονα), ὡς καὶ αὐτοὺς ἐκείνους, τὸ ζῆν ἐκείνῳ καθάπαξ ἀπαγορεύσαντας, ὡς νεκρὸν αὐτοῦ που κατὰ βόθρου τινὸς ἀπολιπεῖν αὐτόθι βουλεύεσθαι· ἔπειτα δείσαντες, μήπου τοῦ πτώματος ἀνασφήλας (ὑπῆν γὰρ αὐτῷ ζωτική τις ἔτι μικρὰ δύναμις) καὶ τῷ σατράπῃ τοῦ ἔθνους δῆλος γενόμενος κινδύνου πρόξενος αὐτοῖς γένοιτο (φίλον γὰρ εἶναι πρός γε τὸ ἡμέτερον γένος διὰ πολλάς τινας τὰς αἰτίας, τοῖς ἀρχηγοῖς ἐκείνων ἄνωθεν ὥσπερ νενόμιστο), τοῦτο τὰ πονηροῦ δείσαντες ὄργανα κακῷ τὸ κακὸν ἐπεχείρουν ἰᾶσθαι κάκιστά τε καὶ ἀτοπώτατα· ἀποκτεῖναι γὰρ ἐπ' οὐδεμιᾷ τὸ παράπαν προφάσει ψηφίζονται τὸν ἀνεύθυνον, ὡς ἂν τοῦ προρρηθέντος ἐκεῖνοι δέους σφᾶς αὐτοὺς ἀπαλλάξειαν. Κἂν εἰς ἔργον ἐξέβη τὸ κάκιστον βούλευμα, μὴ τοῦ Θεοῦ κεκωλυκότος εὐθύς, τοῦ δι' ἐκείνου τὴν σωτηρίαν πόρρωθεν ἡμῖν φιλανθρωπότατα καταρτίζοντος· ὡς γὰρ τῶν δημίων ἐκείνων ἅτερος ἠρκὼς ἦν ἄνω τὸ ξίφος, ὥστ' ἂν ἀφελέσθαι τὸν ψυχορραγοῦντα τῆς κεφαλῆς — ὢ δίκης ἐξαισίων ἔργα Θεοῦ! —, ξηρά τε καὶ ἄπρακτος εὐθὺς ἦν ἡ χεὶρ αὐτῷ ξίφει, κατὰ μέσον ᾐωρημένη τὸν ἀέρα καὶ δίκας εἰσπραττομένη τοῦ παραλόγου τολμήματος. Τοῦτο τὸν μὲν ἕτερον δέους ἐμπλῆσαν ὅλῳ ποδὶ φεύγειν ἔπειθε, τούτῳ δὴ καὶ μόνῳ τὴν σωτη-

4 *ἀλωμένω* B. — 14 *αὐτίκα* B, $\overset{\text{όθι}}{\text{αὔτικα}}$ M.

ρίαν πιστεύσαντα· τὸν δέ γε πληγέντα νοῦς εἰσῆλθεν εὐθύς, πολύν τε τὸν μετάμελον εἶχε καὶ θερμὰ τῶν ὀφθαλμῶν ἀπέσταζε δάκρυα, τὴν ἀθρόαν συμφορὰν ἐκείνην ἀποδυρόμενον. Τί οὖν ἡ φιλανθρωποτάτη ψυχὴ καὶ τῷόντι χριστομίμητος τὴν συμπάθειαν; Ἐπεὶ τοῦ γενομένου συνῆκε, κατοικτείρει τῆς συμφορᾶς τὸν ἑαυτοῦ δήμιον, καὶ πρὸς οὐρανὸν ἀπιδών, μικρόν τε τὰς χεῖρας πρὸς Θεὸν ἀνατείνας οἷον, οὐ γὰρ κατὰ φύσιν ἐκτείνειν εἶχε ταῖς πληγαῖς ἐκείναις κατειργασμένας, ἐνεργόν, ὡς τὸ πρότερον, αὖθις τῷ πεπληγότι τὸ μέλος ἀποκαθίστησι. Καὶ ὁ μὲν ὀξυτέραν τοῦ πάθους εὑρηκὼς παρ' ἐλπίδα τὴν θεραπείαν, ἀπιὼν εὐθὺς ᾤχετο, τῷ κειμένῳ δ' αὖθις ἐπιστὰς ὁ γλυκὺς ἐκεῖνος ἐπίκουρος, ὁ λαμπρὸς Ἄγγελός φημι τοῦ Θεοῦ, καὶ τῆς τούτου δεξιᾶς λαβόμενος ἱλαρῶς ἀνίστησί τε καὶ τῆς συνήθους ἐμπίπλησι χάριτος καὶ πάντα παρῆν εὐθὺς ὁμοῦ τὰ χρηστά, σώματος ῥῶσις, εὐφροσύνη ψυχῆς, φωτισμὸς ἀμφοτέρων καὶ πρὸς τὸ μέλλον εὐδρομία κοινή.

40. Ὁ μὲν οὖν φανείς, ὧν ἔδει κοινωνήσας ἐκείνῳ καλῶς, πρὸς ἑαυτὸν ἐπανήρχετο πάλιν, κατὰ θείους δηλονότι θεσμούς· ὁ δὲ τῶν αὐτῷ συνήθων αὖθις ἐχόμενος ἐνιαυτὸν μὲν ἕνα καὶ κατὰ ταύτην δὴ τὴν ἔρημον ὁμοίως φιλοσοφεῖ· εἶτα τὸν Ἰορδάνην αὖθις καταλαβὼν τὸ τοῦ φίλου καὶ ὁμωνύμου πατρὸς Σάβα φημὶ τοῦ πάνυ φροντιστήριον εἴσεισιν, ᾧ δὴ καὶ περιγράψας ἡδέως— πῶς ἂν εἴποις;— αὐτὸς ἑαυτὸν τὸ παράπαν ἀπρόϊτος ἦν, ἑαυτῷ δηλαδὴ προσλαλῶν μόνῳ καὶ τῷ Θεῷ καὶ οἱονεί τις ἄριστος ἔμπορος τῷ διὰ μακρῶν ἀγώνων προσγενομένῳ πλούτῳ μετὰ πλείστης ὅσης τῆς ἡδονῆς τε καὶ τῆς ἀδείας ἐπεντρυφῶν. Ἡμέραι παρῆλθον οὐχὶ συχναὶ καὶ τοῖς αὐτόθι φροντιστηρίοις γνωσθέν, ὡς ὁ μέγας ἐπανήκει Σάβας τῆς μακρᾶς ἐκείνης ἀναχωρήσεως, μοναχῶν ὅλους χοροὺς ἐκάλει κατὰ θέαν ἐκείνου· οὐχ ἡ τοῦ Ἰορδάνου δὲ μόνον περίχωρος, ἀλλὰ καὶ Παλαιστίνη πᾶσα πρὸς αὐτὸν ἐξεχεῖτο, τῆς φήμης ὀξυτάτῳ πτερῷ πάντας ἐπ' αὐτὸν καλούσης οὐδὲν ἧττον ἢ τὴν Ἰουδαίων φατρίαν ἐπὶ τὸν Ἰορδάνην αὐτὸν καὶ τὸν Βαπτιστὴν πρότερον· ἡδονὴ γὰρ οὐχ οἵα καὶ ῥηθῆναι ῥᾳδία

2 *μετάμελλον* B. — 20 *ὁμονύμου* B.

κατεῖχεν αὐτοὺς σὺν πολλῷ τινι θαύματι, οὐ μόνον ὅτι τὸν ἴσα καὶ κεφαλῇ, μᾶλλον δὲ καὶ ὑπὲρ αὐτήν, εἰ οὕτω χρὴ λέγειν, τιμώμενον αὐτοῖς τὴν ψυχὴν ὁρᾶν εἶχον, ἀλλ' ὅτι καὶ τὸν μετὰ πόθου τινὸς ἀρρήτου πλεῖστον ἀναζητούμενον ἤδη χρόνον ἀθρόον ὁρᾶν εἶχον ὄλβιόν τινα καὶ θεοφορούμενον ὅλον καὶ τῷόντι τρισμέγιστον ἀπολαβόντες αὐτόν· τοῦτο γὰρ κἀκ μόνης τῆς ὄψεως αὐτοῖς ἐδηλοῦτο τρανότατα, χάριτός τινος ἀρρήτου καὶ λαμπρότητος δαψιλέστατα κατακεχυμένης αὐτῆς, ὡς εἶναι τοῖς προσιοῦσιν ἐκεῖνον χαρὰν ὁμοῦ καὶ κατάπληξιν, ὥσπερ δι' ὀργάνου τινὸς τοῦ συζύγου σαρκίου καὶ τῆς ἐκτὸς προχεομένης τε καὶ ὁρωμένης τῆς χάριτος καὶ μάλιστα τοῖς τῶν ἄλλων πνευματικωτέροις καὶ ὑψηλοῖς, διὰ τὴν ἕξιν τοῦ καλοῦ δηλαδὴ γεγυμνασμένα κεκτημένοις τὰ αἰσθητήρια πρός γε τὴν τοῦ καλοῦ διάκρισιν καὶ τοῦ χείρονος, κατὰ τὸν θεῖον ἀπόστολον· οἳ δὴ καὶ τοῖς ἐκτὸς κήρυκες λαμπροὶ τοῦ κατ' αὐτὸν ἦσαν πράγματος, καὶ θαῦμα τὰς ἁπάντων ἐπλήρου ψυχάς, καὶ πρὸς τοῦτον ὅλῳ θυμῷ καθ' ἑκάστην συνέρρεον. Οὐδὲ τὸ τῶν Ἰσμαηλιτῶν ἔθνος ἔξω τοῦ κατ' αὐτὸν ἦσαν λόγου καὶ θαύματος· ἀλλὰ καὶ τούτοις, καίτοι γε τοιούτοις οὖσι, πολὺς ὁ περὶ τοῦ ἀνδρὸς λόγος ἦν καὶ σὺν αἰδοῖ τινι τούτῳ προσεῖχον καὶ τοῖς ὑπὲρ ἐκείνου λεγομένοις μεθ' ἡδονῆς προσετίθεντο. Ὁ μὲν οὖν ἐν ἐκείνοις ἦν, ἡσυχίᾳ δηλαδὴ καὶ ταῖς ὑπερφυέσι θεωρίαις πρὸς Θεὸν καθ' ἑκάστην ἀνατεινόμενος καὶ ἀκορέστως τοῦ κάλλους ἐκείνου κατατρυφῶν· ἀλλ' ἄθρει μοι πάλην ἑτέραν ἀγωνιστοῦ· ἥκει καὶ γὰρ ὁ λόγος ἤδη πρὸς αὐτὸ τῶν παλαισμάτων φημὶ τοῦ ἀνδρὸς τὸ κεφάλαιον.

41. Ἐπειδὴ πᾶσαν ὁ πονηρὸς ἐπενεγκὼν πεῖραν καὶ πάντα κάλων κινήσας, ὃ λέγεται, καθ' ὑδάτων ἐδόκει γράφειν, ἢ ξαίνειν νεφέλας, ἢ τοξεύειν τὸν οὐρανόν, ταῦτα δὴ τὰ ἐπὶ τῶν ἀδυνάτων λεγόμενα, τοῦ μὲν ἀγῶνος ἀναχωρεῖν τούτου, καίτοι γε πά-

12/14 Ἑβρ. ε', 14. — 26/27 πάντα κάλων κινήσας] Corpus paroem. II, σ. 104, 287, 600. — 27 καθ' ὑδάτων γράφειν] Corpus paroem. II, 59. Gaisford, Paroemiographi, σ. 69. — 28 ξαίνειν νεφέλας] Gaisford, σ. 83, 209. Corpus, II, σ. 27, 41, 542 || τοξεύειν τὸν οὐρανὸν] Gaisford, σ. 291.

Digitized by Google

λαι προσῆκον ὄν, οὐκ ἠδύνατο—πῶς γάρ, εἰς οὐρανὸν ὑπερφυῶς μετὰ τῆς ὕλης ἀνιόντα βλέπων ἐκεῖνον, ὅθεν αὐτὸς ἄυλος ὢν ἀθλίως ἐκπέπτωκεν;—, ἐπὶ δὲ τὸν ἔσχατον ἆθλον τουτονὶ καταφεύγει, τὴν ἐσχάτην, ὅ φασιν, ἄγκυραν· τὴν γὰρ ὑπ' αὐτὸν συναγαγὼν πονηρὰν δύναμιν καὶ τὰς φάλαγγας στοιχηδὸν ἀντιτάξας ὡς ἐν πολέμῳ καὶ παρατάξει τινί, στρατηγὸς ὢν αὐτὸς καὶ τῶν ταγμάτων ἄρχων καὶ πρώταθλος, αὐτὸς ἐκεῖνος ἀμέσως δι' ἑαυτοῦ τὸν πόλεμον ὑπεισέρχεται. Καὶ πρῶτα μὲν ἀλαλαγμῷ καὶ θορύβῳ καὶ πατάγοις τισὶ κατασείειν ἐδόκουν τὸ σπήλαιον, ἀναιδέστερον ἐμβοῶντες καὶ μωρίαν τινὰ τὴν ἀπειλὴν καὶ τὴν ὕβριν τοῦ ἀλήπτου καὶ ἀπαθοῦς καταχέοντες· εἶτα κἀκεῖνα προσετίθουν θρασύτερον, "Ἵνα τί κατακαίεις ἡμᾶς"; λέγοντες, "ἵνα τί κατὰ πάσης τῆς ζωῆς καὶ τῆς πράξεως ἡμῶν ὁλοσχερῶς ἵστασαι, τὸ παράπαν ἠδικηκότων οὐδέν; οὐ δυνάμεθά σου φέρειν τοὺς ἀγῶνας καὶ τὴν καθ' ἡμῶν ἀκάματον ταύτην σπουδήν· οὐ στέγομέν σου τὴν ἀκοὴν ὅλως, καὶ πρὸς αὐτὸ δὲ τοὔνομα δυσχεραίνομεν. Ἢ γοῦν τοῦ καθ' ἡμῶν ἀποστὰς τούτου πολέμου καὶ τῆς ἔχθρας σαυτῷ τε καὶ ἡμῖν ἀναπνεῦσαι δίδου μικρόν, ἢ πρὸς τὸν σὸν ἐραστὴν ὅτι τάχος ἀπόδραθι, τὰ ἡμέτερα ταῦτα καταλιπών· ὁ γὰρ πρὸς ἐκεῖνον ἑνωτικὸς ἔρως ἡμῖν ἀποτειχίζει τὸν κατὰ σοῦ πόλεμον. Ἑλοῦ τοίνυν ὁπότερον βούλει τῶν εἰρημένων· εἰ δ' οὖν ἀλλ' ἡμεῖς οὐκ ἀνήσομεν, οὐδ' ἂν εἴ τι καὶ γένοιτο, πάντα ποιοῦντες μέχρις ἂν τῆς προσκαίρου σε ταύτης ζωῆς καὶ ἄκοντα τέως ἐξώσωμεν". Ὁ δὲ μέγας ἀναισθητῶν ἦν ὡσανεὶ πρὸς ταῦτα καὶ κοιμωμένῳ τὸ παράπαν προσεοικώς· πάλαι γὰρ ἐν ἔθει τούτων γενόμενος καὶ τὰς ἐκείνων προσβολὰς ἠσκηκὼς πρὸς ἑαυτὸν εἶχε μόνον καὶ τὸν Θεὸν μετά γε τῆς φίλης ἐκείνης γαλήνης καὶ καταστάσεως, ψελλίσματα παίδων τοὺς θορύβους καὶ τὸν πλατὺν ἐκείνων λῆρον ἡγούμενος. Καὶ οἳ μὲν αὖθις ἀλαλαγμῷ καὶ τραχυτάταις τισὶ καὶ ἠγριωμέναις βοαῖς "Οὐκ ἀκούεις ἡμῶν"; ἔλεγον· "οὐκ ἀποκρίνῃ τὸ παράπαν οὐδέν; περιφρονεῖς καὶ τῆς σπουδῆς ἡμῶν καὶ τῶν παύσεων"; Ὁ δὲ πρὸς μὲν ἐκείνους αὖθις οὐδέν, πρὸς δὲ Θεὸν

27 *ψελίσματα* B.

ἐκεῖνα τὰ προφητικὰ προσφόρως ὑπέψαλλεν· "Οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν· ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ· καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς, ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα". Οἳ δ' ὥσπερ μανίας μᾶλλον πλησθέντες ἐντεῦθεν καὶ θράσους καὶ μηδὲ κατέχειν ἑαυτοὺς ἔτι δυνάμενοι κατὰ τοῦ μεγάλου χωροῦσι τρόπῳ τοιῷδε· πάντοθεν ἑαυτοὺς συναγαγόντες καὶ ὥσπερ εἷς τῷ συνασπισμῷ γενόμενοι σὺν ἀλαλαγμῷ μεγίστῳ χερσὶ φονώσαις—ὢ Θεοῦ κριμάτων!—αὐτὸν ἁρπάζουσι καὶ τῷ παρακειμένῳ κρημνῷ κατὰ κεφαλῆς φέροντες ἀκοντίζουσιν. Ὁ μὲν οὖν κρημνὸς οὕτω βαθύτατος ἦν καὶ μόνον ἰδεῖν φοβερώτατος, ὡς μηδ' ἂν ἐν τοῖς ζῶσιν εἶναί ποτε δύνασθαι τὸ καταπεσὸν ἅπαξ αὐτόθι, κἂν ἄνθρωπος, κἂν κτῆνος, κἂν ὁτιοῦν· ἀλλὰ "τοῖς Ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ καὶ ἐπὶ χειρῶν ἀροῦσί σε" νοητῶς οἶμαί που καὶ ὁ θαυμαστὸς ἐνταῦθα Σάβας κατὰ καιρὸν ἤκουεν. Οὐκ ἤκουε δὲ μόνον, ἀλλὰ καὶ πράγμασιν αὐτοῖς ὁρᾶν εἶχε καὶ πάσχειν ὑπερφυῶς τὸ μέγα τεράστιον· οὐ γὰρ κατὰ κεφαλῆς, ὥσπερ δὴ καὶ τοῖς ἀλάστορσιν ἐκείνοις ἦν πρὸς βουλῆς, ἀλλ' ὄρθιος ὅλος καὶ κακῶν ἀπαθὴς—ὢ τῆς πάντα φερούσης τοῦ Χριστοῦ δυνάμεως!—κατ' ἐκείνου τοῦ βαθυτάτου χάσματος ἵσταται· κἀκεῖθεν τὸ κατὰ τῶν πολεμίων περιφανῶς ἐκεῖνος μᾶλλον ἀνίστησι τρόπαιον, χάσματι καὶ βυθοῖς ἀπωλείας ἐκείνους αὐτοὺς παραδούς, ὡς μηδὲ προσβάλλειν εἰσέτι τολμᾶν, εἰ καὶ μέχρι τοῦ δεῦρο λόγοις οἰκονομίας ὑψηλοτέροις ταυτὶ συγκεχώρητο, ἀλλ' εἶναι τοῦτο πέρας τῶν πειρασμῶν καὶ τελείαν ὄντως κατάλυσιν· τὸ δ' ὅπως, ὁ λόγος ἤδη δηλοῦν ἕτοιμος.

42. Κάτεισι μὲν ὁ μέγας τὸν βαθύτατον, ὡς ἔφην, κρημνόν, ὑπ' ἐκείνου τοῦ φρουροῦντος Ἀγγέλου χερσὶ πάντως ἀΰλοις ἀσφαλέστατα διαβασταζόμενος, καὶ τοὺς μὲν πόδας ἐρείσας κατὰ τῆς γῆς, εἰς οὐρανὸν δὲ καὶ χεῖρας ἔχων καὶ ὀφθαλμούς—ὢ τῶν φρικτῶν τουτωνὶ τοῦ Χριστοῦ μυστηρίων!—ἐφ' ὅλας ἡμέρας αὐτόθι

1/6 Ψαλμ. λζ', 13-16. — 14/15 Ψαλμ. ϟ', 11-12.

Digitized by Google

τεσσαράκοντα ἵσταται, μὴ τροφῆς, μὴ ποτοῦ τὸ παράπαν ἁψάμενος, ἄκαμπτος, ἀκλινὴς ὅλος καὶ ἄυπνος, ἀνδριὰς ἐξ ἀψύχου τινὸς ὡσπερεὶ κατασκευασθεὶς ὕλης, ἢ φύσιν εἶπεν ἄν τις μᾶλλον αὐτὸν ἄυλον, ἐπ' ἐκπλήξει φανεῖσαν τῆς ἀνθρωπείας φύσεως, εἰ μήπου Μωσέα τις λέγοι τὸν μέγαν ὑπηρέτην τῶν Θεοῦ μυστηρίων, ὑπερφυῶς εἰσελθόντα τότε τὸν γνόφον καὶ τὰς τοῦ νόμου πλάκας δεξάμενον· ᾧ καὶ διπλοῦ τοῦ ῥηθέντος ἀριθμοῦ τῶν ἡμερῶν μετὰ διπλῆς τῆς προσεδρείας, καθάπερ ἴσμεν, ἐδέησεν, ἐπ' ἀνακαινισμῷ τῶν ἱερῶν ἐκείνων γραμμάτων, ἃ δηλαδὴ τῶν νομοθετουμένων ἀκρασία συνέτριψεν, ἢ εἴ τινα κατ' ἐκεῖνον — οὐκ οἶδα — Θεοῦ μυστηρίων αὐτόπτην καὶ ὑπουργὸν ὑπερφυῶς χρηματίσαντα. Ἀλλὰ τί ταῦτα, καίπερ ὄντα τοιαῦτα, πρὸς τὴν ὑπερφυᾶ τοῦ ἀνδρὸς ἁρπαγήν τε καὶ θεωρίαν, ἢ μετάστασιν ἐν σαρκί, ἢ οὐκ οἶδ' ὅπως ἂν ταύτην καὶ φῶ, πᾶσαν ἀκοὴν καὶ λόγον ὑπερφυῶς ὑπερβαίνουσαν; ἔτι λάκκους ὑδάτων τινὰς ἢ καὶ χειμάρρους ἐκλείποντας ἄντλεῖν δοκιμάζομεν, τὸ μέγα τῆς θαλάττης ἀφέντες πέλαγος· ἔτι τὰς καθ' ὑδάτων ἐμφάσεις τε καὶ σκιὰς τοῦ θαυμαστοῦ περισκοποῦμεν ἡλίου, τῆς φυσικῆς ἀκτῖνος καὶ τῆς λαμπρότητος πόρρω κείμενοι· οἶμαι γάρ, εἴ πού τινα φύσιν ἀνθρωπείαν ἐπὶ τῆς γῆς ἔδει φανῆναι, πᾶσαν μὲν ἀρετῆς εἰς ἄκρον ἐν ἑαυτῇ συναγαγοῦσαν ἰδέαν, ὅση τε τῆς θεωρίας καὶ ὅση τῆς πράξεως, πᾶσαν δὲ χάριτος θεϊκῆς αἴγλην ὑπερφυῶς ἐν σαρκὶ δέξασθαι δυναμένην, οἱονεί τινα φάναι παντοδαπὴν εἰκόνα καλοῦ, δεῖγμα μὲν τῆς τοῦ δεσπότου φιλοτιμίας, ὡς οὐκ οἶδ' εἴ τι τῶν πάντων, ἔκπληξιν δὲ τῶν ἀΰλων περὶ αὐτὸν φύσεων, οἷς μετὰ τῆς ὕλης τῶν αὐτῶν ἐκείνοις ὑπερφυῶν ἠξιώθη, τῆς δὲ κοινῆς τῶν ἀνθρώπων οὐσίας οἱονεί τι κοινὸν ἀρχέτυπον καὶ παράδειγμα πᾶσι μὲν ὑπερφυῶς θαυμαζόμενόν τε καὶ ποθούμενον, πᾶσι δ' ὡσαύτως ἀνέφικτόν τε καὶ ἄληπτον, ὥσπερ εἰς ἔκπληξιν ἢ καί τινων ἀφορμὴν ἀγώνων τισὶ προτεθὲν μόνον, οὐκ εἰς ἀκριβῆ μίμησιν τοῦτο τὴν ἐν σαρκὶ τοῦ ἀνδρὸς ὑπὲρ φύσιν εἶναι ζωὴν καὶ τὸ καινὸν ἐκεῖνο πολίτευμα· ἃ δὴ καὶ κατὰ δύναμιν τῷ λόγῳ προσθήσω, τοῦτο καθά-

4/11 Ἐξόδ. λβ'-λδ'. — 19 *ἀνθρωπίαν* B.

Digitized by Google

παξ, ὅπερ ἔφθην εἰπών, ἐνστησάμενος, τὸν μὲν ἔφορον τοῦ λόγου τε καὶ τῆς ἀληθείας ἐν ἅπασι προϊστάμενος, μικρὰ δὲ τῶν ἀπιστούντων φροντίζων, ὡς μικρὰ περὶ τούτου φρονούντων καὶ τὸ παράπαν ἀνάξια. Τρεῖς μὲν οὖν ἰσάριθμοι παρῆλθον ἡμέραι καὶ νύκτες κατ' ἐκείνου τοῦ βόθρου προσευχομένῳ δηλαδὴ τῷ μεγάλῳ καὶ τὰς χεῖρας ἀκλινῶς τεταμένας εἰς οὐρανὸν ἔχοντι· εἶτα φησίν· "Ἐδόκουν ἁρπαγεὶς ἐκεῖθεν ἀρρήτως ὑπεράνω γενέσθαι τῶν οὐρανῶν· φωτὸς μὲν οὖν χύσις (ἀλλὰ πῶς ἄν τις εἴποι τὴν ἄρρητον αἴγλην ἐκείνου καὶ τὴν δαψίλειαν, οἱονεί τι πέλαγος ἄπειρον τοῦ ὑπερουρανίου πλάτους καταχεχυμένου παντός;) ὡσανεὶ πλημμυρεῖν ἐδόκει καὶ πάντα κατακλύζειν τε καὶ καταλαμπρύνειν τῷ μεγέθει τῆς ὑπερφυοῦς ἀστραπῆς· τὸν δὲ γλυκύτατον Ἰησοῦν—ὢ τῆς ἀφάτου θυμηδίας καὶ δόξης ἐκείνης!—ὑπερκαθήμενον τοῦ πλάτους τούτου δὴ τοῦ φωτὸς ὑπερφυῶς" φησίν "εἶχον ὁρᾶν. Χίλιαι μὲν οὖν χιλιάδες καὶ μυρίαι μυριάδες ταγμάτων ἀγγελικῶν κύκλωθεν ἑστηκυῖαι, κατὰ τὸν μέγαν εἰπεῖν Δανιήλ, ἐλειτούργουν αὐτῷ· φωτὸς δὲ πηγή τις ἀκένωτος αὖθις ποταμηδὸν ἐκεῖθεν προχεομένη, πολλαπλασίως ἐκεῖνο δηλαδὴ τὸ φῶς ὑπερβαίνουσα, τὰς ἀγγελικὰς δυνάμεις, καίτοι γε φῶς καὶ αὐτὰς ὁρωμένας, λαμπρότερον ἐφαίνετο καταστράπτουσα· ἐμοὶ δὲ" φησί "κόρος οὐκ ἦν, τὸν γλυκύτατον οὐκ οἶδ' ὅπως Ἰησοῦν θεωμένῳ καὶ τὴν ἐκεῖθεν ἐξαλλομένην τοῦ φωτὸς ἄρρητον δύναμιν καὶ λαμπρότητα· ὅλος γὰρ ἦν γλυκασμός, κατὰ τὸ εἰρημένον, ὅλος ἐπιθυμία καὶ ἔφεσις, κάλλος ἀπόρρητον, ἀθανασία τε καὶ χαρὰ καὶ εὐφροσύνη τις ἀνεκλάλητος. Ὅθεν καὶ κόρου παντὸς ἐκεῖθεν ἀπεληλαμένου, μᾶλλον δ' ἐπιθυμίας προστιθεμένης καὶ πρὸς τὸ ἄναντες ἀνατεινούσης, κατὰ τὸν εἰπόντα, διόλου, τῆς ἀρρήτου θυμηδίας καὶ τῆς δόξης πῶς ἂν ἑκὼν ποτ' ἀπέστην ἐκείνης, καὶ εἰ πρὸς ἄπειρον αἰῶνά τινα παρατείνεσθαί μοι τὰ τῆς ἀποκαλύψεως εἶχε, μή τοί γε τὸν βραχὺν τοῦτον τῶν ἡμερῶν ἀριθμόν, ὃν καὶ σωματικαῖς τισιν ἐργασίαις προσασχολουμένους τινὰς τῶν πατέρων ἐν ἀσιτίᾳ καὶ στάσει παντελεῖ διανύσαντας ἴσμεν, ἐν τῷ κατὰ φύσιν ὑπὲρ

8 *χύσις* M, *χάρις* B. — 16 Δανιὴλ ζ', 10. — 24 *κάλος* B.

Digitized by Google

φύσιν κατωρθωκότας τὰ πέρα τῆς κοινῆς φύσεως; Ταῦτα", φησὶν ὁ μέγας, "ἑώρων". Ἀλλ' ἐν τούτοις γε ὄντι στῦλος ὁρᾶται φωτός (ἐδόκει γὰρ αὖθις ἐπὶ γῆς εἶναι μετὰ τοῦ σώματος), οἱονεί τις ἀπορροὴ καὶ ἀκτὶς τοῦ θείου φωτὸς ἐκείνου κατιὼν ἐπ' αὐτόν· συγκατήει δὲ ἄρα καὶ Ἄγγελος τούτῳ δὴ τῷ φωτὶ συνετίζων ἐκεῖνον τὴν ὅρασιν, καθάπερ ἐν τῷ Δανιὴλ περὶ τοῦ θείου Γαβριὴλ ἔγνωμεν· ὃς καὶ συστὰς αὐτῷ, φωτὸς ἤδη πεπληρωμένῳ καὶ τῆς ἀγγελικῆς λαμπρότητος οὐδὲν ἀποδέοντι—ὦ τῆς μεγάλης σου περὶ τὸν ἄνθρωπον, Χριστέ, δόξης καὶ χάριτος!—, "Ἐμεγαλύνθη σου, βέλτιστε Σάβα", φησί, "τὸ ὄνομα παρ' ἡμῖν καὶ οὐδὲ βουλομένῳ μοι λέγειν ἀκριβῶς ἔξεστιν ὅσην αἱ ἄνω καὶ περὶ Θεὸν τάξεις ἐπὶ τῇ περὶ σὲ δόξῃ καὶ λαμπρότητι καρποῦνται τὴν εὐφροσύνην· αἵτινες ἐφ' ἑνὸς ἁμαρτωλοῦ δηλαδὴ μετανοίᾳ καὶ μόνῃ κοινήν τινα τὴν φαιδρότητα καὶ τὴν ἑορτήν, καθάπερ ἤκουσας, ἄγουσιν. Ἐπεὶ τοιγαροῦν ἐπαναπέπαυται καὶ σοὶ τὸ πνεῦμα τὸ τοῦ Θεοῦ, καθάπερ ἐν ἀποστόλοις φημὶ καὶ προφήταις καὶ τοῖς ἄλλοις, ὅσοι δηλαδὴ κατ' ἐκείνους τῷ πνεύματι (οὐ γὰρ ἔδωκας, κατὰ τὸ γεγραμμένον, ὕπνον τοῖς σοῖς ὀφθαλμοῖς, οὐδὲ τοῖς κροτάφοις ἀνάπαυσιν, ἕως ἂν εὕρῃς σεαυτὸν αὐτὸς δηλονότι τόπον καὶ σκήνωμα τοῦ Θεοῦ, ἕως οὗ τῇ εἰκόνι καλῶς ἀποδοὺς τὸ κατ' εἰκόνα τὸ ἀρχαῖον ἀπολάβῃς κάλλος ἐκεῖθεν καὶ τὸ ἀξίωμα· καὶ πρότερον μὲν ἔχεις ἀπολαβὼν ἤδη τοῦτο καὶ τὸν κοινὸν κατ' ἐκείνους φημὶ τοὺς τῶν αὐτῶν ἠξιωμένους ἰδεῖν ὑπερφυῶς ἠξιώθης δεσπότην, καὶ νῦν δ' αὖθις λαμπρότερόν τε καὶ ὑψηλότερον ἐκεῖνο προσκτησάμενος ἔχεις καὶ διὰ τοῦτο καὶ τῆς μεγάλης ταύτης ἀστραπῆς καὶ τῆς θεοφανείας ἐναργέστερον νῦν ἀπολαύεις, καθ' ὅσον οἷόν τε χάριτι καθορῶν ὑπερφυῶς τὸν τῇ φύσει καθάπαξ ἀόρατον· οἱ γὰρ τὸ ἀρχαῖον ἀξιωθέντες ἀπολαβεῖν κατὰ σέ φημι κάλλος καὶ τὸ ἀξίωμα, ἐν αὐτῷ δὴ τούτῳ χάριτι καθορῶσι τὸν Κύριον), ἔξεστι καὶ σοὶ τοιγαροῦν ἀπό γε τοῦ νῦν, ὦ βέλτιστε, τὸ ἀπόδημον ἐκεῖνο κάλλος αὖθις εἰσοικισαμένῳ καλῶς καὶ τὴν θαυμαστὴν υἱοθεσίαν

6 Δανιὴλ η', 16. — 13/14 Λουκᾶ ιε', 10. — 17/19 Ψαλμ. ρλα', 4-5.

Digitized by Google

ἀπολαβόντι μετά γε τοῦ βελτίστου παντός, ἐν αὐτοῖς δὴ τούτοις ἀπροσκόπως τὸν τῆς δικαιοσύνης ὁρᾶν ἥλιον, υἱὸς καθάπερ πατρὶ προσλαλῶν ἤδη μετὰ παρρησίας καὶ τῶν κατὰ γνώμην οὐμενοῦν ἀποτυγχάνων οὐδέποτε· οὐ μὴν ἀλλὰ καὶ τῇ μεγίστῃ πρὸς Θεοῦ δόξῃ ταύτῃ καὶ τῇ τιμῇ καὶ ἡ τῶν ἀνθρώπων σὺν ἀπορρήτῳ τινὶ τῷ φίλτρῳ προσέψεται, καὶ τοῖς Δαίμοσι δ' αὖθις ἐξ ἐφαμίλλου φοβερὸς ἔσῃ καὶ τὸ παράπαν ἀπρόψαυστος, εἴπερ τις τῶν ἁπάντων ποτέ· τούτων καὶ γὰρ πάντων αὐτάγγελος ἐγώ σοι καθίσταμαι νῦν, ὡς ὁρᾷς, παρὰ τοῦ Θεοῦ, καὶ ἄλλως οὐκ ἔστιν. Ἐπὶ πᾶσι δὲ τούτοις κἀκεῖνό σε βούλεται δι' ἐμοῦ μαθεῖν ὁ Θεός, ὡς αὐτὸ τοῦτ' ἔστιν ἐκεῖνο τὸ σοὶ σήμερον ὑπερφυῶς ἀποκαλυπτόμενον, τὸ καὶ πάλαι δηλονότι ῥηθὲν ἐν τοῖς Εὐαγγελίοις αὐτῷ, τὸ "μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται"· ὅπερ ἐστὶν ἡ μέλλουσα τῶν δικαίων ἀπόλαυσις ἐναργῶς, ἡ περιώνυμος αὐτή φημι βασιλεία τῶν οὐρανῶν, ἧς δηλονότι τῶν προοιμίων κἀντεῦθεν ἀξιοῦσθαι πεφύκασιν οἱ διὰ καθαρότητος περιουσίαν τὸ τῆς υἱοθεσίας καλῶς ἐφθακότες ἀξίωμα". Ὁ μὲν οὖν Ἄγγελος ταῦτα τὸν ὁρῶντα συνετίζων ἦν καὶ τὰ τούτοις φησὶ παραπλήσια· ὁ δὲ μέγας, ἐπεὶ καὶ σύνεσις αὐτῷ πρὸς τοῦ μυσταγωγοῦντος ἐδόθη τῶν ὑπὲρ φύσιν καὶ οὖς, κατὰ τὸν εἰπόντα προφήτην, ὥστε ἀκούειν, καὶ πρὸς τούτοις καὶ ὀφθαλμοὶ τοῦ βλέπειν "ἃ ὀφθαλμὸς οὐκ εἶδε πάντως καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν"—ὃ περὶ τῶν μαθητῶν τῶν πάλαι συνελθόντων Χριστῷ τὸ Θαβώριον ὁ θεοφόρος Δαμασκηνὸς φθάσας ἤδη πεφιλοσόφηκε, παρὰ τοῦ ἀποστόλου σαφῶς ἐκδεξάμενος—, ἵστατο τῆς θεωρίας ἐκείνης ἀκορέστως κατατρυφῶν καὶ τοῖς ὑπερφυέσιν ὑπερφυῶς ὅλος ἐνδιατρίβων ἐφ' ὅλαις, ὅπερ ἔφην, ταῖς τεσσαράκοντα· "ὑπὸ γὰρ τοῦ κατελθόντος", φησίν, "ἐκεῖθεν φωτὸς ἐπ' ἐμέ, ᾧ τινι καὶ τὸν μυσταγωγὸν θεῖον ἐκεῖνον Ἄγγελον ἔφην συγκατελθεῖν, ὅλος

2 δικαιοσύνης ὁ. ἥλιον] Μαλαχ. δ', 2. — 13 Ματθ. ε', 8. — 17 υἱοθεσίας] Ῥωμ. η', 15, 23. θ'. 4. Γαλάτ. δ', 5. Ἐφεσ. α', 5. — 20 Βαρούχ β', 31. — 22/24 Κορινθ. 1, β', 9.

Digitized by Google

περιλαμφθείς, ὡς μηδὲ σῶμα περιβεβλῆσθαι δοκεῖν, ἢ περιβεβλῆσθαι μέν, λεπτότατον δ' ὅλον καὶ ἀέριόν πως καὶ φωτεινόν, ὡς μηδέν τι παρεμποδίζειν τῇ φυσικῇ τοῦ νοῦ καθαρότητι δύνασθαι, μᾶλλον δὲ καὶ ἄμφω ταῦτα πρὸς ἓν ὑπερφυῶς ἤδη μετεσκευάσθαι δοκεῖν, κατὰ τὸν εἰπόντα, τῇ τοῦ κατακρατήσαντος ἀμφοτέρων ἀγαθοῦ πνεύματος χάριτι· καὶ αὐτὸς ἐμαυτὸν ἀκριβέστατα κατανοεῖν εἶχον, οὐκ οἶδ' ὅπως, τὸ φυσικὸν αὐτό φημι κάλλος τοῦ νοῦ τε καὶ τῆς ψυχῆς, μηδὲ λόγοις ἑρμηνεύεσθαι δυνατὸν ὄν".

43. Ταῦτα καὶ πάσχειν ὑπερφυῶς ἔσχες, κατὰ θείαν καὶ ὑψηλοτέραν ἔκστασιν τῶν κατὰ φύσιν τοῦ νοῦ κινημάτων, ἄνθρωπε τοῦ Θεοῦ, καὶ κατέχειν παρὰ σαυτῷ τοῖς πᾶσι τὸ παράπαν ἀνέκφορα, μυστήρια, τό γε νῦν ἔχον, εἰδώς, τὴν τοῦ μέλλοντος αἰῶνος ἀποκάλυψιν ἐκδεχόμενα· οὐ μὴν ἔμελλες εἰς τέλος παρὰ σαυτῷ ταῦτα καθέξειν ἀπόρρητα· οὐδὲ γὰρ εἶναι τοῦτο τῆς θείας ἔργον χρηστότητος, ἥτις ἄρα σε καὶ τὰς ἐρήμους ἀπολιπόντα παλινδρομεῖν αὖθις πρὸς ἡμᾶς καὶ τὴν οἰκουμένην ἐκέλευεν ἐπὶ σωτηρίᾳ πολλῶν· ὃ δὴ καὶ μετὰ μικρὸν ὁ λόγος δηλώσει μοι. Μᾶλλον δ' ἵνα περὶ τούτου διελόντες τι φιλοσοφήσωμεν ἀκριβέστερον, ὥσπερ ἡ Καινὴ Διαθήκη, τοῦτο δή φημι τὸ κατὰ Χριστὸν Εὐαγγέλιον, μυστήριον τῆς Παλαιᾶς ὂν ἐκείνης (τύπος γὰρ τύπου καὶ σκιὰ πᾶς ὁ ἐν γράμμασι νόμος, κατὰ Παῦλον φάναι τὸν μέγαν καὶ αὐτὸν δέ φημι τὸν ὑπηρέτην καὶ μυσταγωγὸν ἐκείνου Μωσῆν), ὥσπερ οὖν τοῦτο μυστήριον ὂν ἐκείνης ἀποκαλύπτεσθαι μὲν ἡμῖν ἐναργῶς ὕστερον ἔμελλε διὰ σπλάγχνα ἐλέους Θεοῦ πατρός, τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ φιλανθρώπως ἐξαποστείλοντος, "γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τὴν υἱοθεσίαν ἡμεῖς ἀπολάβωμεν", ἀπεκαλύπτετο δὲ καὶ τισιν ἐκείνων καθ' ὅσον οἷόν τε σαφέστερον, προφήταις δή φημι τούτοις καὶ νομοθέταις καὶ τοῖς πρὸ νόμου πατράσιν (οὐδὲ γὰρ τοῖς γράμμασι μόνον καὶ ταῖς σκιαῖς κατά γε τοὺς πολλοὺς κἀκεῖνοι προσεῖχον, ἀλλὰ καί τισιν ὑψηλο-

21/23 Ῥωμ. ε', 15. Κολοσ. β', 17. Ἑβρ. η', 5. ι', 1. — 26 *γεννώμενον* B.— 27 Γαλάτ. δ', 4, 5.

Digitized by Google

τέροις αὐτοὺς ἡ χάρις ἐδεξιοῦτο φθάνουσα, τὰ μὲν ἐκείνους τιμῶσα καὶ πολλῷ τινι τῶν ἄλλων ὑπερτιθεῖσα, διὰ δὲ πόρρωθεν τὴν ἑαυτῆς δόξαν καὶ τὴν κοινὴν τοῦ πράγματος σωτηρίαν μεγαλοπρεπῶς προαγγέλλουσα, καὶ οὗτος ὁ λόγος, ὡς ἂν εἴποι τις ἐν ὀλίγῳ, τῆς ἐν ἐκείνοις τῶν ἀπορρήτων ἀποκαλύψεως), οὕτω δὴ καὶ τὰ τῆς μελλούσης, εἴτε παλιγγενεσίας χρὴ λέγειν, εἴτε παρουσίας δευτέρας καὶ παντελοῦς ἀποκαταστάσεως, ἃ δὴ καὶ βασιλείαν οὐρανῶν καὶ κοινωνίαν Ἀγγέλων, ἰσοθεΐαν τε καὶ Χριστοῦ συγκληρονομίαν καὶ ἀδελφότητα τὸ σεπτόν φησιν Εὐαγγέλιον, μυστήρια μέν εἰσι τοῦ κατὰ Χριστὸν αὖθις Εὐαγγελίου τε καὶ τῆς χάριτος ἐν ἀποκρύφοις λαλούμενα („σοφίαν γάρ" φησι „λαλοῦμεν ἐν μυστηρίῳ, τὴν ἀποκεκρυμμένην" ἐν τοῖς τελείοις· καὶ ὁ ταῦτα παθών τε καὶ μαθών, ὁ πολὺς ἐν θεολογίᾳ Γρηγόριος, „μεταληψόμεθα", φησί, „τοῦ πάσχα νῦν μὲν τυπικῶς ἔτι, καὶ εἰ τοῦ παλαιοῦ γυμνότερον· τὸ γὰρ νομικὸν" φησι „πάσχα τολμῶ καὶ λέγω τύπου τύπος ἦν ἀμυδρότερος, μικρὸν δὲ ὕστερον τελεώτερον καὶ καθαρώτερον")· μυστήρια δὲ πᾶσιν ἡμῖν ὄντα τοῖς τελείοις κἀνταῦθα πρεπόντως κατὰ τὸν προσήκοντα καιρόν τε καὶ λόγον ἀποκαλύπτεται, τὰ μὲν ἐκείνους τιμῶντος καὶ τῶν πολλῶν προτιθέντος τοῦ χρηματίζοντος, τὰ δὲ καὶ πείρᾳ διὰ τούτων αὐτῶν αὖθις βεβαιοῦντος τὰ ἐλπιζόμενα, μήπου τὸν λογισμὸν ὀκλάσαιμεν, ἐλπίσι μόναις προσηλωμένοι καὶ γράμμασι, πολὺ μὲν τὸ ἀξιόπιστον ἔχειν δυναμένοις κἀκ μόνης φημὶ τῆς ἐπαγγελίας τοῦ προθεσπίσαντος, ἀχωρήτοις δὲ πεφυκόσιν ἄλλως ἀκοαῖς τε καὶ διανοίαις ἀνθρώπων (οὔτε γὰρ ὀφθαλμός φησιν εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρωπίνην ἀνέβη), ἀλλὰ καὶ τῶν ὑπερφυῶς ταῦτα πασχόντων αὐτῶν ἐκείνων κατὰ δύναμιν γεγονότες αὐτήκοοι. Διὰ τοῦτο τοίνυν τοῖς περὶ Πέτρον καὶ Ἰωάννην ἐν Θαβωρίῳ πρὸ τοῦ σταυροῦ καὶ τοῦ πάθους τὴν τῆς θεότητος ἑαυτοῦ δόξαν ὁ Χριστὸς παραδείκνυσι, τὰ προοίμια τῆς μελλούσης τῶν οὐρανῶν βασιλείας, κατὰ τοὺς εἰπόντας θεολόγους, αὐτοῖς χαριζόμενος καὶ διὰ τούτου πληροφορῶν καὶ στηρίζων αὐτούς τε καὶ ἡμᾶς πρὸς

11/12 Κορινθ. 1, β', 7. — 25/26 Κορινθ. 1, β', 9.

Digitized by Google

τὰ μετὰ μικρὸν ἐπερχόμενα· καὶ τῷ πρωτομάρτυρι δὲ Στεφάνῳ δι' αὐτὸ τοῦτο τὸ μυστήριον ἐκεῖνο τῆς χάριτος οὐκ ἐν ἐρημίᾳ τινὶ καὶ ἀναχωρήσει, ἀλλ' ἐν μέσῳ δηλαδὴ τῷ συνεδρίῳ τῶν θεομάχων ἀποκαλύπτεται, ἵν' ὁ βλασφημούμενος παρ' αὐτῶν Ἰησοῦς, οἷα δὴ ψιλὸς ἄνθρωπος, υἱὸς ἀνακηρυχθῇ τοῦ Θεοῦ, τῷ πατρὶ συνδοξαζόμενος, ὡς ὁμότιμος. Κατὰ τοῦτον τὸν λόγον καὶ Παύλῳ τῷ τῆς ἐκλογῆς σκεύει καὶ τοῖς λοιποῖς θεοφόροις, καίτοι γε μυστήριον ὂν καὶ τὴν τοῦ μέλλοντος, ὅπερ ἔφην, ἀποκάλυψιν ἐκδεχόμενον, κἀνταῦθα συμφερόντως δι' ὑπερβολὴν φιλανθρωπίας ἀποκαλύπτεται, ἀλλὰ τοῖς μὲν δι' αὐτοὺς μόνους ἐκείνους, εἴτε τιμωμένους, εἴτε κουφιζομένους τοῦ βάρους τῶν πειρασμῶν, εἴτε δὴ καὶ ἀμφότερα, τοῖς δὲ καὶ δι' αὐτὰ ταῦτα καὶ προσέτι τὸν στηριγμὸν τῶν ἀμφιβαλλόντων καὶ τὸν τῶν ἀπιστούντων λαμπρὸν ἔλεγχον· μεθ' ὧν καὶ αὐτὸς ἀξιώτατος ἂν εἴης, ὦ θαυμάσιε, τάττεσθαι, Πέτρος ἡμῖν ἀναφανεὶς ἄλλος καὶ μαθητὴς ἐπιστήθιος, ἢ καὶ κατὰ τὸν ὁμώνυμον Στέφανον φιλανθρώπως παρὰ τῆς χάριτος ἐκπεμφθεὶς εἰς μέσους τούς τε πιστεύοντας ἡμᾶς καὶ τοὺς ἀμφιβόλως περὶ τὸ μέγα τοῦτο διακειμένους μυστήριον—τὸ γὰρ δύσφημον σιωπήσομαι—, ὡς ἂν καὶ τὰ τῶν μεγάλων ἐκείνων ἄριστα τοῖς παρὰ σαυτοῦ βεβαιώσαις καὶ κήρυξ τοῖς τε νῦν οὖσι τοῖς τ' ἐσομένοις ὀφθείης ἀπαραλόγιστος, εἰς αὐτὸ τοῦτο πάντων νῦν κατὰ σὲ τῶν μυστηρίων τούτων ἀξιουμένων ἀπολεχθείς, ὡς ἐγώ φημι, ἅ τε καὶ τούτων καθ' ὅσον οἷόν τε ταῦτ' ἰδεῖν τε καὶ παθεῖν ἀξιωθεὶς ἐναργέστερον. Καὶ μάρτυρες τῶν παρ' ἐμοῦ λεγομένων ἄλλα τε πλεῖστα καὶ ἡ φοβερὰ περὶ τούτων αὐτῶν ὀπτασία, προσευχομένῳ τῷ μεγάλῳ φανεῖσα καὶ φοβεράν τινα κατὰ τῶν ὑπαιτίων οὐρανόθεν κατιοῦσαν ὑποδείξασα τὴν ἀπόφασιν· ὃ δὴ καὶ κατὰ καιρὸν ἐν τοῖς ἑξῆς μοι ῥηθήσεται. Διὰ τοῦτο καὶ πρὸς ἡμᾶς μετὰ πολυετῆ τινα τὸν χρόνον ἐκ τῆς ὑπὲρ ἄνθρωπον ἀγωγῆς ὑποστρέψας ἐκείνης κατὰ θείαν, ὅπερ ἔφην, τὴν ἀποκάλυψιν Ἰωάννης τις ἄλλος ὁ Ζαχαρίου, ἢ καὶ Ἀντώνιος ὕστερον ὁ μετὰ χρόνον ἀναδὺς εἰκοσαετῆ τοῦ ὑπὸ γῆν ἐκείνου σπηλαίου ἠλλοιω-

1/6 Πράξ. ζ', 55, 56.

Digitized by Google

μένος ὅλος τε καὶ θεοφορούμενος, αὐτός τε πρὸς ἡμᾶς ἐξειπεῖν ὑπὸ τῆς χάριτος προετράπης κατὰ καιρόν, ταῦτα δὴ τὰ τοῖς ἄλλοις ἀπόρρητα, καὶ ἡμᾶς αὖθις εἰς αὐτὸ τοῦτο τῷ πνεύματι παρὼν κατὰ πᾶσαν ἀνάγκην δήπου κεκίνηκας. Ἀλλὰ τί πάθω, τοσοῦτον ὑπ' ἀνάγκης ἐνταῦθα συνελαθεὶς καὶ πράγμασιν ἐγχειρήσας, πάντα καὶ λόγον καὶ νοῦν ὑπερβαίνουσι; σοῦ γὰρ καὶ μόνου τὴν φωνὴν ἔδει παρεῖναι καὶ πρὸς ταυτηνὶ τὴν διήγησιν, ἐπεὶ καὶ μόνος ἀληθῶς ἀξιώτατος σὺ καὶ πάσχων ἀξίως τὰ τοιαῦτα καὶ λέγειν πεφυκὼς ἀξιώτερον, μᾶλλον δὲ καὶ ταῦτα σὰ καὶ τῆς σῆς ὑπὲρ ἄνθρωπον ψυχῆς τε καὶ γλώττης, εἰ καὶ τὴν χεῖρα μόνην εἰς ὑπουργίαν κατὰ χρέος ἡμεῖς ἀπεδώκαμεν· ὅθεν καὶ τῇ σῇ δυνάμει μάλα τεθαρρηκώς, τῶν αὐτῶν αὖθις καὶ λόγων καὶ διηγήσεων ἅπτομαι.

44. Ἃ μὲν οὖν εἰπεῖν ἔδει τῆς τῶν ἱερῶν τουτωνὶ μυστηρίων ἀποκαλύψεως καὶ συγγραφῆς πέρι, καὶ ὅτου χάριν ἐκεῖνόν τε πρὸς τὴν ἔκφανσιν τὸ τοῦ Θεοῦ πνεῦμα καὶ ἡμᾶς αὐτὸς οὗτος κατὰ καιρὸν αὖθις κεκίνηκεν, ἱκανῶς εἰρῆσθαί μοι δοκῶ καὶ τῆς ἐκείνου γνώμης οὐ πόρρω, ταὐτὸν δὲ πάντως εἰπεῖν καὶ τῶν περὶ ταῦτα νόμων τε' καὶ κανόνων τοῦ πνεύματος· τῆς δὲ τῶν εἰρημένων ἀκολουθίας αὖθις ἐχώμεθα. Τῶν τεσσαράκοντα συντελεσθεισῶν ἡμερῶν ἤδη, καθ' ἃς ὑπὲρ φύσιν ἐνδιατρίβειν ἐκείνῃ τῇ θεοφανείᾳ τὸν ἐπὶ γῆς Ἄγγελον τοῦ Θεοῦ τοῦτον ἠκούσαμεν, ἀδελφοί τινες τῶν πρὸς αὐτὸν συνήθως φοιτώντων, κατὰ πρόσταξιν οἶμαι καὶ τοῦτο Θεοῦ, πρὸς ἐπίσκεψιν αὐτοῦ παραγίνονται· οἳ καὶ τὸ καινὸν ἐκεῖνο κατιδόντες τεράστιον, κατὰ μὲν τοῦ βαθυτάτου κρημνοῦ τὸν μέγαν, ὅπερ ἔφην, ἑστῶτα, ἐξεστηκότα δὲ τὸ παράπαν καὶ χεῖρας καὶ ὀφθαλμοὺς ἀκλινῶς εἰς οὐρανοὺς ἔχοντα, ὡς μὴ μᾶλλον ἄνθρωπον εἶναι δοκεῖν τὸ φαινόμενον ἢ στήλην ἀνδρὸς ἐξ ἀψύχου τινὸς μορφωθεῖσαν ὕλης, κἀκεῖνο εἶναι ὑποκρινόμενον, σπουδῇ κατελθόντες (εἶχε γὰρ ἐκ θατέρου μέρους ὁ κρημνός τι καὶ βάσιμον), τὸ μὲν ὅθεν ταῦτα καὶ πῶς καὶ πόσον ἄρα χρόνον αὐτῷ τὰ τῆς αὐτόθι διατριβῆς ἔχει συμβαλεῖν οὐκ εἶχον· ἔκστασιν δέ τινα θειοτέραν καὶ ὀπτασίαν ἀπό γε τῶν φαινομένων εἶναι τὸ πρᾶγμα τέως

Digitized by Google

μὴ ἀγνοήσαντες (οὐδὲ γὰρ τὴν τοῦ ἀνδρὸς ὑπερφυᾶ πολιτείαν οὐδὲ πρότερον ἀγνοοῦντες ἐτύγχανον) προσλαλοῦσί τε τούτῳ καὶ τὴν θείαν ἐκείνην θεωρίαν εὐθὺς διακόπτουσι, τὴν ὑπερβάλλουσαν τοῦ σαρκίου ταλαιπωρίαν πάντως οἰκτείραντες καὶ τὴν κατὰ φύσιν, ὡς οἷόν τε, προσενεγκεῖν ἐκείνῳ βοήθειαν μηχανώμενοι. Κατελθόντα τοίνυν ἐκεῖθεν καὶ τῇ διανοίᾳ πρὸς τὰς αἰσθήσεις κατὰ φύσιν αὖθις, ὡς ἐδόκει, γενόμενον ἀναλαβόντες εἰς τὸ σπήλαιον φέρουσι. Πυνθάνεσθαι μὲν οὖν ἐκείνου καὶ προσλαλεῖν τι καὶ ἀκούειν περὶ τῶν ὁραθέντων, καίτοι γε σφόδρα βουλόμενοι, τὸ παράπαν οὐκ εἶχον (τὸ γὰρ τῆς πάλαι συνοίκου σιωπῆς πάλαι καὶ οὗτοι καλῶς ᾔδεσαν), τροφῆς δέ τινος μεταλαβεῖν τέως καὶ μικρὸν ἀνακτήσασθαι τὸ σῶμα προσκείμενοι περιπαθῶς ἤπειγον. Ἀλλ' ἐκεῖνος ἔκπληκτος ὢν καὶ ἠλλοιωμένος ὅλος, καὶ τῶν ὁραθέντων ἀποστῆναι τὸ παράπαν δυνάμενος οὐμενουν, ἀναισθήτως εἶχε τῶν λαλουμένων καὶ οὐδὲ προσέχειν τὸν νοῦν ὅλως ἠδύνατο· οὗ δὴ κἀκεῖνοι συνιέντες, ἐπείπερ ἀνηνύτοις τὸ παράπαν ἐπιχειρεῖν ἔγνωσαν, πρὸς ἑαυτοὺς ἀπιόντες ᾤχοντο, φόβου καὶ θαύματος τὰς ψυχὰς ἔμπλεω. Ὁ δ' αὖθις τοῖς ὑπερφυῶς ὁραθεῖσιν ἐκείνοις ἀναποσπάστως, ὅπερ ἔφην, προσκείμενος καὶ τὴν καρδίαν τετρωμένος τῷ γλυκυτάτῳ τοῦ Χριστοῦ ἔρωτι, τὰ μυστικὰ τῆς νύμφης ἐκεῖνα πρὸς τὸν ἐραστὴν καὶ νυμφίον τῶν καθαρωτάτων ψυχῶν μεθ' ἡδονῆς ἀπορρήτου τινὸς βοᾶν ἤρξατο· " Ὀσμὴ μύρων σου ὑπὲρ πάντα τὰ ἀρώματα· ὀπίσω σου εἰς ὀσμὴν μύρου σου δραμοῦμαι· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐπὶ σοί· ἰδοὺ εἶ καλὸς ὁ ἀδελφιδός μου καί γε ὡραῖος· ὁ καρπὸς αὐτοῦ γλυκὺς ἐν τῷ λάρυγγί μου· τάξατε ἐπ' ἐμὲ ἀγάπην· ἐπίθετέ με ἐν μύροις· στοιβάσατέ με ἐν μήλοις, ὅτι τετρωμένος ἀγάπης ἐγώ· δεῖξόν μοι τὴν ὄψιν σου καὶ ἀκούτισόν μου τὴν φωνήν σου, ὅτι ἡ φωνή σου ἡδεῖα καὶ ἡ ὄψις σου ὡραία· ἐκαρδίωσας ἡμᾶς, ἐκαρδίωσας· μέλι καὶ γάλα ὑπὸ

3 θείαν ἐκείνην] οὕτως ἐν τῷ Μ, ἀλλ' ἐν τῷ Β γέγραπται τὸ *ὑπερφυᾶ*. — 22/23 Ἆσμα α', 3, 4. — 24 Ἆσμα α', 14. — 25/27 Ἆσμα β', 3-5. — 26 *στιβάσατε* Β. — 27/29 δεῖξον - ὡραία] Ἆσμα γ', 14. — 29 ἐκαρδίωσας - λιβάνου] Ἆσμα δ', 9, 11.

*

Digitized by Google

τὴν γλῶσσάν σου καὶ ὀσμὴ ἱματίων σου ὡς ὀσμὴ Λιβάνου· τί ἀδελφιδός μου, ὅτι οὕτως ὥρκισας; τί ἀδελφιδός μου λευκὸς καὶ πυρρός, ἐκλελοχισμένος ἀπὸ μυριάδων; σιαγόνες αὐτοῦ ὡς φιάλαι τῶν ἀρωμάτων· χείλη αὐτοῦ κρῖνα στάζοντα σμύρναν πλήρη· φάρυγξ αὐτοῦ γλυκασμὸς καὶ ὅλος ἐπιθυμία· ὤ, τί κραταιὰ ὡς θάνατος ἡ ἀγάπη σου· περίπτερα αὐτῆς ὡς περίπτερα πυρὸς φλόγες αὐτῆς· ὕδωρ πολὺ καὶ ποταμοὶ ὑδάτων οὐ δυνήσονται σβέσαι μοι τὴν ἀγάπην σου, καὶ δώσω πάντα τὸν βίον μου ἐν τῇ ἀγάπῃ σου". Ταῦτα καὶ τὰ τοιαῦτα καὶ λέγων ἐξ ἐκείνου καὶ πάσχων ἦν ὁ θαυμάσιος, καὶ οὐδ' ἀποστῆναι τὸ παράπαν ἠδύνατο· ἐπελάθετο γὰρ οὐ τὸ φαγεῖν μόνον τὸν ἄρτον, κατὰ τὸν μέγαν Δαυὶδ (σύμβολον, ὡς αὐτός φησιν, ἐναργὲς τοῦ κατὰ Θεὸν πένθους καὶ τῆς μεταμελείας), ἀλλὰ καὶ αὐτῆς, ὡς εἰπεῖν, καθάπαξ τῆς φύσεως τῷ τῆς θείας ἀγάπης ὑπερφυῶς ὑπερβάλλοντι.

45. Ἐνιαυτὸν γοῦν ὅλον, καθάπερ αὐτὸς ἐκεῖνος πρός τινας τῶν ἑαυτοῦ φοιτητῶν καὶ φίλων ἔλεγεν ὕστερον, ἐφ' ἑνὸς πλευροῦ διήνυσε κατακείμενος· εἶτ' ἐκεῖθεν ἐξαναστὰς—ὢ τῶν καινῶν τουτωνὶ καὶ ὑπὲρ φύσιν πραγμάτων! — ἐπί τινος καθέδρας ἐνιαυτὸν αὖθις ὅλον κεκάθικε, μηδόλως ἀμείψας ἐφ' ὅλοις τοῖς δυσὶ τούτοις ἐνιαυτοῖς τὸ σχῆμα τῆς καθέδρας τε καὶ τῆς κατακλίσεως, μὴ πρὸς εὐχὴν ἀναστάς, μὴ γόνυ κλίνας, μὴ τὴν τάξιν ἑκατέραν ἀμείψας ὅλως ἐφ' ὅλοις τοῖς δυσὶν ἔτεσιν, ἀλλὰ τὸ μὲν ἀνακείμενος ὅλος ἦν, ὅπερ ἔφην, ἐφ' ἑνὸς καὶ τοῦτο πλευροῦ, τὸ δ' αὖθις τῇ καθέδρᾳ προσηλωμένος ὡσαύτως, καθάπερ ἔκ τινος ὕλης ἀψύχου πεποιημένος ἄνθρωπος· οὐδὲ γὰρ ἡ σωματικὴ τοῦτον ἐκεῖθεν ἀνίστη χρεία, εἰ μή που τὸ τῆς κενώσεως τῶν περιττωμάτων εἴποι τις ἀπαραίτητον, βραδέως που κατεπεῖγον καὶ τοῦτο διὰ τὸ τῆς ἀσιτίας ὑπερφυῶς ὑπεράνθρωπον· ἄρτῳ καὶ γὰρ βραχυτάτῳ τινὶ καὶ ἀπεσκληκότι καὶ ὕδατι παραπλησίως ὁ γεννάδας χρώμενος ἦν, καὶ τοῦτο διὰ μακροῦ καὶ ὅσον ἀποζῆν μόνον, τοῦ συνδέσμου συντηρουμένου τῆς φύσεως· ἃ δὴ καὶ πρός τινος ὑπη-

2/5 τί ἀδελφιδός - ἐπιθυμία] Ἆσμα ε', 9, 10, 13, 16. – 5/8 Ἆσμα η', 6, 7.— 11 Ψαλμ. ρα', 5.

Digitized by Google

ρετεῖτο τῶν μοναχῶν, ὡς μὴ διακόπτειν αὐτῷ τὸν θαυμαστὸν ἐκεῖνον ἀγῶνα τὴν ἀνάγκην ταύτην τῆς φύσεως. Καὶ μηδεὶς ἀπιστείτω τοῖς λεγομένοις, τῇ φύσει ταῦτα παραμετρῶν· οὐδὲ γὰρ ἡμεῖς φυσικῆς ἀκολουθίας ταῦτ' εἶναί ποτ' ἂν εἴποιμεν, οὐ τὰ προσεχῶς εἰρημένα ταυτὶ μόνον, ἀλλὰ καὶ τὰ πρὸ τούτων πάντα σχεδόν, τὸ τῆς ἀκροτάτης νηστείας ἀγγελικόν, τὸ ἐν τῇ μακρᾷ καὶ χρονίᾳ γυμνώσει καθάπερ ἄσαρκόν τε καὶ ἄυλον, πρός τε θερείους φλόγας καὶ χειμερίους πάγους παραβαλλόμενον, τὴν ἐν ταῖς ἀβάτοις καὶ ξηραῖς ἐκείναις ἐρήμοις ἐπὶ μακρὸν ὑπεράνθρωπον δίαιταν· ἃ πῶς ἂν εἴποι τις ἀνθρωπείαν ὑπενεγκεῖν φύσιν δύνασθαι, μὴ τῶν φυσικῶν ἔξω φρενῶν αὐτὸς ἐκεῖνος γενόμενος; Ἀλλ' ἐκεῖνο περὶ τούτων καὶ τῶν τοιούτων θαρρούντως δήπουθεν λέγομεν, ὅτι περ ἡ δαψιλῶς ἐν ἐκείνῳ χεθεῖσα χάρις τοῦ θείου πνεύματος, ὥσπερ ὁρᾶν τε καὶ ἀκούειν ἐκείνῳ τὰ τῆς ἀνθρωπείας ἐπέκεινα φύσεως μετὰ Παύλου τε καὶ Στεφάνου καὶ τοῦ λοιποῦ τῶν ἁγίων χοροῦ δέδωκε, τὸν αὐτὸν δὴ τρόπον καὶ ταῦτα τὰ τῆς φυσικῆς ἀκολουθίας, ὅσα περὶ τὴν σωματικὴν δηλαδὴ τράπεζαν στάσιν τε καὶ καθέδραν φημὶ καὶ κατάκλισιν, οὐ κατὰ φύσιν, ἀλλ' ὑπὲρ λόγον φυσικὸν ὡσαύτως ἐνεργεῖν πάντα δέδωκε, κατὰ τοὺς ἐκεῖνα καὶ παθόντας καὶ λόγοις φιλοσοφήσαντας ὑψηλότατα· ὅπου καὶ γὰρ ὁ ὑπὲρ φύσιν ἐνδημήσει Θεός, αὐτοί φασιν οὗτοι, πάντα ἑξῆς ὑπὲρ φύσιν αὐτόθι γίνεται. Θείαν τοιγαροῦν ταῦτά φαμεν, οὐκ ἀνθρωπίνην, ἐνέργειαν, ὑπερφυῶς ἐν τοῖς ἀξίοις κατὰ καιροὺς ἐνεργήσασαν καὶ τῆς ἰδέας τοῦ θαυματουργικοῦ χαρίσματος τὰ κρείττονά τε καὶ ὑψηλότερα· ὡς γὰρ τὸ ξηρὰν ἀνορθῶσαι χεῖρα καὶ πεπηρωμένον ὀφθαλμόν, ἢ καὶ σῶμα παρειμένον ὅλον πρὸς ὑγείαν ἀθρόον ἐπαναγαγεῖν εὐχῇ καὶ ψιλῷ μόνῳ προσρήματι, ἔτι τε θῆρας ἀγρίους ἡμερῶσαι καὶ νεκροὺς ἀναστῆσαι, θείας εἶναί φαμεν χάριτος θαύματα, τὸν τῆς ἀνθρωπείας φύσεως λόγον ὑπερφυῶς ὑπερβαίνοντα, οὕτω δὴ καὶ τὸ τῷ αἵματι καὶ τροφῇ συνίστασθαι πεφυκὸς σῶμα δίχα τῆς ἐκ τούτων φυσικῆς ἀναπληρώσεως ἐπὶ πάνυ τοι μακρὸν συντηρῆσαι, μὴ διαλυθὲν ἀναγκαίως εἰς τὰ ἐξ ὧν συνεπάγη στοιχεῖα, καὶ τὸ ἐκ μελῶν καὶ μορίων

Digitized by Google

συγκείμενον αὖθις· ἃ δὴ νεύρων καὶ ἁρμονιῶν σύνδεσμοι συνέχοντα καὶ συγκολλῶντα πρὸς ἑνὸς κατασκευὴν σώματος μεταβατικὸν κατὰ φύσιν ἐργάζεται, τῇ καθέδρᾳ καὶ στάσει καὶ ταῖς πυκναῖς ἐφ' ἑκάτερα μετακλίσεσι τὸ εὐπετὲς καὶ ἄλυτον οἱονεὶ χαριζόμενα. Τοῦτο δὴ κατασχεθὲν ὑπερφυῶς τὸ παράπαν ἀκίνητον ἐφ' οὕτω μακρὸν μὴ διαφθαρῆναι χρόνον τῆς αὐτῆς εἶναί φασι θαυματουργικῆς τοῦ Χριστοῦ δυνάμεως, καὶ τοσούτῳ μείζω καὶ ὑψηλότερα, ὅσῳ καὶ τὸ τῆς ἑαυτοῦ φύσεως καὶ τῶν παθῶν ἄρξαι τινά, τοῦ φύσιν ὑποτάξαι θηρίου ἢ καὶ πάσχοντα πρὸς ὑγείαν ἀνακαλέσασθαι σώματα πολλῷ δυσχερέστερον καὶ κατὰ τοῦτο δὴ καὶ θαυμασιώτερον, κατὰ τὸν μέγαν εἰπεῖν Ἀθανάσιον καὶ τὸν τῆς οἰκουμένης περιφανῆ διδάσκαλον αὖθις, Ἰωάννην φημὶ τὸν τὴν γλῶτταν χρυσοῦν, ἵνα μὴ τοὺς πλείονας λέγοιμεν· "τὰ μὲν γὰρ καὶ ἰατρικῇ καὶ ἀνθρωπίνῃ μηχανῇ ἐπιτηδεύματα πολλάκις ἐνήργησαν", ὁ πολύς φησιν ἐν θεολογίᾳ Γρηγόριος· τὸ δὲ ψυχὴν εἰς τὸ κατὰ φύσιν ἐκ τοῦ παρὰ φύσιν ἀποκαταστῆσαι καὶ τοσοῦτον ἀπειλικρινημένην αὐτὴν καὶ καθαρὰν ἀπεργάσασθαι, ὡς καὶ τὰς θείας ἀκτῖνας ὑπερφυῶς αὐτὴν ἐν ἑαυτῇ δύνασθαι δέχεσθαι, κἀντεῦθεν καὶ τὸ σῶμα συνδιατιθέμενον ταύτῃ φυσικῶν ἀναγκῶν ὑπερφυῶς ἔξω καθίστασθαι, τοῦτ' ἂν εἴη τὸ πάντων θαυμάτων θειότατόν τε καὶ ὑψηλότατον, καθὸ καὶ ὁ ταῦτα παθών τε καὶ μαθὼν Σύρος ἐκεῖνός φημι τὴν ἡσυχίαν τε καὶ τὴν θεωρίαν ὁ περιβόητος "κρεῖττόν σοι", φησί, "τὸ πεπτωκός σου τῆς ψυχῆς ἢ μυρίους ἀναστῆσαι νεκρούς· κρεῖττόν σοι τὸ πεπονηκὸς καὶ νοσοῦν αὐτῆς ἰάσασθαι, ἢ τοὺς ἀσθενοῦντας τὰ σώματα". Οὕτω μὲν οὖν ἔχω περὶ τῶν ὑπὲρ λόγον τοῦ ἀνδρὸς τούτου κατορθωμάτων, τῶν τε ῥηθησομένων καὶ ὅσα δηλαδὴ φθάσας ὁ λόγος ἐδήλωσε, καὶ οὗτος ὁ τοῦ κατ' αὐτὰ μυστηρίου λόγος, ὡς ὁ τῶν ταῦτα παθόντων τε καὶ διδαξάντων πατέρων λόγος· οὐ γὰρ καινά τινα ταῦτα καὶ πρώτως ἄρτι τὴν τοῦ Χριστοῦ νύμφην, τὴν ἐκκλησίαν, σεμνύνοντα, διωμιλημένα μὲν οὖν ἐκ μακροῦ καὶ συνήθη καὶ πολλοῖς ἐκείνων σπουδασθέντα τε καὶ κατορθωθέντα, εἰ καὶ τὰ κατὰ μέρος ὁ μέγας οὗτος σὺν ὀλίγοις τισίν, ὅσα γε ἡμᾶς εἰδέναι, συνειληφὼς

Digitized by Google

ὑπὲρ φύσιν ἓν ἀρετῆς χρῆμα παντοδαπόν τε καὶ θεοείκελον ἠκριβώσατο. Εἰ δέ που καὶ τοῖς περὶ τῶν θεοφόρων ἐκείνων λόγοις, ὧν ζηλωτὴς οὗτος ἐφάμιλλος, διαπιστεῖν τινες βούλοιντο, πρὸς τὸν λόγον οὐδέν φασιν· οὐδὲ γὰρ πρὸς ἐκείνους ἡμῖν ὁ λόγος, ἔξω τοῦ καθ' ἡμᾶς ἑστάναι συνεδρίου προφανῶς σπεύδοντας, καὶ διὰ τοῦτο καὶ ταυτὶ τὰ τῆς ἐκκλησίας ἐξαίρετα τοῖς τῆς ἀπιστίας λογισμοῖς καθαιρεῖν, ὅσον τὸ καθ' αὐτούς, δοκιμάζοντας. Ἐπὶ δὲ τὸ προκείμενον ἐπανέλθωμεν.

46. Τρεῖς μὲν οὖν ἐνιαυτοὺς ὅλους κἀν τούτῳ δὴ τῷ σπηλαίῳ τὴν ἀγγελικὴν ταύτην καὶ ὑπερφυεστάτην μετιὼν πολιτείαν ὁ ἔνσαρκος διήνυσεν Ἄγγελος, ὅλος ἐξεστηκὼς τῶν παρόντων, ἠλλοιωμένος ὅλος καὶ ἔνθεος, θαῦμα καὶ αὐταῖς ταῖς ἀΰλοις φημὶ καὶ περὶ Θεὸν φύσεσιν· ὃ δὴ καὶ αὐτὸς λαβὼν κατὰ νοῦν, καὶ ὡς τοῦ χωρητοῦ κατὰ χάριν ἀνθρώπῳ παντὸς ἐν μεθέξει γέγονε καὶ πλήρης αὐτῷ, καθόσον οἷόν τε, τῶν ἀγωγίμων τῆς ἀρετῆς ἡ φορτίς—τὸ γὰρ ἐπέκεινά φασι Γαδείρων οὐ περατόν—, θεσπέσιόν τι καὶ θεομίμητον ὄντως καὶ διανοεῖται καὶ καταπράττεται· εἰ μέν τινι καὶ ἄλλῳ τῶν εἰς ταύτην ἐφθακότων τῆς ἀρετῆς τὴν περιωπὴν ὡσαύτως κατορθωθέν, ἥκιστα λέγειν ἔχω· ὅτι δὲ καὶ μόνον ἱκανώτατον τοῦτο τὴν ἐπὶ τῆς ἀκροπόλεως τῆς ἀρετῆς ἀνάβασιν ὡς εἰπεῖν τοῦ ἀνδρὸς ὑποδεῖξαι καὶ θεοείκελον ἀτεχνῶς τοῖς τε νῦν οὖσι καὶ τοῖς ἑξῆς ἐσομένοις, καὶ μάλιστα λέγειν ἔχω. Εἰδὼς γὰρ τὸ τῆς ταπεινοφροσύνης θειότατον χρῆμα καὶ πάσῃ μὲν τῇ κατὰ Θεὸν ἁπλῶς ἀγωγῇ χρῆμά τι τῶν ἀναγκαιοτάτων εἴπερ τι τῶν πάντων, ὥσπερ ἐν οἰκοδομῇ πηλὸν τῶν ἡμετέρων τις ἔφη σοφῶν ξύμπασαν τὴν τῶν ἀρετῶν ὕλην, καθάπερ τινὰς λίθους ἐλάττονάς τε καὶ μείζους, πρὸς ἑαυτὴν συγκολλῶσαν καὶ συναρμόζουσαν, εἰς ἀπαρτισμὸν τοῦ τῆς ψυχῆς οἴκου, τοῖς γε μὴν εἰς τὴν περιωπὴν ἐκείνην τῆς κατὰ Θεὸν τελειότητος ἐφθακόσι καὶ πάνυ τοι χρησίμην, καθ' ὑπερβολὴν ἀναγκαίαν, ὡς αὐξητικήν τε τῶν θησαυρῶν καὶ τῶν τούτοις ἐφεδρευόντων λῃστῶν τε καὶ θηρίων δραστικὴν ἀναιρέτιν, ὁ καὶ πάλαι διὰ βίου ταύτῃ συνὼν νῦν ὡς ἐξ ἄλλης αὖθις ἀρχῆς ἑαυτὸν αὐτὸς ὅλον αὐτῇ δίδωσι, πάντων,

Digitized by Google

ὡς εἰπεῖν, ἔν γε τῷ παρόντι τῶν ἄλλων ἀφέμενος, μᾶλλον δὲ πάντα πιστεύσας ἐκείνῃ κἀκείνην αὖθις ἀναλαβὼν οἱονεί τινα θησαυρὸν ἐσφραγισμένον, ἀσφαλῶς ἐν ἑαυτῷ τὴν τῶν ἀγαθῶν ἁπάντων σωρείαν ἀτεχνῶς φέροντα. Ὅθεν καὶ πρὸς αὐτὸν αὐτὸς τὰ τῶν θείων ἐκείνων χρησμῶν ὑπειπὼν ἄριστα—"ὅταν ποιήσητέ" φησι "τὰ διατεταγμένα ὑμῖν πάντα, λέγετε ὅτι ἀχρεῖοι δοῦλοι ἐσμέν· ὃ γὰρ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν· καὶ ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν"· καὶ πρὸς τούτοις τὸ "χάριτί ἐστε σεσωμένοι, δικαιούμενοι δωρεὰν τῇ τοῦ Θεοῦ χάριτι· ὡς ῥάκος γάρ" φησιν "ἀποκαθημένης ἡ δικαιοσύνη ἡμῶν ἐνώπιον τοῦ Θεοῦ"—, τοῦ φροντιστηρίου εὐθὺς ἀπάρας ἐκείνου, εἰς τὸ παρὰ τὸν Ἰορδάνην ἄπεισι κοινὸν τῶν ἀσκητῶν καταγώγιον, ὀνόματι τοῦ μεγάλου βαπτιστοῦ καὶ Προδρόμου τετιμημένον, καὶ τοῦ προεστῶτος μετὰ πλείστης ὅτι τῆς μετριοφροσύνης ἐδεῖτο τοῖς ὑπ' αὐτὸν ἀδελφοῖς αὐτόν τε συναριθμῆσαι καὶ τοῖς ἄλλοις ὁμοίως, ὅσα δὴ καὶ νόμος ἐκείνοις, ἐν ἅπαντι χρῆσθαι τῷ παρεστηκότι τῆς χρείας· οἱ δὲ τὴν ἐκείνου τέως ἰδόντες ἐπιδημίαν ᾤοντο μὲν αὐτὸν πρὸς ἐπίσκεψιν αὐτῶν καὶ διδασκαλίαν ὑπὸ Θεοῦ κεκινῆσθαι καὶ ἥκειν ἐναργῶς ἐπ' αὐτῷ τούτῳ, ὡς ἂν καὶ μόνον ὀφθεὶς ὠφελήσειεν οὐ μικρὸν ἐκείνους, οἷος ἐκεῖνος· ὅθεν καὶ τῷ τοῦ πράγματος ἐπωφελεῖ καὶ ἄλλως ἀπροσδοκήτῳ καταπλαγέντες μετὰ περιχαρείας πάντες ὁμοῦ πρὸς ἐκεῖνον οὐχ ὅσης ἂν καὶ ῥηθῆναι ῥᾳδίως συνήεσαν, ἄλλος ἀλλαχόθεν περικυκλοῦντες, ποδῶν ἁπτόμενοι, χεῖρας καταφιλοῦντες, τὸ περικείμενον ῥάκος ταῖς ὄψεσιν ἑαυτῶν ὥς τι χρῆμα τῶν ἱερῶν παρατρίβοντες· ἐπεὶ δὲ καὶ τὴν τῆς ἐπιδημίας αἰτίαν ἐμάνθανον, ὅτι Σάβας ὁ περιβόητος ἐν ἀσκητικοῖς κατορθώμασιν, ὁ μέγας θησαυρὸς τῶν τοῦ πνεύματος χαρισμάτων, οὗ πλήρης τῆς ἀκοῆς γῆ τε καὶ θάλασσα, μαθητὴς αὐτῶν εἶναι βούλεται, τὴν τῶν εἰσαγωγικῶν καὶ στοιχειουμένων τάξιν αἱρούμενος, καὶ τοῦτο δὴ πρὸς

5/9 Λουκᾶ ιζ', 10. Ματθ. ιη', 3. — 7 *ὀφείλομεν* B. — 9 χάριτι κέ] Ἐφεσ. β', 5. — 10 δικαιούμενοι - χάριτι] Ῥωμ. γ', 24. — 10/11 ὡς ῥάκος - Θεοῦ] Ἡσαΐου ξδ', 6. — 11 *ὑμῶν* B.

Digitized by Google

τοῦ καθηγητοῦ καὶ τῆς ἀδελφότητος πάσης σχήματί τε καὶ νεύματι καὶ παντὶ τῷ τῆς ψυχῆς ὡρμηκότι περιπαθῶς ἐξαιτούμενος ἦν, πᾶσιν ὑποπίπτων, πάντων προσκαλινδούμενος τοῖς ποσὶ καὶ καταφιλῶν μεθ' ὅσης οὐκ ἂν τις εἶπε ῥᾳδίως τῆς μετριοφροσύνης, ἐνεοί τινες ἦσαν καὶ σχεδὸν ἄφωνοι πρὸς ἀλλήλους ὁρῶντες καὶ τῷ καινῷ τοῦ πράγματος ἐξόχως καταπληττόμενοι. Εἶτα καὶ πρὸς ἐκεῖνον "Καὶ πῶς οἷόν τε τοῦτο γενέσθαι, σοφώτατε πατέρων καὶ τιμιώτατε", πάντες ἔφασκον, "παρὰ πᾶσαν ὃν ἀκολουθίαν καὶ τάξιν; πῶς ὁ τῶν διδασκάλων ἄριστος σύ, ὁ καθάπερ ἄλλος Μωσῆς τὰ γράμματα τῆς πνευματικῆς ταυτησὶ νομοθεσίας οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ καρδίας δεξάμενος, οὐ μέλανι γεγραμμέναις, ἀλλὰ χάριτι, μαθητὴς ὀνομασθήσῃ καὶ ὑπηρέτης τῶν ἐξυπηρετεῖσθαι καὶ μαθητεύειν δεομένων τῇ σῇ τελειότητι; Οὐδαμῶς, ἀλλ' ἡμεῖς μᾶλλον ἐσόμεθά σοι καὶ ὑπηρέται καὶ μαθηταί, νόμον ἡγούμενοι θεῖον ἅπαν τὸ παρὰ σοῦ προσταττόμενον· εἰς αὐτὸ γὰρ τοῦτο καὶ πρὸς Θεοῦ κινηθεὶς πάντως αὐτόκλητος πρὸς ἡμᾶς τοὺς ἀναξίους ἐλήλυθας". Ὡς δ' ἐκεῖνος οὐδὲν μᾶλλον τοῦ σκοποῦ καὶ τῆς ἐνστάσεως ἐνεδίδου, παντὶ τρόπῳ πάντων ἑαυτὸν ἀποδεικνὺς ἔσχατον καὶ αὐτῆς δὴ τῆς μετ' αὐτῶν ὁμιλίας καὶ συνοικήσεως, καὶ ὡς οὐδ' ἂν εἴη τι καὶ γένοιτο τοῦ πράγματος ἀποσταίη, πείθει τοὺς ἄνδρας καὶ ἄκοντας γνώμῃ τῇ ἐκείνου συνθέσθαι, ὑποταγῆς τῆς πρὸς ἐκεῖνον καὶ τοῦτ' αὐτὸ κρίναντας εἶδος, τὸ τοῖς ἐκείνῳ δεδογμένοις ἀπεριέργως ἀκολουθῆσαι. Δεξάμενοι τοίνυν καὶ διακονίαν εὐθὺς—καὶ τοῦτο κατὰ γνώμην ἐκείνου πάντως—τοῦ ναοῦ τὴν ἐπιμέλειαν ἐγχειρίζουσιν.

47. Ὅπως μὲν οὖν ἐν τῷ μέσῳ τῶν ἀσκητῶν ἐκείνων οἷά τις λαμπρὸς ἐξέλαμψεν ἥλιος, πᾶσιν ὑπόδειγμα καὶ τύπος ἐναργὴς ἀγαθοῦ παντὸς χρηματίσας, οὐκ ἐν τοῖς πνευματικοῖς φημι μόνον, ἀλλὰ καὶ αὐτῇ τῇ περὶ τὴν ὑπηρεσίαν ἀκαμάτῳ σπουδῇ καὶ φιλοκαλίᾳ, καὶ ὡς πάντας ἐξέπληξε, τῷ περὶ πᾶσαν ἀρετὴν καθ' ὑπερβολὴν ἄκρῳ σιωπῶσα παραίνεσις φανεὶς ἀληθῶς ἐκείνοις, ταῦτα τοίνυν καὶ τὰ τούτοις ἑπόμενα παρείς, διὰ τὸ μῆκος τοῦ λόγου, πρὸς ἐκεῖνο τέως κατὰ καιρὸν βαδιοῦμαι. Ἐξῄει ποτὲ τοῦ

Digitized by Google

φροντιστηρίου ξύλα πρὸς τὴν τῶν ἀναγκαίων ὑπηρεσίαν μετακομίσων ὁ τὴν τῶν ὄνων ὑπηρεσίαν πεπιστευμένος· συνεξῄει δὲ ἄρα τούτῳ καὶ ὁ θαυμάσιος Σάβας· συνυπηρετήσων τῇ χρείᾳ, εἰθισμένον ὂν αὐτῷ τοῖς ἀδελφοῖς καθόσον οἷόν τε συμπονεῖν καὶ τὴν μετὰ χεῖρας ἑκάστῳ συνδιαφέρειν διακονίαν. Ἐπεὶ τοίνυν γένοιντο πρὸς τῷ ἕλει, τοὺς μὲν ὄνους εἰς νομὴν ἀφῆκαν αὐτοῦ που, περὶ συλλογῆς, ὡς εἰκός, αὐτοὶ διασκοπούμενοι ξύλων· λέοντες δὲ τρεῖς κατὰ ταὐτὸ τοῦ ἕλους ἐκφανέντες ἀθρόον ὡς ἐπὶ δεῖπνον ἕτοιμον σπουδῇ κατὰ τῶν ὄνων ἐχώρουν. Ὁ μὲν οὖν ἐπιστάτης ἐκείνων πόρρωθεν ἰδὼν ἐπιόντας τοὺς θῆρας φυγῇ μόνῃ τὴν αὐτοῦ σωτηρίαν πιστεύει, μηδὲ φωνὴν ἀφεὶς τὸ παράπαν· ὁ δὲ μέγας τοὺς ὀφθαλμοὺς πρὸς τοὺς ὄνους ἐπάρας (οὔπω γὰρ ᾔσθετο τῆς τῶν θηρίων ἐφόδου) ὁρᾷ συνεχομένους ἐκείνους καὶ χαλεπῶς πάντοθεν κλονουμένους τοῦ θανάτου τῷ δέει καὶ τὴν αἰτίαν, ἥτις εἴη, συμβαλεῖν μὲν καθαρῶς αὐτόθεν οὐκ ἔχων, ὑποπτεύσας δ' ὅμως τὸ πρᾶγμα καὶ διὰ τοῦτο τοὺς ὀφθαλμούς, ὡς ἔθος, ἔν γε τοῖς τοιούτοις περιάγων ὧδε κἀκεῖσε, ὁρᾷ καὶ αὐτὸς αἴφνης τοὺς θῆρας (ἦσαν γὰρ ἤδη καὶ πλησίον ἐκείνων) θρασύ τι καὶ λεόντειον ἐπιόντας τοῖς ὄνοις καὶ διασπαράττειν αὐτοὺς ἤδη μέλλοντας. Καὶ περιαλγὴς γενόμενος τὴν καρδίαν ὑπέρ τε τῶν ζώων αὐτῶν, καὶ δὴ καὶ τῶν χρωμένων αὐτοῖς εἰς τὴν τῶν ἀναγκαίων ὑπηρεσίαν, εὐχῇ μὲν κατὰ τῶν θηρίων οὐ χρῆται, ἀλλ' οὐδ' ἐπιτιμήσει τινί, καίτοι γε καὶ ἄμφω δυνάμενος ταῦτα μετὰ πολλῆς τῆς περιουσίας· οἱ γὰρ ἀπαράγραπτοι πάντῃ τετηρηκότες τῇ εἰκόνι τὸ κατ' εἰκόνα τῆς ἀρχαίας τὸ παράπαν οὐκ ἀποπίπτουσιν εὐγενείας, ἀλλὰ κρατοῦσι βασιλικῶς μετὰ τῆς κάτω κτίσεως πάσης, κατὰ τὸν πρὸ τῆς παραβάσεως πρῶτον ἐκεῖνον ἄνθρωπον, καὶ αὐτῶν δηλαδὴ τῶν θηρίων. Τοῦτο γοῦν καὶ ὁ μέγας ὢν εἴπερ τις τῶν πάντων καὶ ἰσχύων ἐκ πολλοῦ τοῦ περιόντος, ὡς εἶπον, τά γε τοιαῦτα τὸ μὲν ἑκοντὶ παρατρέχει, τῇ δὲ καλλίστῃ τῶν ἀρετῶν ταπεινοφροσύνῃ καὶ αὖθις δίδωσι τὰ πρεσβεῖα. Καὶ ὁ τρόπος θαυμάσιος οἷος! ἐπεὶ γὰρ τοὺς λέοντας, ὃν εἴρηται τρόπον, ἴδοι κατὰ τῶν ζώων ὁρμῶντας καί τι γε ἄλλο ἢ λέοντας αὐτίκα δείκνυσθαι μέλ-

Digitized by Google

λοντας, διακόψας ἐκεῖνος καὶ τῶν θηρίων ἐν χρῷ γενόμενος — ὢ τῆς θαυμαστῆς σου περὶ τὸν ἄνδρα δυνάμεως, δέσποτα! —, προσκαταβάλλει μὲν ἑαυτὸν τῇ γῇ· κείμενος δὲ πρηνὴς "Τὸν θεὸν ὑμᾶς ὁρκίζω", πρὸς τοὺς λέοντας αὐτοὺς μεγάλῃ φησὶ τῇ φωνῇ, "τὸν κοινὸν δεσπότην ἡμῶν τε καὶ ὑμῶν, μηδέν τι κακὸν ἐπὶ τούτοις ἐργάσασθαι τοῖς ζῴοις, ἀλλὰ μηδὲ προσάψασθαι τὸ παράπαν· παραχωρῆσαι μὲν οὖν αὐτοῖς ἀκίνδυνον ὡς μάλιστα τὴν ὑποστροφὴν τὴν πρὸς τοὺς ἰδίους, ἐμὲ δὲ ἀντὶ τούτων ἑτοίμην, ὡς ὁρᾶτε, προκείμενον τράπεζαν τοῖς ὄνυξι διασπαράξαντες, ὁρῶ γὰρ ὑμᾶς καὶ τροφῆς δεομένους, τῇ γαστρὶ παραπέμψατε, τοῦ κωλύοντος οὐδαμῇ πεφηνότος". Οἱ δὲ θῆρες τῆς ὁρμῆς ἑαυτοὺς ἐπισχόντες ἵσταντο καθαπερεί τινες λογικοὶ καὶ συνιέντες τῶν λεγομένων· ὅθεν καὶ ὡς ἐπῳδήν τινα θείαν τὰ τοῦ μεγάλου δεξάμενοι ῥήματα, τὴν μὲν φυσικὴν ἀποτίθενται θηριωδίαν αὐτίκα, τὰς δὲ κεφαλὰς ὑποκλίναντες ἐκείνῳ (προσκυνεῖν αὐτοὺς εἴκασεν ἄν τις ἐν δουλικῷ καὶ τεταπεινωμένῳ τῷ σχήματι) προβάτων δίκην εἰς τὰς ἑαυτῶν ὑπέστρεφον καταδύσεις, οὐ δι' εὐσέβειαν, ὡς πάλαι τὸν Δανιήλ, ἀλλὰ διὰ ταπεινοφροσύνης ὑπερβολὴν ὑπερφυῶς αἰδεσθέντες τὸν ἄνδρα. Οἱ μὲν οὖν κακῶν ἀπαθεῖς παραδόξως ἀπολαβόντες τοὺς ὄνους (παρῆν γὰρ ἤδη καὶ ὁ φυγὰς ἀδελφὸς ἐκεῖνος, τὸ περὶ ψυχῆς ἀποτιναξάμενος δέος) οἴκαδε χαίροντες ἐπανῄεσαν· τῆς δὲ περὶ τούτου φήμης πανταχόσε διαδοθείσης, πολὺς ὁ περὶ τοῦ μεγάλου λόγος καὶ πρότερον ὢν πανταχοῦ πολλαπλασίων αὖθις ἐξηχεῖτο καὶ θεοφόρος τις καὶ θαυμάτων δημιουργὸς ἐξαισίων ὁ ἀνὴρ παρὰ πάντων ἀνεκηρύττετο· οὐδὲ γὰρ νῦν πρῶτον τὸ κατὰ τοὺς λέοντας τούτους θαῦμα τὸν μέγαν ἐνηργηκέναι φασίν, ἀλλὰ συνήθης ὥσπερ ἐν τοῖς τοιούτοις ἦν καὶ πολυτρόπως αὐτῷ πολλάκις τά γε τοιαῦτα πρὸς τῆς ἐνούσης χάριτος δέδοτο. Καὶ γὰρ καὶ τῷ πέραν ἐκείνῳ τοῦ Ἰορδάνου σπηλαίῳ μέλλων ἐγκατοικίζεσθαι, καθὰ δὴ καὶ φθάσας ὁ λόγος ἐδήλωσε, λέοντα πρότερον ἐκεῖθεν ἐξώσας, μόνῳ δηλαδὴ ῥήματι, τὴν θαυμαστὴν ἐκείνην καὶ ἰσάγγελον πολιτείαν αὐτόθι μετὰ πολλῆς τῆς ἀδείας ἐφ' ὅλοις τοῖς τρισὶ διήνυσεν ἔτεσι. Καὶ τῷ μαθητῇ δ'

Digitized by Google

αὖθις αὐτὸς ἐκεῖνος χρόνοις ὕστερον προσδιαλεγόμενος, χαριέντως οὕτω πως "Ἐμοί" φησι "καὶ διὰ τῆς τῶν θηρίων ὁμιλίας, ὦ φίλος, προσεγένετο πολλάκις μεγίστην καρπώσασθαι Θεοῦ χάριτι τὴν ὠφέλειαν· λέουσι γὰρ ἐν ταῖς ἐρήμοις ἐντυγχάνων πολλάκις καὶ τούτοις οἷα δὴ καὶ συνήθεσι συναγελαζόμενος (ἐπίτηδες γὰρ αὐτῷ τούτῳ πολλάκις ἐμβαλὼν οἶδας καὶ μέσον ἐκείνων ἐμαυτὸν καθιστάς, ἦσαν γὰρ καὶ σύνδυό που καὶ σύντρεις), ἐπιμελῶς ἀνεσκόπουν ἐκείνους, ὀφθαλμῶν φημι θέσιν καὶ σχήματος μέγεθος καὶ φυσικὴν οἷον ὑπεροψίαν, ἔτι τε σοβαρὰν αὐχένος ἐφ' ἑκάτερα κλίσιν καὶ ἅλμα βασιλικόν τε καὶ γενναῖον, ὥσπερ ἀκούεις, καὶ ἀκωκὰς ὀνύχων, τοῦτο δὴ τὸ τῶν λεόντων ἔσχατόν τε καὶ μέγιστον· ταῦτα δὴ καὶ τὰ τούτοις ἀκόλουθα", φησίν, "κατανοῶν ἐπιμελῶς, ὅπερ εἶπον (παρεῖχον γάρ μοι κἀκεῖνοι τὸ εὐπετὲς καὶ ἀπρόσκοπον ἤδη, ὡσανεί τινες τῶν πάλαι συνήθων προσηνῶς τε καὶ ἠπίως ἐπὶ πολὺ συνδιάγειν ἐθέλοντες,) θαυμαστήν τινα τῆς τοῦ Θεοῦ δημιουργίας ἐκαρπούμην τὴν θεωρίαν εἴπερ ποτὲ καὶ μέγα τι κέντρον τῆς τοῦ Θεοῦ δόξης τε καὶ τῆς ἀγάπης ἡ ψυχὴ κἀντεῦθεν ἐδέχετο· ὅθεν καὶ τοῦ μεγάλου Δαυὶδ κατὰ καιρὸν ἐμεμνήμην καὶ αὐτὰ δὴ τὰ θηρία συγκαλοῦντος πρὸς ἔπαινον Θεοῦ μετὰ πάσης τῆς κτίσεως, τὸ ἀοίδιμον ἐκεῖνο συνᾴδων αὐτῷ μεθ' ὅσης τῆς ἡδονῆς καὶ τοῦ θαύματος· ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας".

48. Οὕτω δοξάζειν οἶδε Θεὸς τοὺς αὐτὸν γνησίως δοξάζοντας· οὕτως ὑποτάσσει τὴν κτίσιν τοῖς μικρά τινα μέρη ταύτης ἑκουσίως ἑαυτῶν ἀπορρίψασι καὶ δεσπότας καὶ βασιλεῖς καὶ πρὸ τῆς μελλούσης ἐκείνης βασιλείας καὶ ἀποκαταστάσεως ἀναδείκνυσιν· ἀλλ' ἐν τούτοις γε ὄντι τοῖς κατορθώμασι τῷ μεγάλῳ καὶ πάντας μὲν τοὺς ἐγγὺς καὶ τοὺς πόρρω δίκην ἡλίου καταφωτίζοντι, πάντων δ' αὖθις καὶ αὐτῶν φημι τῶν ἐσχάτων ἔσχατον ἑαυτὸν ἀποδεικνύντι καὶ πράγματι παντὶ καὶ κινήματι — τί γὰρ δεῖ προσδιατρίβειν ἔτι;—, χρησμὸς ἄνωθεν ἐπιφοιτᾷ θεῖος, τὰς αὐτόθι καταλιπόντα καθάπαξ διατριβὰς τῇ τῶν Ῥωμαίων αὖθις ἀρχῇ τε

21,22 Ψαλμ. ργ', 24. — 23 Βασιλ. 1, β', 30 «τοὺς δοξάζοντάς με δοξάσω».

Digitized by Google

καὶ γῇ μετὰ σπουδῆς ἑαυτὸν ἀποδοῦναι· "εἶναι γὰρ ἐκεῖ πολλούς", ἔλεγεν ὁ φανείς, "τοὺς τῆς σῆς δεομένους βοηθείας καὶ ἐπισκέψεως· ὅθεν οὐδὲ μέλειν σε τὸ παράπαν οὐδ' ἀναβάλλεσθαι χρή, ἀλλὰ κατὰ σκοπὸν ὅτι τάχος ἐκεῖσε χωρεῖν, τοῦτο πρὸς βουλῆς ὂν ἄντικρυς αὐτοῦ τοῦ Θεοῦ". Καὶ ταῦτα μὲν ὁ φανείς· ὁ δέ, τὸν χρησμὸν θεῖον εἶναι μὴ ἀγνοήσας, νεύματι τῷ προεστῶτι γνωρίζει καὶ πᾶσι δηλαδὴ τοῖς συνοῦσι, καὶ ὡς ἀποδημεῖν αὐτὸν πᾶσα δήπου ἀνάγκη, μηδὲν ὅλως μελήσαντα· οἳ δὲ λύπῃ μὲν οὐ φορητῇ συσχεθέντες ἀθρόον, οἷς τὸν κοινὸν ὁδηγόν τε καὶ φωστῆρα καὶ παντοδαπὸν κυβερνήτην ἔμελλον ἀποβάλλειν, προστάγμασι δὲ δεσποτικοῖς ἀντιλέγειν αὖθις οὐχ οἷοί τε ὄντες, ὀδυνηρῶς μὲν καὶ μετὰ πλείστων ὅσων τῶν ἐκ ψυχῆς δακρύων τε καὶ στεναγμῶν, συγχωροῦσι δ' οὖν ὅμως ἐκείνῳ τὴν ἀναχώρησιν, καί τινας τῶν σὺν αὐτοῖς ἀδελφῶν ἐγχειρίσαντες, τοὺς μέχρις Ἱεροσολύμων αὐτῷ τῆς ὁδοῦ κοινωνήσοντας. Ὁ μὲν οὖν τοῖς συνεκπεμφθεῖσι τούτοις ἡγεμόσι τῆς ὁδοῦ χρώμενος εὐθὺ τῶν Ἱεροσολύμων ἐχώρει· τῆς δὲ περὶ αὐτοῦ φήμης ὥσπερ ὀσμῆς τινος μύρου πανταχόσε διαδοθείσης — ἦν γὰρ τοῖς μὲν καὶ ἀπὸ πείρας αὐτῆς, τοῖς δ' ἀπὸ μόνης τῆς ἀκοῆς ἐπίσημος ὁ γενναῖος—, παμπληθεὶ πρὸς ἐκεῖνον συνέρρεον, "Σάβας ὁ μέγας ἐπανήκει τῆς μακρᾶς ἀποδημίας ἐκείνης" πρὸς ἀλλήλους μεθ' ἡδονῆς λέγοντες· κἀντεῦθεν πλήρης ἦν ὁδὸς καὶ πλατεῖα πᾶσα τῶν προσυπαντώντων, τῶν προπεμπόντων, τῶν παρεπομένων, πάντων τοῖς ἐκείνου ποσὶ προσπιπτόντων, χεῖρας καὶ πόδας καταφιλούντων μεθ' ὅσης τῆς αἰδοῦς καὶ τοῦ θαύματος, οὐ τῆς ἡμετέρας αὐλῆς φημι μόνον, ἀλλὰ καὶ τοῦ τῶν Ἰσμαηλιτῶν ἔθνους μοίρας τινὸς οὐκ ὀλίγης, μᾶλλον δὲ καὶ πάντων, ἐπειδὴ καὶ πάντες τῆς ἀρετῆς αὐτοῦ φημι καὶ τῆς φήμης περιφανῶς ἥττηντο, καθὰ καὶ φθάσας ὁ λόγος ἐδήλωσεν. Οὐ μὴν ἀλλὰ καὶ τὸν τοῦ ἔθνους ἀρχηγὸν αὐτόθι τότε παρόντα τοῖς ἄλλοις παραπλησίως ἡ περὶ τούτου φήμη κατέσχε, καὶ μηδὲν ὅλως μελήσας εἰς ὄψιν τῷ μεγάλῳ καὶ οὗτος ἔρχεται καὶ πολὺν αὐτῷ τὴν ἱκετείαν προσάγει λόγου τινὸς

29 δεδήλωκεν M.

καὶ ὁμιλίας τῆς καλῆς ἐκείνου γλώττης ἀκοῦσαι, χρημάτων ἀφθονίαν εἰς ἀμοιβὴν προτιθεὶς φιλοτίμως καὶ τὴν ἄλλην ὑπακοήν, ἐφ' οἷς ἂν ὁ μέγας ἐξαιτεῖν δηλαδὴ βουληθείη· ὃ δὲ "Ὁ αὐτός εἰμι" λέγειν "ὡσανεὶ πανταχοῦ πρὸς πάντας" ἐδόκει "καὶ οὐκ ἠλλοίωμαι". Ὅθεν καὶ μᾶλλον ἔτι τὸ σταθερὸν τοῦ ἀνδρὸς καὶ τὸ τοῦ φρονήματος οἷον ἀδούλωτον ὁ βάρβαρος ἐκτόπως θαυμάσας, τὸν μὲν μετὰ μείζονός τινος τῆς αἰδοῦς αὖθις ἀφῆκε, τὰ τῆς ἡμετέρας δόξης πολλοῦ τινος ἀξιῶν ἐξ ἐκείνου, τοῖς δὲ νομοθέταις τε καὶ προστάταις τῆς ἰδίας θρησκείας πολλήν τινα τὴν μέμψιν ἐπῆγε καὶ μικροῦ τινος ἐτίθει λόγου τὰ κατ' ἐκείνους.

49. Σάβας μὲν οὖν ὁ μέγας οὕτω παρὰ πάντων τιμώμενός τε καὶ προπεμπόμενος, εἰ καὶ λόγον οὐδ' ὁντινοῦν τῶν τοιούτων τὸ παράπαν αὐτὸς ἐποιεῖτο, τοῖς αὐτόθι πάλιν ἱεροῖς τόποις καὶ πράγμασιν ὅλον ἑαυτὸν δεδωκώς, μετὰ τοῦ συνήθους ἐκείνου περὶ ταῦτα τόνου καὶ φίλτρου καὶ πάντας τοὺς συνόντας τῷ περὶ ταῦτα θεοφιλεῖ καὶ ζέοντι τῆς ψυχῆς καταπλήξας—ἐκοινώνουν γὰρ αὐτῷ καὶ τῆς προσκυνήσεως ἀμισθὶ πάντες, τῇ περὶ αὐτὸν αἰδοῖ καὶ τῷ φίλτρῳ προῖκα τῶν φυλάκων αὐτὸ τοῦτο πᾶσι τὸ τηνικαῦτα διδόντων — τῶν Ἱεροσολύμων ἐξῄει. Καὶ τοῖς ἀσκουμένοις αὐτόθι συνταξάμενος ἀδελφοῖς, σφόδρα παθαινομένοις τε καὶ δακρύουσιν ἐπὶ τῇ ἐκείνου στερήσει, ὃ μὲν τὴν ἐπὶ Δαμασκόν τε καὶ τὴν τῆς Συρίας Ἀντιόχειαν φέρουσαν, ποσὶ τοῖς ἑαυτοῦ χρώμενος, εὐτόνως διῄει· γυνὴ δέ τις τῶν τῆς ἡμετέρας δόξης τε καὶ θρησκείας, τῆς φήμης καὶ ταύτην οἶμαι καλούσης, ἐντυγχάνει κατὰ μέσην αὐτῷ τὴν ὁδόν, νεκρὸν ἐπὶ τῶν ἰδίων, φεῦ, ἀγκαλῶν τὸν ἑαυτῆς φέρουσα παῖδα· καὶ τοῖς ποσὶν αὐτίκα τοῖς ἐκείνου τὸν ἄψυχον ἡ δυστυχὴς ἐπιρρίψασα φόρτον, ἵστησι μὲν τῷ ἁγίῳ τὰ τῆς ὁδοιπορίας, τῶν δὲ τριχῶν ἑαυτῆς αὐτὴ δραξαμένη καὶ σὺν αὐταῖς ὄψιν κατασπαράττουσα καὶ κατακόπτουσα στῆθος ὀδυρμῶν τε καὶ δακρύων τὸ πᾶν ἐπλήρου, καὶ φωναῖς τισιν ἀσήμοις, τῷ σφοδρῷ τῶν ὀλολυγμῶν διακοπτομέναις, τὸν ἅγιον εἰς οἶκτον ἐξεκαλεῖτο, εἰς οὐρανὸν ἄνω τὸν κωκυτὸν σὺν τοῖς ὀφθαλμοῖς αἴρουσα καὶ τὸν ἔφορον ὡσανεὶ μαρτυρομένη δεσπότην ἦ μὴν οὐκ ἀποστήσε-

Digitized by Google

σθαι τούτου καθάπαξ, εἰ μὴ ζῶντα τὸν φίλτατον ἀπολάβῃ. Τί οὖν ἡ συμπαθὴς ἐκείνη ψυχὴ καὶ τῆς ἀγάπης ὅλη πεπληρωμένη; Καίτοι γε τοῖς τοιούτοις ἑαυτὴν οὐ διδοῦσα δι' ἔρωτα μετριοφροσύνης, κάμπτεται τῷ τῆς ἐλεεινῆς μητρὸς πάθει, καὶ τοῦ παιδὸς δὲ οὐχ ἧττον πρὸς αὐταῖς, ὡς εἰπεῖν, ταῖς τοῦ βίου εἰσόδοις ἐλεινῶς ἐξελθόντος τὸν βίον, καὶ τοὺς μὲν ὀφθαλμοὺς εἰς οὐρανὸν ἄρας, τῇ δὲ τοῦ κειμένου χειρὶ τὴν ἰδίαν ἐμβαλὼν χεῖρα — ὢ τῆς θαυμαστῆς σου, Χριστὲ βασιλεῦ, χάριτος!—ζῶντα τοῦτον ἀνίστησι παραχρῆμα καὶ τῇ μητρὶ προσμειδιῶντα δίδωσι καὶ σκιρτῶντα, ὥσπερ ἐξ ὕπνου τινὸς ἡδέος μετ' εὐθυμίας εὐχερῶς ἀναστάντα. Ἡ δὲ γυνὴ καὶ θεοφιλής, ὡς ἔοικεν, ἢ φιλόπαις οὖσα Σαμαρεῖτις ἄλλη τις ἦν, οὐχὶ τὴν ὑδρίαν, ἀλλὰ τὸν φίλτατον αὐτὸν ἐκεῖνον τὸν ἐκ νεκρῶν ἀναστάντα καταλιποῦσα καὶ κῆρυξ τοῖς φυλέταις καὶ γείτοσι τοῦ μεγίστου θαύματος γινομένη καὶ πανοικὶ πάντας πρὸς ἐκεῖνον ἐφελκομένη· ὃ δὲ τοῦ γενομένου συνεὶς καὶ τὸ τοῦ πράγματος ἐπίδοξον ὅλῳ ποδὶ διαφεύγων, τὸν παῖδα καταλιπὼν αὐτοῦ, φεύγων ἦν ἀνὰ κράτος, μικρόν τι τῆς εὐθείας, ὥς γε τὸ εἰκός, ἀποκλίνας καὶ οὕτω τοὺς ἐκζητοῦντας διαφυγών. Ἀλλὰ τὰ μὲν τοῦ μεγάλου τούτου θαύματος τοῦτον, ὥς φασιν, ἔσχε τὸν τρόπον· οὔτε γὰρ αὐτόπται τοῦ πράγματος ἡμεῖς αὐτοὶ δήπου—πῶς γάρ; — οἱ τοσοῦτον ἀφεστηκότες, οὔτε τὸν δημιουργὸν τούτου, τὸν θαυμαστὸν δηλαδὴ Σάβαν, μυσταγωγὸν ἔχομεν κἀνταῦθα τοῦ μυστηρίου, ὥσπερ δὴ κἀν τοῖς ἄλλοις· ἀλλ' ἄνδρες ἀγαθοὶ καὶ τιμᾶν εἰδότες ἀρετήν τε καὶ ἀλήθειαν ἅμα, οἳ μὲν περιιόντος ἔτι τῷ βίῳ, οἳ δὲ καὶ μεταστάντος ἐξεῖπον ἡμῖν, ἀπὸ τοῦ μεγάλου τῶν ἐκεῖθεν φοιτώντων φιλαρέτων ἀνδρῶν ἀσφαλῶς ἐκμαθόντες· οἳ καὶ δὶς αὐτὸ τοῦτο, τὴν ἐκ νεκρῶν φημι ἀνάστασιν, ἔλεγον ὡσαύτως ἐνηργηκέναι τὸν μέγαν. Ἐμοὶ δὲ τῶν πάντων οὐδένας ἔπεισιν ὑπολαμβάνειν ἐνδοιάζειν πρὸς ταῦτα, τῷ παντὶ σώματι προσέχοντας ταύτης τῆς θαυμαστῆς ἱστορίας, καὶ ὅπως κατάλληλα καὶ ταῦτα καὶ ὡσανεὶ πεφυκότα τοῖς τε ῥηθεῖσιν ἤδη καὶ τοῖς ῥηθησομένοις

11/12 Ἰωάν. δ', 7 κέ. — 21 δημιουργὸν] οὕτως ἐν τῷ Μ, μετὰ ξέσμα τῶν δύο πρώτων συλλαβῶν· ἀλλ' ἐν τῷ Β γέγραπται τὸ *αὐτουργὸν*.

Digitized by Google

ὁμοίως, μᾶλλον δ' ἀκριβῶς γε σκοποῦντι, καὶ τὰ μείζω πολλῷ καὶ τελεώτερα λέλεκται· εἰ γὰρ ἡ τῆς ἀγάπης ὁδός, κατὰ Παῦλον φάναι τὸν μέγαν, ὁδός ἐστι καθ' ὑπερβολὴν πάντων ἀπαραμίλλως ὑπερκειμένη τῶν τοῦ πνεύματος χαρισμάτων (ὁ Θεὸς γάρ ἐστι, κατὰ τὸν ἄριστον ταύτης μυσταγωγόν τε καὶ μύστην, τὸν ἐπιστήθιόν φημι θεολόγον), καὶ διὰ τοῦτο νόμος καὶ προφῆται τῆς πρώτης ταυτησὶ καὶ μεγίστης τῶν ἐντολῶν ἤρτηνται (θεῖος φησὶ τοῦτο χρησμός). Σάβας δ' ἡμῖν ὁ μέγας εἰς ἄκρον αὐτὴν ἔφθη κατωρθωκὼς εἴπερ τις τῶν πάλαι καὶ νῦν ἐπὶ τούτοις θαυμαζομένων, καὶ οὐδεὶς οὔμενουν ἀντερεῖ τῶν ἐκεῖνον καλῶς εἰδότων (διόπερ ἄρα καὶ τῆς ἀμέσου θεοπτίας ἐκείνης σύν γε τοῖς ἀΰλοις μετὰ τῆς ὕλης δαψιλῶς εἴπερ τις τῶν γνωστῶν καὶ οἰκειοτάτων Θεῷ μετέσχε), πῶς οὐχὶ κἀκείνων ἀκολούθως μετέσχε τῶν χαρισμάτων, εἰ καὶ μεγάλων καὶ θαυμαστῶν, ἀλλὰ καὶ τῶν μεγίστων τούτων καὶ πρώτων, καθὰ δὴ καὶ δέδεικται, πολλῷ τινι τῷ μέσῳ καθυστερούντων; Καὶ ταῦτα μὲν οὐχ ἁπλῶς ἴσως οὐδὲ παρέργως.

50. Τὴν δὲ Δαμασκὸν ὁ μέγας καταλαβὼν Σάβας καὶ μετ' αὐτὴν Ἀντιόχειάν φημι τὴν μεγάλην, ἔνθα δὴ καὶ σπεύδειν αὐτὸν ὁ λόγος ἤδη φθάσας ἐδήλωσεν, ἡμέρας μέν τινας οὐκ ὀλίγας κἀν ταύταις δὴ ταῖς πόλεσι διατρίβει· ἔπειτα λιμένι τινὶ προσβαλὼν ἐπίτηδες τῶν αὐτόθι, νηὶ κατὰ γνώμην περιτυγχάνει, τὴν εἰς Κωνσταντινούπολιν ἀποπλεῖν ἐνσκευαζομένη. Καὶ ὃ μὲν ἐπιβαίνει ταύτης προθύμως, αὐτὴν ἐκείνην τὴν εἰρημένην κατὰ νοῦν ἔχων πόλιν (ὃ δὴ καὶ τῷ τῆς νηὸς ἀρχηγῷ κατὰ γνώμην ἦν, ὅπερ ἔφην)· ἀλλὰ πνεύματος αὐτοῖς ἑτέρωθεν ἐμβαλόντος ἀθρόου, ἐπεὶ μὴ πρὸς ἰσχύος εἶχον ἀντιτείνειν βίᾳ τῇ ἐκείνου (σκοπὸς γὰρ ἦν, ὡς ἔοικε, τῇ προνοίᾳ καὶ τόπων ἑτέρων θεατὴν καὶ ψυχῶν τῶν ἐν ἐκείνοις ἐπίκουρον πρότερον τὸν ὅσιον ἀποφῆναι), τῷ

2/3 Κορινθ. 1, ιγ', 13. — 4/6 Ἰωάν. 1, δ', 8. — 6/7 Ματθ. κβ', 40. — 8/16 Ἐν τῷ Μ ὁ καλλιγράφος ἔγραψεν ἐν τῇ ᾤᾳ τὸ σημείωμα τοῦτο, ὅπερ ἦν ὡς φαίνεται, πρότερον καὶ ἐν τῷ Β. «Τοῦ αὐτοῦ πατριάρχου σχόλιον.+Ὁ πρὸς ταῦτα καὶ τὰ τοιαῦτα διστάζων, ὡς ὑπὲρ φύσιν ὄντα, τὰ τούτων ἴσα καὶ μείζονα ἐν τοῖς βίοις τῶν παλαιῶν ἁγίων εὑρήσει, ἐξ ὧν τινα καὶ ἡμεῖς ἐν τῷ τέλει τοῦ παρόντος λόγου τεθείκαμεν».

Digitized by Google

φέροντι δόντες καταίρουσιν ἀθρόον εἰς Κρήτην· καὶ οἱ μέν, αὐτοῦ που προσορμισθέντες τῇ νήσῳ, πνεύμασι τοῖς πρὸς ἀναγωγὴν ἐπιτηδείοις τὸν νοῦν, ὡς εἰκός, αὖθις προσεῖχον· ὁ δέ, τὴν αὐτόθι καταγωγὴν οὐκ ἀθεεὶ γεγενῆσθαι παρ' ἑαυτῷ κρίνας, τῆς νηὸς εὐθὺς ἀποβαίνει, καὶ μηδενὶ τῶν πάντων εἰς γνῶσιν καθάπαξ ἐλθών, ὥσπερ ἄσαρκός τις καὶ ἄυλος ὤν, ἢ πτηνὸς μᾶλλον καὶ οὐκ ἄνθρωπος, μηδὲν ἔχων μεθ' ἑαυτοῦ τὸ παράπαν, εἰ μὴ τὸ σῶμα, τῇ φιλτάτῃ δίδωσιν ἑαυτὸν ἐρημίᾳ, ὄρη καὶ φάραγγας καὶ πᾶν τὸ τῆς νήσου περιπολῶν ἀοίκητον ἐφ' ὅλους ἐνιαυτοὺς δύο, βοτάναις καὶ ὕδατι μόνοις τὴν τῆς φύσεως ἀνάγκην ὑπὲρ πᾶσαν φυσικὴν ἀνάγκην παραμυθούμενος. Ἐπὶ τοσοῦτό γε μὴν λαμπρότητος καὶ ὕψους ὑπερφυοῦς τὰ κατὰ τὸν μέγαν ἐπήρθη κἀνταῦθα, καὶ τοσοῦτο τῆς δυναστείας, ὡς εἰπεῖν, ὑπερέσχε τῆς ὕλης, ἔτι ταύτῃ συνεζευγμένος, ὡς ἐφ' ὅλοις τοῖς δυσὶν ἔτεσι τούτοις—ὢ τοῦ καινοῦ καὶ ὑπὲρ πάντα νοῦν ἀνθρώπινον μυστηρίου! — μὴ καθέδρας, μὴ κατακλίσεως μηδοπωστιοῦν τὸ παράπαν μνησθῆναι, ἀλλὰ καὶ τὰς τῆς φύσεως αὐτῆς ἀπαραιτήτους ἀνάγκας οὑτωσὶ διαφέρειν· καὶ τοῦ βραχυτάτου δὲ ὕπνου, εἴ γε καὶ ὕπνον χρὴ καλεῖν οὗπερ ἐκεῖνος αὐτόθι μετεῖχεν, οὕτω μετεῖχεν, ἐπὶ δένδρου γέ τινος ἢ καὶ τῆς προστυχούσης πέτρας, ὡς ἔτυχεν, ἑαυτὸν προσερείδων, ὥσπερ οἱ τὸ γῆρας ὑποστηρίζοντες τῇ συμμαχίᾳ τῆς ῥάβδου· φέρειν δὲ τὴν ἔξω πάσης ἀνθρωπίνης φύσεως ταυτηνὶ βίαν οὐκ ἂν οἷός τ' ἦν ποτε, μὴ τὴν ὑπερφυᾶ χάριν ἐκείνην ὑπερφυῶς δεδεγμένος καὶ ταύτῃ σὺν τοῖς Ἀγγέλοις συνών, ὅπερ ἔφην, καὶ τῆς αὐτὸς αὑτοῦ φύσεως ἐπιλελησμένος τῷ γε πλείονι μέρει, κατὰ τοὺς ἀρχαίους ἐκείνους δήπου πατέρας, οὓς ἄλλαι τε φέρουσιν ἱστορίαι καὶ ἡ τὰ τῶν γενναίων Σύρων ἐκείνων θαυμαστῶς ἱστοροῦσα καὶ "Φιλόθεος" ἐπωνύμως διὰ τοῦτ' αὐτὸ προσαγορευομένη. "Οὐδέποτε γάρ", ἔλεγεν ὁ γενναῖος, "πολιτεία τις τῶν ἀρχαίων ἔγγραφός τε καὶ ἄγραφος ἐπῆλθέ μοι κατὰ νοῦν ἐν ἐκείνοις τοῖς χρόνοις, ἣν οὐκ ἔσπευσα παντὶ τῷ τῆς ψυχῆς αἱρουμένῳ σὺν Θεῷ

28 Φιλόθεος] λέγει περὶ τῆς ὑπὸ Θεοδωρήτου ἐπισκόπου Κύρρου συγγραφείσης φιλοθέου ἱστορίας. — 31 *ψυχῆς* M, *φύσεως* B.

παρευδοκιμῆσαι, ἢ τέως ἁμιλληθῆναι, καὶ μὴ δεύτερος τῶν ἄθλων ἐκείνων φανῆναι. Ἐν ταύτῃ γε μὴν τῇ τῶν πολιτειῶν σκληροτάτῃ, τῇ διετεῖ λέγω στάσει, καὶ μέγιστον εἴπερ ποτὲ τὸν πειρασμὸν καὶ τὴν ἀνάγκην ὑποστὰς οἶδα· καὶ γὰρ καὶ κιόνων τινῶν δίκην ἐξογκωθέντες μοι", φησίν, "ἦσαν οἱ πόδες, καὶ οὐκ οἶδ' ὅπως καὶ μεταβαίνων ἦν· οὐδὲ γὰρ ὡς οἰκείοις εἶχον αὐτοῖς ἔτι χρῆσθαι, καθά γε ἐδόκουν. Ὅμως καὶ ταῦτ' οὐκ ἐγώ", φησίν, "ἀλλ' ἡ τοῦ Θεοῦ δύναμις ὑπὲρ λόγον ἐνήργησεν ἐν ἐμοὶ πάντως τῷ ἀναξίῳ". Ταῦτα καὶ πρὸς τὸν μαθητὴν αὐτὸς ἐκεῖνος περί που τοὺς τῆς ζωῆς ἐπιλόγους ὠφελείας ἔλεγε χάριν καὶ πολλούς τινας ἔσχε τοὺς τῶν ἐκείνου τὰ πλείω γε συνειδότας, εἰ καὶ τῶν ἄλλων ἐκεῖνος ἀξιώτατος καὶ προύχων εἰς μαρτυρίαν τῶν αὐτὸς αὐτοῦ πολλῷ τινι δηλαδὴ τῷ μέσῳ, ὥς γε ἐγὼ νομίζω, οἶμαι δ' ὅτι καὶ τῶν εὖ εἰδότων ἐκεῖνον ἕκαστος.

51. Ἐπὶ τούτοις τοῖς ἄθλοις ὑπερφυῶς τῶν διττῶν ἐνιαυτῶν ὁ γενναῖος διανύσας τὸν κύκλον, μηδενὸς αὖθις τῶν Κρητῶν συνειδότος, ἀποβαίνει τῆς Κρήτης καὶ εἰς Εὔριπον ὁμοίως καταίρει, καὶ τοῖς ῥηθεῖσιν ἐνιαυτοῖς ἰσαρίθμοις κἀν τοῖς αὐτόθι διατετριφὼς ὄρεσι καὶ ταῖς ἐρημίαις, μεθ' ὁμοίας ὅτι μάλιστα τῆς διαίτης—ταῖς γὰρ αὐταῖς κἀνταῦθα δήπου βοτάναις ὡσαύτως καὶ τῷ ὕδατι καθάπαξ ἐχρῆτο, καὶ τῶν ἀγρίων δέ φημι δένδρων, κατὰ τὸν μέγαν Βαπτιστήν, εἴπου τοῖς ἀκροδρύοις ἐντύχοι—, ἄγνωστος διαγεγονὼς τὸ παράπαν καὶ τοῖς αὐτόθι εἰς, τὴν περιφανῆ Πελοπόννησον ἀφικνεῖται· οὐ μὴν κἀνταῦθα τὸ πᾶν, ὡς ἐν τοῖς προρρηθεῖσι, δηλαδὴ ταῖς ἐρημίαις ἐδίδου, ἀλλὰ τὸ μὲν πλέον κἀν ταύτῃ ταύταις, ὡς ἔθος, ἔστι δ' ὅτε καὶ ταῖς ἐν αὐτῇ πόλεσι καὶ τοῖς τῶν μοναζόντων φροντιστηρίοις καθ' ἱστορίαν τῶν πάλαι περὶ αὐτῆς ᾀδομένων. Οὐ μὴν ὑπερέβαινε κἀν τούτοις τὸν χρόνον, ἀλλὰ δύο κἀνταῦθα διαγεγονὼς ἔτη μετά γε τῶν ὁμοίων ἱδρώτων Ἀθήνας ὁρᾷ τὰς πάλαι θαυμασθείσας ἐπὶ σοφίᾳ· κἀπειδὴ μὴ καὶ τὰ θρυλλούμενα περὶ τούτων αὐτῶν ὁρᾶν εἶχε, μᾶλλον μὲν οὖν καὶ τοὐναντίον ἅπαν ὁρᾶν εἶχε βάρβαρον καὶ λό-

2 φανῆναι ἐκείνων M. — 24 ἀφικνεῖται M, φθάνει B.

Digitized by Google

γον καὶ τρόπον ἀντὶ τῆς παλαιᾶς εὐδοξίας ἐκείνης καὶ τοῦ χρυσοῦ τῶν σοφῶν γένους, τάχιστα καὶ πρὸς τὰς ἑξῆς μεταβαίνει πόλεις, Πάτρας τέ φημι καὶ τὴν λοιπὴν πᾶσαν Ἑλλάδα· ἐνιαυτὸς δ' ἄρα πρὸς τῷ ἡμίσει καὶ τὴν ἐν τούτοις περίοδον αὐτῷ κατεμέτρει. Ἐπεὶ δὲ τούτων ἱκανῶς εἶχε, τὸ πάλαι ποθούμενον Βυζάντιον ἐπὶ νοῦν αὖθις εἶχε. Πλοίου τοιγαροῦν ἐπιβάς, ἀνάγεσθαι μέλλοντος ἤδη, πρῶτα μὲν τῇ νήσῳ Τενέδῳ προσίσχει· εἶτ' ἐκεῖθεν εἰς Χερρόννησον κατηρκότων τῶν συμπλωτήρων, τοῦ πλοίου καὶ αὐτὸς εὐθὺς ἀποβαίνει καὶ τῇ χέρσῳ δίδωσιν ἑαυτόν, τοῖς αὐτὸς αὑτοῦ ποσὶ χρώμενος, ὥσπερ δὴ καὶ τὸ πρῶτον. Καὶ Μακεδονίαν μὲν διέρχεται πρῶτον, ἔστιν αἷς καὶ τῶν αὐτόθι πόλεων καθ' ἱστορίαν προβάλλων, ὅσαι δηλαδὴ καὶ ὀνόματός τινος μετέχουσι παρ' ἐνίοις. Εἶτα μεταβὰς ἐκεῖθεν εἰς Θρᾴκην, τῆς ἡμετέρας ταύτης Ἡρακλείας ἄρτι τότε συνισταμένης καὶ πρὸς ἀνακαινισμὸν καὶ συνοικίαν καθισταμένης δευτέραν, Ἀνδρονίκου δηλαδὴ ταῦτα σπουδάζοντος, τοῦ κάλλιστα βεβασιλευκότος ἐν τοῖς Παλαιολόγοις, πρόθυμος ἐπιβαίνει. Καὶ κύκλῳ περιελθὼν καὶ διελθὼν ἐπεσκεμμένως αὐτὴν πᾶσαν (εἰσὶ γάρ που καὶ στοαὶ παρ' αὐτῇ καὶ λείψανά τινα τῶν παλαιῶν οἰκοδομημάτων, καὶ τόποι μάλιστα πρὸς ἡσυχίαν εὖ ἔχοντες τῷ τε τῶν θορυβούντων ἱκανῶς πάντων ἀπεσχοινίσθαι καὶ τῷ πρὸς ἀέρας χειμῶνός τε καὶ θέρους εὐκράτως πάνυ καὶ ὁμαλῶς διακεῖσθαι), τὸ πρὸς τὴν νοτίαν θάλασσαν αὐτῆς ἀπολεξάμενος μέρος, κρημνῶδές τε καὶ δύσβατον ὂν ἱκανῶς καὶ παντοδαπαῖς ἀνεπίβατον ἐπηρείαις, σπηλαίῳ τινὶ κατὰ θάλατταν ὡς εἰπεῖν ἀπῃωρημένῳ, καὶ πρὸς ἡσυχίαν ἀνδράσιν ἀσκηταῖς πάλαι καλῶς ἀποτεταγμένῳ, φέρων ἑαυτὸν μετά γε τῆς ἴσης σιωπῆς καὶ τοῦ σχήματος κατακλείει· ἔνθα δὴ καὶ θυσιαστήριον ἱερὸν ἱδρυθέν, ἔργον εὐσεβοῦς καὶ φιλοκάλου ψυχῆς, χαρακτῆρα δεσποτικὸν ἐπί τινος αὐτόθι στοᾶς ἱερῶς ἐκ δεξιῶν γεγραμμένον φέρει, θεῖον ἄντικρυς χρῆμα καὶ θεανδρικῆς μορφῆς ὄντως ἐκτύπωμα· ὑπερβαίνει μὲν γὰρ τῷ μεγέθει μικρόν τι τὸ μέσον τοσοῦτον, ὅσον μὴ τῆς συμμετρίας ἐκβαῖνον καὶ τοῦ κάλλους ὡς εἰκὸς ἀποπίπτειν· τοσαύταις δὲ φαιδρότησι καὶ καλλοναῖς μᾶλλον ἂν εἴποι τις, ὅσον ἱεραῖς

*

τισι καὶ ἀρρήτοις, ὡς μηδέποτε κόρον λαμβάνειν τὸν ἐνορῶντα, μᾶλλον μὲν οὖν καὶ ἡδονῆς τινος ἀπορρήτου πληρούμενον πτεροῦσθαι δοκεῖν ὡσανεὶ τῷ πρὸς τὴν ὅρασιν ἔρωτι καὶ μηδ' εὐχερῶς ἔχειν ἀφίστασθαι. Διὰ τοῦτο καὶ δαψιλοῦς μεταδίδωσι τῆς χάριτος ὁ δι' αὐτοῦ προσκυνούμενος δεσπότης τοῖς μετὰ πίστεως εἰλικρινοῦς προσιοῦσι, ψυχὰς ὁμοῦ θεραπεύων καὶ σώματα. Ἐνταῦθα τὸ σῶμα περιγράψας ὁ θεσπέσιος Σάβας ἀγροῖκός τις ἐν ἀγροίκοις καὶ ξένος τῳόντι προσκαρτερῶν ἦν ἐπὶ πλεῖστον.

52. Ἐπεὶ δὲ τῶν τῆς πόλεώς τινες, καὶ μάλιστα τῶν ἱερωσύνης ἀξίᾳ καὶ κλήρῳ τετιμημένων, τὴν θαυμαστὴν ἐκείνην σιωπὴν καὶ τὸ τῆς ἀσκήσεως ἀγγελικὸν αἰδεσθέντες πυκνῶς ἐκείνῳ προσίασι, βρώματά τε κομίζοντες καὶ τοῖς ποσὶν εὐλαβῶς προσπίπτοντες καὶ λόγον ὠφελείας αἰτοῦντες, ἐκεῖνος τὴν ἀνθρωπίνην ἀποποιούμενος δόξαν, τὰ τῆς προτέρας ἐκείνης μωρίας προσποιούμενος ἦν ὡσαύτως· ὡς δὲ πείθειν ἐν τούτοις οὐκ εἶχεν, ἀλλὰ καὶ μᾶλλον ἐντεῦθεν θαυμάζοντες ἦσαν, τὸ περιὸν ἐκείνῳ τῆς ταπεινοφροσύνης, δι' ἣν δήπου καὶ τὸν μωρὸν ὑπεκρίνετο, καταλιπὼν τὰ ἐνταῦθα, τὴν ἐκ μακροῦ ζητουμένην, τὴν τῶν πόλεων φημι βασιλεύουσαν, τὴν Κωνσταντίνου, καταλαμβάνει. Καὶ πρῶτον μὲν ἔργον τῶν ἄλλων καὶ σπούδασμα τίθεται, οἷος ἐκεῖνος ἐν τοῖς τοιούτοις, θείους τε νεὼς ἱστορῆσαι καὶ ἀσκητῶν καταγωγὰς καὶ σεμνὰ φροντιστήρια, καὶ μηδὲν ὅλως τῶν ἐν αὐτῇ θείων καταλιπεῖν ἀνεξέταστον, μηδὲ τῆς ἐκεῖθεν αὐτὸς ἀπολειφθῆναι πνευματικῆς θυμηδίας καὶ χάριτος· οὗ δὴ καὶ κατὰ γνώμην αὐτῷ τελεσθέντος, μεγάλας ὁμολογῶν ἦν τῷ Θεῷ κἀντεῦθεν τὰς χάριτας οἷς τε τὴν τῶν πόλεων βασιλεύουσαν ἐκ μακροῦ ποθουμένην ὁρᾶν ἤδη καὶ μετ' ἐλευθερίας οἰκεῖν εἶχε καὶ οἷς τῶν αὐτῆς ἱερῶν τε καὶ τῶν θαυμάτων κατὰ σκοπὸν ἀφθόνως μετεῖχε καὶ τὰ τῆς καλῆς ἐπιθυμίας διὰ πάντων ὡς εἰπεῖν δεξιὸν αὐτῷ τέλος εἶχεν. Εἶτα καὶ τῷ δεδωκότι χάριτας ὡσανεὶ τῆς εὐεργεσίας ἐπιδιδούς, μᾶλλον δὲ τῶν μειζόνων ἑαυτὸν αὐτὸς ἀξιῶν καὶ τὰ φίλα δηλαδὴ ποιῶν καὶ συνήθη, φροντιστήριόν τι, τῷ τοῦ μάρτυρος Διομήδους ἐπικεκλη-

22 *φροντιστήρια* M, *μοναστήρια* B. — 28 *μετέσχε* B.

Digitized by Google

μένον ὀνόματι, τελευταῖον καταλαμβάνει, καί τινι τῶν ἐν αὐτῷ δωματίων περιγράψας τὸ σῶμα τῆς φίλης ἦν ἀγωγῆς αὐτόθι καὶ τῆς ἡσυχίας ἐχόμενος, ἄγνωστος τὸ παράπαν καὶ ἀνομίλητος, ἤδη δὲ καὶ τοῖς πᾶσι σχεδὸν ἀθέατος· ὀφθαλμοὺς γὰρ καὶ πρόσωπα συγκεκαλυμμένα τῇ σεπτῇ φέρων ἀκριβῶς περικεφαλαίᾳ, εἴ που καὶ συνέβη τῶν πάντων τινί πως ὀφθῆναι, τῷ πλείονι μέρει πάντως ἀθέατος ἦν, μὴ φωνῆς ἐκεῖθεν τὸ σύνολον προϊούσης, μὴ τῆς ὄψεως ὁρωμένης, ὅπερ εἰπὼν ἔφθην· ἔκρινε γάρ που παρ' ἑαυτῷ σοφῶς ὁ σοφὸς ἐκεῖνος τὰ καθάπερ ἐν ἐρημίᾳ τινὶ καὶ μονώσει διενεγκεῖν κἀνταῦθα τὸν βίον καὶ μηδὲν ἐμποδὼν αὐτῷ δήπου γενέσθαι τὰ τῆς πόλεως πράγματα πρός γε τὴν ὑψηλοτάτην πολιτείαν ἐκείνην καὶ τὴν ἐξ ἀρχῆς ἔνστασιν. Εὐλαβεῖτο δὲ καὶ τὴν φήμην ἄλλως, πάλαι τὰ κατ' αὐτὸν οὐκ ἐς Βυζαντίους μόνον, ὡς ἔφην, ἀλλὰ καὶ μέχρις Ἄθω καὶ Θεσσαλονίκης αὐτῆς μετὰ μείζονός τινος τῆς ἀξιώσεως παραπέμψασαν. Καὶ μὴν καὶ τοὺς τῆς πόλεως δι' ὑποψίας οὔτι μικρᾶς εἶχεν αὖθις τοῖς Θεσσαλονικεῦσι καθ' ἑταιρίαν τε καὶ πραγμάτων κοινωνίαν συνεχῶς εἴπερ τισὶ τῶν πάντων συνόντας, μήπου καί τινι γνώριμος γεγονὼς λάθῃ· οὐδὲ γὰρ τῶν ἀσήμων ἔκ τε τοῦ γένους καὶ τῆς ἀρετῆς ἦσαν οἱ τούτου πατέρες, καθὰ δὴ καὶ φθάσας ὁ λόγος ἐδήλωσεν, ὥστε καὶ διαλαθεῖν ἂν τὸ κατ' αὐτοὺς δρᾶμα κἀντεῦθεν αὐτὸς ἑαυτῷ διακόψειν τὸ εἰρηνικόν τε καὶ ἥσυχον. Διὰ τοῦτο καὶ τὰς τοῦ σώματος αἰσθήσεις ἀσφαλῶς πάντοθεν ἀποκλείσας πᾶσι νεκρὸς ἦν καὶ νεκροί, κατὰ τὸ γεγραμμένον, αὐτῷ πάντες ἦσαν ἐξ ἐφαμίλλου, μόνῳ Θεῷ δηλαδὴ σχολάζων ἀνεπιστρόφως καὶ τοῖς ἐκεῖθεν ἐνδιδομένοις μυστηρίοις καὶ ταῖς ἐλλάμψεσιν.

53. Ἀλλ' οὐκ ἦν τὴν λαμπάδα τῆς τοσαύτης ἀρετῆς διαλαθεῖν τὸ καθάπαξ· "οὐδὲ γὰρ δύναται", φησὶν ὁ θεῖος χρησμός, "πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη, οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι" φησὶ "τοῖς ἐν τῇ οἰκίᾳ". Δῆλος τοιγαροῦν καὶ ὁ μέγας ἐντεῦθεν γίνεται Σάβας καὶ ὁ τρόπος οἷος. Ἡ περὶ τούτου φήμη

22/31 Ματθ. ε', 14 - 16.

Digitized by Google

λαμπρῶς ἅπασαν τὴν Κωνσταντίνου περιλαβοῦσα δήλη καὶ βασιλεῖ γίνεται, καὶ πρὸ τούτου τῷ μεγάλῳ τῆς ἐκκλησίας προέδρῳ· οἳ καὶ μηδὲν ὅλως μελήσαντες εἰς ὄψιν ὁμοῦ καὶ ὁμιλίαν ἐλθεῖν ἀξιοῦσιν ἐκείνῳ· ὃ δὲ τὸ παράπαν ἀνένδοτος ἦν. Ἐπεὶ δὲ καὶ δὶς καὶ τρὶς καὶ πολλάκις τοῖς αὐτοῖς ἐγκεχειρηκότες ὡσαύτως ἀνηνύτοις ὤφθησαν ἐπιχειροῦντες καθάπαξ, τὴν μὲν ἔνστασιν ἐκείνου καὶ τὸ τῆς ἀρετῆς ἀπαράμιλλον καὶ αὐτοὶ μετὰ θαύματος ἐπαινεῖν εἶχον· κἀκεῖνό γε μὴν δι' ὑποψίας οὔτι μικρᾶς αὖθις εἶχον, μὴ οὐκ ὀρθῶς ὢν ἐκεῖνος τὴν περὶ Θεοῦ δόξαν καί τισιν ἐν ἀπορρήτοις τῆς σφετέρας ὁμιλῶν γνώμης ἔπειτα λάθῃ τῷ τῆς ἐκκλησίας εὐγενεῖ σπόρῳ τὰ νόθα τῶν δογμάτων ἐγκαταμίξας· τὸ γὰρ ἀξιόπιστον, αὐτῷ φασι, πάντως τὸ τῆς πολιτείας ὑψηλόν τε καὶ ἠκριβωμένον παρέξει καὶ τὸ παρὰ πᾶσιν οὑτωσὶ τὰ κατ' αὐτὸν βεβοῆσθαι. Ταῦτα πρὸς ἑαυτούς τε καὶ ἀλλήλους εἰπόντες, ἐπεὶ μὴ δι' ἑαυτῶν πεῖραν ἐκείνου τὸ παράπαν σχεῖν εἶχον (οὐδὲ γὰρ πείθειν οἷοί τε ἦσαν, ὡς ἔφην), εἰς ἑτέρας ὁδοῦ ἔρχονται πεῖραν, καί τινας ἀπολεξάμενοι τῶν τῆς ἐκκλησίας καὶ τῆς συγκλήτου, ἄνδρας σοφούς τε καὶ ἐπιστήμονας καὶ δεινοὺς μὲν ἦθος ἀνδρὸς καταμαθεῖν καὶ τῶν ἀφανῶν ἀπὸ τοῦ φαινομένου καταστοχάσασθαι, κρῖναι δὲ ἀρετὴν καὶ τοῦ δοκίμου διακρῖναι τὸ κίβδηλον ἀξιολογωτάτους ἀτεχνῶς καὶ δοκίμους, λίθον ἂν τις εἶπεν εὐστόχως αὐτοὺς τὴν Λυδίαν, στέλλουσι πρὸς τὸν μέγαν παντὶ τρόπῳ τὰ κατ' αὐτὸν ἐπισκήψαντας ἐξετάσαι καὶ τῇ τέχνῃ νῦν εἴπερ ποτὲ χρήσασθαι. Οἳ καὶ πρὸς ἐκεῖνον ἐλθόντες, αὐτίκα πρῶτα μὲν τὴν πρὸς αὐτοὺς ὁμιλίαν αὐτὸν ἀπαιτοῦσιν, ἔχειν γάρ τι κοινολογήσασθαι τῶν σφόδρα κατεπειγόντων, πρὸς αὐτοῦ τοῦ βασιλέως τε καὶ τοῦ πατριάρχου σταλέντες ἐπ' αὐτῷ τούτῳ· ἐπεὶ δ' ἐν τούτῳ καίτοι γε πολλάκις εἰπόντες πείθειν οὐκ εἶχον, "Ἀλλ' ἀμήχανον" φασιν "ἡμᾶς ἔχει εἰδέναι, πότερον ἡμέτερος, ἢ καὶ τῶν ὑπεναντίων αὐτὸς ὢν τυγχάνεις, εἰ γε μὴ τῇ γλώττῃ σαυτόν τε καὶ τὰ κατὰ σὲ δῆλα θείης, καθ' ὅσον οἷόν τε· τὸ μὲν γὰρ ἠκριβωμένον τῆς σῆς ἀσκήσεώς τε καὶ πολιτείας, σχῆμά τε καὶ

22 λίθον - Λυδίαν] Corpus paroem. II, σ. 186.

ἦθος καὶ τὸ φαινόμενον ἅπαν οὐκ ἔστιν ὃς οὐ θαυμάζει· δεῖ δέ, μᾶλλον δὲ καὶ πᾶσαν εἶναί φαμεν ἀνάγκην καὶ τὴν περὶ Θεοῦ δόξαν, ὁποίαν τινὰ κατὰ ψυχὴν ἔχεις, δήλην τέως ἡμῖν θέσθαι, ὡς ἄν, εἴ γε καὶ κατὰ τοῦτο συνᾴδων ὀφθείης, καὶ τὴν τοῦ Χριστοῦ νύμφην, λέγω δὴ τὴν ἐκκλησίαν, εὐφράνῃς καὶ τὸν ἄριστον σὺν αὐτῇ βασιλέα, κἀντεῦθεν πατέρα σε πάντες καὶ προστάτην πρὸς τὸν κοινὸν προβαλούμεθα δήπου δεσπότην καὶ φύλακα ψυχῶν ὁμοῦ καὶ σωμάτων· εἰ δ᾽ οὖν ἀλλὰ τῆς κατεχούσης τέως ἀμφιβολίας πάντας ἡμᾶς ἀπαλλάξεις, ὅπως ἂν ἔχοι πείσας ἐφ᾽ ἑνὸς τούτων τῶν λογισμῶν, ὡς ἐπί τινος ἀσφαλοῦς ἐρεῖσαι καὶ μὴ ταλαντεύεσθαι τῇ καὶ τῇ, καθάπερ ἔν τινι τρικυμίᾳ καὶ σάλῳ".

54. Ταῦτα καὶ τὰ τούτοις ἀκόλουθα τῶν σοφῶν ἐκείνων ἀνδρῶν εἰρηκότων, ὅρα μοι τὴν θαυμασίαν καὶ τῳόντι φιλόσοφον ψυχήν, ὅπως ἐπιστημονικῶς καὶ ὄντως ἀξίως ἑαυτοῦ τὸ πρᾶγμα μεταχειρίζει· δόξαν καὶ γὰρ αὐτῷ μήτε τοὺς σοφοὺς ἐκείνους, μήτε μὴν σὺν αὐτοῖς τοὺς αὐτοὺς ἀπεσταλκότας λυπῆσαι καὶ προσέτι τὴν αὐτὸς αὐτοῦ πολιτείαν καὶ τὴν ἐξ ἀρχῆς ἔνστασιν ἀπαράτρωτον πάντῃ τηρῆσαι, τῆς καθέδρας εὐθύς, ὡς εἶχεν, ἐξαναστάς, πρῶτα μὲν ὅλῃ ψυχῇ τοὺς ἐκείνων ἐπ᾽ ἐδάφους πεσὼν κατεφίλει πόδας· εἶτ᾽ ἐκεῖθεν ἐξαναστὰς καὶ χεῖρας καὶ ὀφθαλμοὺς καὶ πρόσωπα περιπλακεὶς ὁμοίως ἐφίλει· καὶ τῇ σφετέρᾳ κεφαλῇ τὰς ἐκείνων ἐπιτιθεὶς χεῖρας σφραγίζειν ἱερῶς ἐκείνους ἠξίου, τό τε περὶ αὐτοὺς φίλτρον καὶ τὴν κοινωνιαν τῆς δόξης καὶ τὴν πρὸς τὴν ἐκκλησίαν εὐλάβειαν ἅμα διὰ τῶν εἰρημένων δεικνύων. Εἶτα καὶ χάρτην κατὰ γνώμην ἐκείνων αἰτήσας, γραφίδι καὶ χεροῖν ἑαυτοῦ τό τε σεπτὸν τῆς ἱερᾶς ἡμῶν πίστεως σύμβολον καὶ τὴν λοιπὴν τῆς ὀρθῆς δόξης ὁμολογίαν ἀσφαλῶς ἐπισημαίνεται πᾶσαν, προσθεὶς ἐπὶ πᾶσιν, ἦ μὴν καὶ τῷ πατριάρχῃ προσέχειν καὶ τὸ προσῆκον ἐκ ψυχῆς ἀπονέμειν σέβας, ὅσα δὴ καὶ ἀρχιερεῖ τοῦ Θεοῦ γνησίῳ, καὶ προσέτι τῷ θείῳ βασιλεῖ τὴν ὀφειλομένην προσκύνησιν καὶ τιμήν, ὡς παρὰ τοῦ πάντων δηλαδὴ βασιλέως καὶ χρισθέντι καὶ τὴν ἐκείνου φέρειν ἐπὶ γῆς εἰκόνα πεπιστευμένῳ.

22 ἱερῶς ἐκείνους M, μετ᾽ εὐχῶν ὡς ἔθος B.

Digitized by Google

Τούτοις ἐκεῖνοι καὶ ὀφθαλμοὺς καὶ νοῦν ἐπιστατικῶς ἐμβαλόντες, ὥσπερ ἐνεοί τινες πρὸς ἀλλήλους ἑώρων· ἐξίστη καὶ γὰρ αὐτοὺς οὐ τὸ τῶν δογμάτων ὑγιές τε καὶ ἄπταιστον μόνον, ἀλλὰ καὶ τὸ κάλλος αὐτὸ καὶ ἡ σύνεσις καὶ ἡ διὰ πάντων ἐπιστήμη τῶν γεγραμμένων. Ὅθεν καὶ πεσόντες ἀθρόοι πάντες εἰς γῆν προσεκύνουν, χεῖρας ἐκείνας τὰς ὑπουργοὺς τῶν τοιούτων καταφιλοῦντες, καὶ προσέτι στόμα καὶ ὀφθαλμοὺς καὶ πᾶν ὡς εἰπεῖν μέλος· εἶτα καὶ ἱερὰν εὐχὴν μετὰ πλείστης ὅσης τῆς ἱκετείας παρὰ τῆς θεσπεσίας ἐκείνης ψυχῆς ᾔτουν. Καὶ ὅς, τὸ κοινωνικόν τε καὶ γνήσιον ἐνδεικνύμενος ὁμοίως κἂν τούτῳ, τὰς χεῖρας εὐθὺς εἰς οὐρανὸν ἄρας, θερμῶς ὑπὲρ αὐτῶν ἐδεῖτο τοῦ θείου. Ἀλλὰ προσέχειν ἀναγκαῖον ἐνταῦθα τῷ λόγῳ, καί τι τῶν ὑψηλοτέρων καὶ ἀφανῶν ἔχοντι· ὡς γὰρ ὁ μέγας ὑπὲρ αὐτῶν χεῖράς τε καὶ νοῦν εἰς οὐρανὸν δεόμενος ἦρε, Θεὸς ἄνωθεν ἐπισημαίνει κἀκείνοις τὴν περὶ τὸν ἑαυτοῦ θεράποντα χάριν· δύναμις γὰρ ἐκεῖθεν ἀοράτως ἐπιφοιτήσασα θεία καταφωτίζει τὸ ἡγεμονικὸν αὐτοῖς παραδόξως, ὥστ' ἂν ἐναργῶς τῆς τοῦ ἀνδρὸς ἀρετῆς αἰσθέσθαι, παθόντας καλῶς μᾶλλον ἢ ταῖς ἔξωθεν σκιαῖς καὶ τοῖς συμβόλοις στοχασαμένους τὴν περὶ τούτου γνῶσιν· ὅθεν καὶ τὸ δάκρυον ἀστακτὶ τῶν ὀφθαλμῶν ἐκείνοις αἴφνης ἀπέρρει πᾶσιν, ἀρρήτως αὐτίκα τὰς καρδίας ὁμοῦ τῷ περὶ ἐκείνων φίλτρῳ τρωθεῖσι καὶ οὐδὲ κατέχειν ἑαυτοὺς ὅλως ὑφ' ἡδονῆς καὶ θαύματος δυναμένοις· ὅθεν καὶ Θεῷ μεγάλας ἐπὶ τούτοις τὰς χάριτας ἀνομολογοῦντες ἔκπληκτοί τινες ἐκεῖθεν ἐξῄεσαν καὶ ἠλλοιωμένοι, προσκυνοῦντες μεθ' ὅσης τῆς αἰδοῦς καὶ τῆς εὐλαβείας καὶ ἄγγελον ἐπὶ γῆς καὶ θεοφόρον ἀληθῶς ἀποκαλοῦντες τὸν ἄνδρα· "Καὶ μάρτυρες ἡμεῖς αὐτοὶ τοῦ πράγματος", ἔλεγον, "ἀπαράγραπτοι, τὰς καρδίας οὕτω καταγλυκανθέντες καὶ οἱονεὶ μεταπλασθέντες πρὸς πᾶν ἀγαθὸν ὑπό γε τῆς περὶ αὐτὸν τοῦ πνεύματος χάριτός τε καὶ δόξης".

55. Ταῦτα καὶ βασιλεῖ δῆλα γεγονότα, καὶ δὴ καὶ τῷ μεγάλῳ τῆς ἐκκλησίας προστάτῃ, τὴν μεγάλην ἐκείνην ὡς ἐν βραχεῖ πᾶσαν ἐπλήρου πόλιν, καὶ πάντες σχεδὸν τοῦ κατ' αὐτὸν ἦσαν καὶ λόγου καὶ θαύματος, ἢ λέγοντες ἑκασταχοῦ τὰ περὶ αὐτοῦ, ἢ

Digitized by Google

καὶ ἀκούοντες ἕκαστος· ἐξ ὧν τί γίνεται; τὸ καὶ πρότερον ἤδη τῷ ἁγίῳ καλῶς ὑποπτευθέν, μᾶλλον δὲ καὶ προγνωσθὲν ἀκριβῶς διορατικῷ τῆς ψυχῆς ὄμματι, τέλος ἐναργὲς εἶχε, πᾶσιν ἐναργῶς καθορώμενον· τῆς γὰρ περὶ αὐτοῦ φήμης ἐπὶ πλεῖστον οὑτωσὶν αἱρομένης καὶ βασιλικῷ, καθά φασι, πήχει καθ' ἑκάστην ἐπιδιδούσης, ἐπεὶ τῶν ἐκ τῆς αὐτῆς πατρίδος καὶ ἄλλως ἔκ τε τῆς ἄνωθεν ἑταιρίας καὶ συγγενείας ἐκείνῳ προσηκόντων οὐκ ὀλίγοι κἀνταῦθα παρῆσαν (ὅ δὴ καὶ φθάσας ὁ λόγος ἐδήλωσεν), οὗτοι τοιγαροῦν τὰ παρ' ἑκάστου περιλαλούμενα καθ' ἕκαστον ἀνιχνεύοντες καὶ ῥινηλατοῦντες, οἷα δὴ καὶ θηρατικοὶ κύνες, ἐπεὶ καὶ εἶδος ἐκείνου καὶ σχῆμα, θέσιν τε μελῶν καὶ κρᾶσιν στοιχείων ἀκριβῶς τῶν ταῦτ' εἰδότων ἐπύθοντο, οὐκ ἐνδοιάσιμοι τὸ παράπαν ἦσαν, οὐδὲ σιγᾶν ἔτι τὰ κατ' ἐκεῖνον ἠνείχοντο· "ἀλλ' αὐτός ἐστιν οὗτος, αὐτὸς ὁ θαυμαστὸς δηλαδὴ Σάβας καὶ οὐκ ἄλλος", μεθ' ὅσης τῆς ἡδονῆς καὶ τοῦ θαύματος ἔλεγον, "ἡ κοινὴ τῆς πατρίδος ἡδονή, τὸ τοῦ γένους κλέος, ἡ μεγάλη τῶν πατέρων ὀδύνη τε καὶ κατήφεια, περὶ οὗ μεγάλα μὲν εἶχον ἀκούειν, ἀηδῶς δέ πως καὶ πρὸς αὐτὸ τὸ ζῆν εἶχον, ἐπειδὴ μὴ καὶ προσορᾶν τὸν φίλτατον εἶχον· περὶ οὗ καὶ ἡμῖν, ὡς ἴστε, μεγάλα τινὰ καὶ ὑπὲρ ἄνθρωπον ἤδη πρότερον ἤκουσται, ὡς ἄσκησίν τε καὶ πολιτείαν καινήν τινα καὶ ὑπὲρ λόγον ἀκριβῶς μετελθὼν εἴη, ὡς κατὰ τὴν τῶν Κυπρίων νῆσον πολλοὺς τοὺς διὰ Χριστὸν πειρασμοὺς ὑπενέγκοι, εἶτα καὶ μεγάλων ἐπὶ τούτοις χαρισμάτων ἀξιωθεὶς πρὸς Θεοῦ καὶ πνεύματος ἁγίου χρηματίσας κατοικητήριον ὅλος πολλῶν τινων καὶ μεγίστων θαυμάτων αὐτουργὸς γένοιτο· οὐ μόνον γὰρ ἀσθενοῦσιν αὐτὸς ἐκεῖνος ἰατρὸς ἀνεφάνη ταχύτατος καὶ τοῖς τὰ σώματά πως πεπηρωμένοις ῥῶσις ἀσφαλὴς καὶ ἀνόρθωσις, ἀλλὰ καὶ νεκρούς — ὢ τοῦ θαύματος! — ἀφῇ μόνῃ χειρὸς ἐξανέστησεν· ὅθεν καὶ περιβόητος οὐκ ἐν Ἱεροσολύμοις καὶ Παλαιστίνῃ μόνῃ, ἀλλὰ καὶ αὐτῇ φημι τῇ τῶν Σύρων γῇ καθ' ὑπερβολὴν καὶ ὡς οὐδεὶς οὐδαμοῦ τῶν πάντων ὁ θαυμάσιος κεχρημάτικε". Τούτων παρ' ἐκείνων οὑτωσὶ λεγομένων καὶ τῆς περὶ αὐτοῦ δόξης τὰς ἁπάντων

27 ἀνώρθωσις B.

Digitized by Google

κατεχούσης ἤδη ψυχάς τε καὶ γλώσσας καὶ μεῖζον ἢ κατ' ἄνθρωπον ὡς εἰκὸς τῷ μεῖζον ἢ κατ' ἄνθρωπον ἀληθῶς πολιτευσαμένῳ προσέχειν ἀναπειθούσης, κἀντεῦθεν ἴσα καὶ ποταμοῖς ὁσημέραι παντὸς γένους καὶ σχήματος καὶ ἀξίας πρὸς αὐτὸν συρρεόντων, ἐκεῖνος οὐκ ἀνεκτῶς ἔχων πρὸς ταῦτα, τὸ ταπεινὸν μὲν οὖν καὶ ἀνακεχωρηκὸς καὶ οἷον ἀνώνυμον πανταχοῦ περὶ πλείστου τιθέμενος, ὡσανεί τις ὑπόπτερος ὀξύτατα τούτων ἀποδρὰς πάντων καὶ μηδὲ τῆς ἀναχωρήσεως δεδωκὼς ὁπωσοῦν αἴσθησιν, τὸν φίλτατον αὖθις Ἄθω καταλαμβάνει καὶ τῇ πνευματικῶς καὶ γεννησάσῃ καὶ θρεψαμένῃ καλῶς φέρων ἑαυτὸν δίδωσι. Ποθῶ μὲν οὖν ἐνταῦθα τοῦ λόγου γενόμενος ἐφ' ἱκανὸν ἐνδιατρῖψαι τῷ διηγήματι καὶ τὰ τῆς πρὸς τὸν μέγαν οἰκειώσεως ἡμῖν καὶ συμπνοίας τὴν ἀρχήν, ὅπως ἔσχε, τίνα τε τῆς ἐκείνου θαυμαστῆς ὁμιλίας καὶ συμβιώσεως ἀπωνάμεθα διελθεῖν καὶ τῆς ἐκφανείσης ἐν ἐκείνῳ καὶ αὖθις κατατρυφῆσαι χάριτος, ἠθῶν τε καὶ λόγων κατὰ δύναμιν τῶν ἐκείνου μνησθῆναι, ἐπειδὴ καὶ τῶν ἄλλων μᾶλλον ἐμοὶ τούτων προσῆκεν, ὅσῳ καὶ μᾶλλον τῶν ἄλλων αὐτόπτης τουτωνὶ καὶ αὐτήκοος γέγονα· ἀνθέλκει δέ με τὸ τοῦ λόγου μῆκος ἐκεῖθεν, ἅμα μὲν τὴν ἀμετρίαν ἐκκλῖνον, ἅμα δὲ καὶ τῷ καιρῷ καὶ ταῖς ἐπικειμέναις ἡμῖν ἀσχολίαις περικοπτόμενον, ὅθεν καὶ μέσην ἀνάγκη βαδίζειν, τὴν ἐφ' ἑκάτερα καθόσον οἷόν τε παρατροπὴν ἀποκλίναντα· εἰ δέ που καὶ βιαζοίμεθα τῷ πόθῳ συνελαυνόμενοι, συγγνώμη τῷ πάθει φασί, πάντων ὄντι δικαιοτάτῳ καὶ ὃ πάσχειν ἀνάγκη τοῖς νοῦν ἔχουσιν.

56. Εἶχε μὲν οὖν ἀπολαβὼν φίλος Ἄθως τὸν ἐκ πολλοῦ φιλούμενον θαυμαστὸν Σάβαν, ἄριστα καὶ μετὰ παντὸς τοῦ βελτίστου διηνυκότα τὴν καλὴν ἐμπορείαν καὶ σὺν μεγίστῳ τῆς ἀρετῆς πλούτῳ καὶ τοῖς ἀγωγίμοις τῶν τοῦ πνεύματος χαρισμάτων καλῶς ὑποστρέψαντα, καὶ χαίροντες ἐπ' ἀλλήλοις μάλα λαμπρῶς ἦσαν καὶ περιφανῆ τινα καὶ θεσπεσίαν τὴν ἑορτὴν ἄγοντες, ὁ μὲν ὅτι τὴν ποθουμένην ὁμήγυριν τῶν πατέρων ἀθρόαν ὁρᾶν κατ' εὐχὴν εἶχεν, οἱ δ' ὅτι τὸν φίλτατον αὖθις ἀπολαβόντες εἶχον πολλαπλασίονά

5 *ἀνεκτὸς* B. — 23 *δικαιωτάτω* B. — 27 *ἐμπορίαν* B.

Digitized by Google

τινα τοῦ προτέρου καὶ μέγιστον ὄντως, οὐδ' ἐπ' ὀλίγον τῶν ἐλπίδων ψευσθέντες, οὐδ' ὑπὸ τῆς περὶ αὐτοῦ φήμης ἀπατηθέντες, καίτοι γε ψευδομένης ὡς τὰ πολλά, σύμφωνα μὲν οὖν τοῖς ἀκουσθεῖσιν ἐκ πολλοῦ τοῦ περιόντος εὑρηκότες τὰ πράγματα· ὅθεν καὶ χάριτας ἐπὶ τούτοις ὁμολογοῦντες ἦσαν τῷ εὐεργέτῃ καὶ δι' ἀμφοτέρων περιφανῶς ὁ Θεὸς ἐδοξάζετο. Σάβας μὲν οὖν ὁ μέγας, ἔτι τὴν φίλην ἀσκῶν σιωπήν, ἐπεὶ τὸ ἱερὸν ὄρος διέλθοι, κατὰ θέαν τε καὶ προσκύνησιν δηλαδὴ τῶν ἐν αὐτοῖς ἱερῶν, τῇ θαυμαστῇ τοῦ Βατοπεδίου λαύρᾳ φέρων ἑαυτὸν ὡσανεί τι χρέος ἔσχατον ἀποδίδωσιν, ἐπεὶ καὶ ταύτῃ σύν γε τῷ καθηγητῇ καὶ πρότερον αὐτοὺς ὑποκεῖσθαι φθάσας ὁ λόγος ἐδήλωσεν. Ἀλλ' ὁ μὲν τῆς φυγῆς ὑποστρέψας ἐκείνης μακαρίως αὐτόθι καταλύει τὸν βίον, ἐν βαθεῖ γήρᾳ τὴν σύζυγον ἀρετὴν ἔχων μέχρι τέλους ἀκμάζουσαν· ὁ δὲ μαθητὴς ἐκείνου καὶ πατὴρ τῷ περιόντι τῆς ἀρετῆς ὕστερον, ὁ μέγας ἐν πατράσι Σάβας φημί, καίτοι γε τοιοῦτος ὤν, ὑπερβολῇ μετριοφροσύνης τὴν ὑποταγὴν αἱρεῖται κἀνταῦθα καὶ πολὺς ἦν τῶν ἐν αὐτῇ πατέρων σχήματί τε καὶ νεύματι καὶ παντὶ τῷ τῆς ψυχῆς αἱρουμένῳ δεόμενος ἐπ' αὐτῷ τούτῳ δεχθῆναι. Καὶ τοῦ ποθουμένου τυχών, τηνικαῦτα καὶ τὴν γλῶτταν τῶν χρονίων ἐκείνων δεσμῶν λύει, καὶ λόγον ἀγαθὸν εὐκαίρως ἐρεύγεται, καὶ πλατύνει τὸ στόμα καὶ πληροῖ τοῦτο πάσης ἐπιστήμης τε καὶ σοφίας ὁ δαψιλῶς ἐναποκείμενος τῇ τούτου καρδίᾳ τοῦ πνεύματος θησαυρός, θησαυρὸς ἔμψυχος "ὑπὲρ χρυσίον καὶ λίθον τίμιον" πολύ, κατὰ τὸν σοφὸν εἰπεῖν Σολομῶντα, κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη, κατὰ καιρὸν εἰς μετάληψιν ἀνοιχθέντα καὶ λιμὴν ἀναψύξεώς τε καὶ σωτηρίας παντοδαπῆς, κατὰ τὸν αὐτὸν αὖθις εἰπεῖν, τοῖς μετασχοῦσι γενόμενα. Ἀλλὰ μήπω τοῦτο, ἀλλ' ὅτι τοῖς αὐτόθι πατράσιν ἐναρίθμιος, ὅπερ εἶπον, γενόμενος, τοῖς τῆς ἐκκλησίας ἐγκαταλέγεται τέως καὶ τοῦ χοροῦ τῶν ἱερῶς τὰ θεῖα συνᾳδόντων εἷς γίνεται. Ἀλλὰ τίς ἂν ἀξίως τὴν αὐτόθι συνδιαγωγὴν καὶ τὴν πολιτείαν τοῦ ἀνδρὸς διηγήσαιτο, τύπον ἄντικρυς οὖσαν καὶ κανόνα μοναδικοῦ βίου τὸν ὄντως εὐθύτατον;

9 *λάβρα* B. — 23 Παροιμ. η', 19. — 26 σωτηρίας] Παροιμ. β', 7.

Digitized by Google

πρῶτα μὲν γὰρ ἐκ βαλβῖδος ἑαυτόν, ὅ φασι, συναγαγὼν καὶ συστείλας πάντοθεν, τῷ φροντιστηρίῳ περιγράφει καθάπαξ, μηδ' αὐτῆς γοῦν τῆς κοινῆς πύλης προελθὼν τὸ παράπαν, εἰ μή που κατ' ἐπιταγὴν τοῦ προεστῶτος καὶ κοινὴν τῶν ἀδελφῶν πρόοδον, ἣν παρ' ἐκείνοις κατὰ καιρὸν ἐκτελεῖν ἔθος, ἢ κοινοῖς ὕμνοις τε καὶ δεήσεσιν εὐμενιζομένοις τὸ θεῖον, ἢ καὶ τὰ τῆς γῆς ὡραῖα τῶν κύκλωθεν ἐκκαρπουμένοις ἀγρῶν εἰς τὴν δι' ἔτους ἀπαραίτητον χρείαν τοῦ σώματος. Ἔπειτα τοῖς τρισὶ τούτοις τὴν αὐτόθι καταμερίζει διατριβὴν ὁ σοφὸς σοφώτατα τῳόντι καὶ κάλλιστα, τῇ τοῦ ναοῦ φημι θαυμαστῇ προσεδρείᾳ, τῇ κοινῇ τῶν ἀδελφῶν τραπέζῃ τε καὶ διαίτῃ καὶ τῇ τῶν ἀσθενούντων ἐπισκέψει τε καὶ νοσοκομίᾳ· καὶ τούτοις προσεῖχεν οὐχ ὡς ἄν τις τῶν ἄλλων ποτὲ μὲν σπουδάζων, ποτὲ δ' αὖθις τῆς ὁρμῆς ὑφιείς τι καὶ πρὸς ὀλίγον, ἀλλ' οὕτω ταῦθ' ὁμοῦ πάντα διῄει νηφόντως καὶ μετὰ τῆς ἴσης σπουδῆς ἕκαστον, ὡς οὐδείς ποτε τούτων ἓν οὐδ' ἐγγύς, ἀλλὰ τοῖς πᾶσι τύπος ἦν ἐν ἅπασι τούτοις καὶ ὑπόδειγμα κάλλιστον, μάλιστα μὲν τοῖς αὐτόθι σπουδαίοις θαυμαζόμενόν τε καὶ ζητούμενον, ἥκιστα δέ γε τῶν πάντων ἑνὶ πρὸς ἀκρίβειαν κατορθούμενον· τῷ γὰρ τῆς ἱερᾶς κώδωνος ἤχῳ τὸν νεὼν εἰσιὼν ἐκεῖνος πρό γε πάντων τῶν ἄλλων ἔσχατος ἐκεῖθεν αὖθις ἐξῄει μετὰ τοσαύτης γε μὴν τῆς σπουδῆς καὶ τῆς νήψεως παρειστήκει, ὡς Ἀγγέλοις δηλονότι συνὼν καὶ καθαρῶς αὐτῷ φημι τῷ Θεῷ παριστάμενος· οὐχ ὁμιλήσαντά τις αὐτὸν τὸ σύνολον εἶδε, τῶν ἱερῶν ᾀδομένων ὕμνων, οὐκ ὀκλάσαντα πρὸς τὴν πάννυχον στάσιν, οὐχ ὕπνῳ κατενεχθέντα ποτέ, οὐκ ὀκνηρίᾳ τινὶ τῆς εὐχῆς καὶ τῶν ὕμνων παυσάμενον· ποῦ γὰρ ἐν ἐκείνῳ χώρα τῶν τοιούτων ἀνθρωπίνων ὀλισθημάτων, ὑπὲρ ἄνθρωπον πάλαι γεγονότι καὶ αὐτῶν τῶν φυσικῶν ἀναγκῶν ἰσχυρῶς ἐκ περιουσίας κεκρατηκότι; οὐδὲ γὰρ ἐξελθὼν ὤφθη ποτέ, φυσικῇ τινι τέως ὡς ἄνθρωπος ἀνάγκῃ συνελαθείς, οὐδὲ κατὰ τὰς χειμερίους φημὶ νύκτας, μεγίστας τοῦ παντὸς πεφυκυίας, ὡς ἴσμεν, ἐνιαυτοῦ, πρὶν ἢ τὰ τῆς σεπτῆς ὑμνῳδίας πέρας τὸ σύνηθες λάβῃ· ἀλλ' ἵστατο καθάπερ τις ἀκά-

4 τῶν ἀδελφῶν M, τῆς ἀδελφότητος B.

Digitized by Google

μας καὶ ἀπαθέστατος, συναφθαρτισθέντος οἷον αὐτῷ καὶ τοῦ σώματος ἤδη, κατά γε τοὺς φιλοσοφήσαντας ταῦτα θεοφόρους εἰπεῖν, τῇ θαυμασίᾳ ψυχῇ. Τὸ δὲ μεῖζον ἐκείνου τε καὶ θαυμασιώτατον, ὅτι τοσοῦτον ἠκριβωμένος ἐν ἅπασιν ἦν, μέχρι δηλαδὴ καὶ τῶν λεπτοτάτων μετὰ πολλῆς τινος τῆς ῥᾳστώνης ταῦτα μετῄει, ὡς μηδὲ σπουδάζειν δοκεῖν πως τισίν, ἀλλ' ὡσανεὶ φυσικοῖς μᾶλλον κατὰ πᾶσαν ἐξουσίαν κεχρῆσθαι τουτοισὶ τοῖς πλεονεκτήμασιν, ἐπεὶ καὶ μικρὰ πρὸς ἐκεῖνον τά γε τοιαῦτ' ἀληθῶς ἦν, πάλαι τὴν ψυχὴν τέμενος εἰργασμένον Θεοῦ καὶ κρειττόνως ἢ κατ' ἄνθρωπον ἀεὶ ταῖς ἐκείνου θεωρίαις συνόντα καὶ ταῖς ἐλλάμψεσιν. Ὅθεν, εἴ πού τι τῶν τοιούτων παρ' οὑτινοσοῦν ὅλως θαυμαζόμενον, πρῶτα μὲν τῇ τοῦ σώματος ἐκεῖνα ῥώμῃ καὶ τῷ χρονίῳ ἔθει ἔσπευδεν ἐπιγράφειν, τῷ τε μὴ προσασχολεῖσθαί τισιν ἑτέροις, ὥσπερ δὴ καὶ τοὺς ἄλλους τῶν ἀδελφῶν, κἀντεῦθεν ὡς εἰκὸς πᾶσαν ἔχειν ἀνάγκην ὑπὲρ τοὺς λοιποὺς ἐν τούτοις ἑαυτὸν αὐτὸς καὶ βιάζεσθαι. Εἶτα καί τι τῶν συνήθων τοῖς ἄλλοις, ὡς καὶ αὐτὸς ταῖς αὐταῖς δῆθεν ὑποκείμενος ἀνάγκαις τῇ πολιτείᾳ παρέμισγεν, ἑκὼν ἐνδιδούς τι τῆς ἀκριβείας, ὡς ἄν, τὴν τῶν πολλῶν αἴσθησιν κλέπτων, μὴ περίβλεπτός τις ἐντεῦθεν, μηδ' ὑπὲρ τοὺς ἄλλους νομίζοιτο. Καὶ συνέβαινε μὲν ἔστιν οὗ κατὰ τὸν ἐκείνου σκοπόν, τοὺς πολλοὺς τῆς οἰκονομίας λανθανούσης τοῦ πράγματος, ἀλλὰ τοῖς γε σπουδασταῖς ἐκείνου καὶ νήφουσι κἀντεῦθεν ἐθαυμάζετο μάλιστα καὶ τῆς αὐτοῦ ψυχῆς τε καὶ ὁμιλίας ἐξηρτημένους εἶχε καὶ μονονοὺ τοῦτον πνέοντας.

57. Ἐνταῦθα καὶ ἡμεῖς ἄρτι τῶν κοσμικῶν ἀπαλλαγέντες θορύβων καὶ τῆς ἐκεῖ τῶν συνήθων ὁμιλίας τε καὶ περιφορᾶς, ἐπεὶ τὸν περιώνυμον Ἄθωνα καταλαβόντες τὴν τὸν θαυμαστὸν τοῦτον ἐν ἑαυτῇ κρύπτουσαν οὐκ ἀθεεὶ πάντως εἰς κατοικίαν εἱλόμεθα λαύραν, τῷ μεγάλῳ παρὰ πᾶσαν δηλαδὴ προσδοκίαν περιτυγχάνομεν θησαυρῷ, μᾶλλον δ' ἐκείνῳ τὴν ἀσθένειαν ἡμῶν, καθάπερ ἰατρῷ τινι καὶ παιδαγωγῷ σοφωτάτῳ, φιλανθρώπως ὁ φιλάνθρωπος Θεὸς ἐγχειρίζει, ὁ τῆς κοινῆς ἡμῶν σωτηρίας ὑπὲρ ἡμᾶς αὐτοὺς πολλῷ τινι τῷ μέσῳ καθ' ὑπερβολὴν ἐφιέμενος· ὃς ἐκ πρώτης ἰδὼν

Digitized by Google

ἡμᾶς οὐχ ἁπλῶς εἶδεν, ἀλλ' οἱονεί τις φιλόστοργος πατὴρ ὅλας τῆς ἀγάπης ἡμῖν τὰς ἀγκάλας εὐθέως ἀνοίγει, κἀντεῦθεν ἦμεν ἀλλήλοις ὁμόψυχοί τε καὶ συμφυεῖς, εἰ μὴ μέγα ἐμοὶ τοῦτο λέγειν· ἦν μὲν γὰρ καὶ πᾶσιν ἁπλῶς κοινή τις τὰ κατὰ τὸν μέγαν τοῦτον παιδαγωγία πρὸς ἀρετὴν καὶ λιμὴν οἷον παντοδαπῆς ἀναψύξεως καὶ φθεγγομένη καὶ σιωπῶσα παραίνεσις, ὁ δέ γε περὶ αὐτὸν φίλος χορός, οἱ καὶ τῆς ἐκείνου δαψιλῶς ὅσαι ὧραι μετέχοντες γλώττης καὶ τῶν τοῖς ἄλλοις ἀπορρήτων αὐτῷ κοινωνοῦντες, ἡ καθ' ἡμᾶς ἦν ἑταιρία δήπου τοῖς ἐγγύς τε καὶ τοῖς μακρὰν σὺν μεγίστῳ τινὶ τῷ μακαρισμῷ περιλαλουμένη· ἧς ἔγωγε τηνικαῦτα παρ' ἐκείνῳ τὰ πρῶτα φέρων, ὅσον εἰς ἀγάπης τε καὶ τιμῆς φέρει λόγον, ὡς καὶ τοὺς ἄλλους χορευτὰς σχεδὸν ὑπ' ἐμοῦ πάντας αὐτῷ συστῆναι, τῶν ὄντως πρωτείων (οὐκ ἔχω λέγειν πότερον ἑκὼν εἴτε καὶ ἄκων) ἑτέροις ἐξέστην — φεῦ τῆς ζημίας —, καὶ γεγόναμεν ἔν γε τῷ τοῦ καιροῦ παραστάντι, κατὰ τὸν εὐαγγελικὸν οἶμαι λόγον, "οἱ πρῶτοι ἔσχατοι καὶ οἱ ἔσχατοι πρῶτοι"· ὃ δή μοι καὶ τὸν λογισμὸν οὐ μικρῶς ὑποθράττει, μὴ καὶ τῶν μελλόντων εἴη προοίμια ταῦτα καὶ τῶν πολλῶν τε καὶ κλητῶν ἐκλεκτῶν ἐπ' ἐσχάτων ὀφθείην· ὅθεν καὶ κατηγορῶ μὲν ἐμαυτοῦ, πάσχω δέ τι καὶ πρὸς τὴν θεσπεσίαν ἐκείνην καὶ ἄληπτον ὄντως ψυχήν, ἵνα τὸ πάθος τέως ἐξαγορεύσω, εἰ καὶ τολμηρός πως ὁ λόγος. Ὅτου χάριν, ἄνθρωπε τοῦ Θεοῦ, ψυχὴν οὕτω μικράν τε καὶ ἀσθενῆ καὶ ῥάβδον μᾶλλον αὐτὴν τοῦ στηρίζοντός φημι δεομένην λόγου, ἀλλ' οὐχ ὅπλα φέρειν καὶ προπολεμεῖν ἑτέρων εἰδυῖαν, πρὸς τὴν ποικίλην ταυτηνὶ τοῦ πολέμου δυναστείαν ἐξαγαγεῖν ἠβουλήθης, εἴπερ ποτὲ νῦν αὐξηθεῖσαν, ὡς καὶ τοὺς ἀνδρειοτάτους αὐτοὺς καὶ γενναιότητι ψυχῆς ἐκ πολλοῦ τοῦ περιόντος ἰσχύοντας ταυτηνὶ διαφέρειν τὴν μάχην καθάπαξ ἀπαγορεύειν; Ἀλλὰ τοῦτο μὲν αὐτὸς ἂν εἰδείης· οὐ γὰρ ἔγωγέ τι περὶ τούτων ἀσφαλῶς ἔχω λέγειν· ἐκεῖνό γε μὴν ἀσφαλῶς ἔχω λέγειν, ὡς οὐ παντάπασιν ἡμᾶς περιόψῃ, ἀλλὰ καὶ τὴν σὴν ἐπικουρίαν καὶ τὴν λύσιν ὅτι τάχος αὖθις παρέξεις. Τοῦτό με καὶ λογίζεσθαι πείθει

16 Ματθ. ιθ', 30. κ', 16. Μάρκ. ι', 31. — 18 Ματθ. κ', 16. κβ', 14.

Digitized by Google

καὶ λέγειν, ἥ τε πρὸς Θεὸν ἐκ περιουσίας σὴ παρρησία καὶ τὸ περὶ ἡμᾶς ἀπὸ ψυχῆς διακείμενον, ὃ καὶ μᾶλλον αὔξειν εἰκός, αὐτόθι σοι γενομένῳ, καθάπερ καὶ πρὸς ἡμᾶς αὐτοὺς διά τινων ἤδη συμβόλων ὥσπερ ἐπαγγειλάμενος ἔχεις. Ἀλλὰ τὸ μὲν καθ' ἡμᾶς, ὅποι τῷ Θεῷ φίλον, ἀγέσθῳ ταῖς ἐκείνου πρεσβείαις, τῶν δὲ προκειμένων τέως ὁ λόγος αὖθις ἐχέσθω

58. Οὕτω, καθ' ὃν εἴρηται τρόπον, τοῖς ᾄδουσι τὰ θεῖα συνεστώς τε καὶ συνᾴδων ὁ μέγας, ἀναγινώσκων τε τοῖς ἄλλοις παραπλησίως, ὡς ἔθος, καὶ τοῦτο μετὰ τῆς προσηκούσης ἐπιμελείας τε καὶ τῆς ἐπιστήμης, ὡς μηδὲν ἧττον κἀν τούτοις τύπον τοῖς συνοῦσιν εἶναι τὸν κατ' ἐκεῖνον, καινόν τι καὶ θαύματος ἄξιον ἐφαίνετο τοῖς συνισταμένοις· ποτὲ μὲν γὰρ ἡδονῆς τινος καὶ θυμηδίας ἀφάτου τὸ θεῖον ἐκείνου πρόσωπον ὅλον ὡρᾶτο πεπληρωμένον — οἷος ἐπὶ πλεῖστον ἐκεῖνος —, ποτὲ δ' αὖθις συννοίας ἦν ὅλος μεστὸς καί τινος ἐκπλήξεως; ὡς ἐδόκει, καὶ θάμβους, ἔστι δ' ὅτε καὶ τῇ περικεφαλαίᾳ τὰ πρόσωπα καθάπαξ κεκαλυμμένα, ὡς μὴ τὸ σύνολον ὀφθῆναί τινι, παρὰ πάντα δηλαδὴ τὸν καιρὸν τῆς δοξολογίας. Ἡμῖν μὲν οὖν, τῆς τοῦ ἀνδρὸς ἀρετῆς ἤδη πεπειραμένοις, θεωριῶν ἐδόκει τὸ πρᾶγμα διαφορά· τῆς γὰρ ψυχῆς, ὡς εἰκός, τοῖς θεωρήμασι συνδιατιθεμένης ἐκείνοις, πᾶσαν εἶναι δήπου ἀνάγκην καὶ τὸν κατ' αἴσθησιν ὁρώμενον τοῦτο ταύτῃ συναλλοιοῦσθαι, ὅθεν οὐδὲ πυθέσθαι τι περὶ τούτων ἐποίει. Τοῦ δὲ χοροῦ τῆς περὶ αὐτόν τις ἑταιρίας, ὁ καὶ μαθητεύσας ὕστερον καὶ μέχρι τέλους ἐκείνῳ δηλαδὴ παρακολουθήσας, ὁμοῦ μὲν τῷ περὶ τὸν μέγαν ἡττώμενος φίλτρῳ, ὁμοῦ δὲ καὶ τῇ παρρησίᾳ τῇ ἐντεῦθεν τὴν ἁπλότητα τῆς ψυχῆς καλῶς παραμίξας, αὐτῷ προσελθὼν ἐκείνῳ διδαχθῆναι περιπαθῶς τὸν μυστικὸν τῶν φαινομένων ἐζήτει λόγον· ὃ δὲ πρῶτα μὲν ἀποπέμπεσθαι τοῦτον καὶ τῇ πεύσει μέμψιν οὔτι μικρὰν ἐπάγειν ἐδόκει, καὶ "Τίνος χάριν" λέγων, "ὦ φίλος, μὴ σαυτῷ μᾶλλον προσέχειν καὶ τὰς αἰσθήσεις ὁλοσχερῶς καὶ τὸν νοῦν αὐτὸν ἔνδον, καθόσον οἷόν τε, συνάγων τὰ κατὰ σαυτὸν ἀνασκοπεῖν ἐπιστημόνως καὶ δικάζειν ἐθέλεις, ἀλλὰ τούτων ἀφέμενος τὸ παράπαν, καὶ ταῦθ' οὕτως ἀναγκαιοτάτων ἡμῖν πεφυ-

Digitized by Google

κότων, οὐδὲ τὰς ἑτέρων ἀφυλάκτως ὄψεις περιεργάζῃ”; Ἐπεὶ δ᾽ ἱκανῶς ἦν ἐπιστύψας καὶ προσέχειν αὐτὸν ἑαυτῷ πείσας, πατρικῶς αὖθις καὶ γνησίως αὐτὸν προσκαλεῖται καὶ τὴν λύσιν δίδωσιν εὐθέως τοῖς ἀμφισβητουμένοις. “Ὁπηνίκα με περιχαρῆ καὶ εὔθυμόν τινα”, φησί, “βλέπεις, ἀνθηρόν τε καὶ γεγανωμένον τὸ πρόσωπον, καὶ τοὺς ὀφθαλμοὺς γλυκύτητος καὶ θυμηδίας ἔμπλεως ὅλως, ἐκεῖνο δήπου μαθὼν ἀκριβῶς ἔχε, ὡς αὐτὸς ὁ γλυκύτατος Ἰησοῦς, ὁ κοινὸς δηλαδὴ δεσπότης, ὑπερβολῇ φιλανθρωπίας ἀρρήτως καὶ ὑπερφυῶς ἐμφανίζεταί μοι, καὶ τῇ ξένῃ λαμπρότητι τοῦ θείου καὶ ὑπερφώτου φωτὸς ἐκείνου τῆς καρδίας μου καταστραπτομένης, θυμηδίας τε καὶ χαρισμάτων ἐξαισίων οἵων ἐντὸς ἀποπληρουμένης, καὶ τὸ φαινόμενον καὶ σωματικόν, ὡς ὁρᾷς, ἀλλοιοῦται, τοῖς νοεροῖς πως συνδιατιθέμενον καὶ συμπάσχον· ἡνίκα δὲ τοὐναντίον αὖθις σκυθρωπόν μέ τινα καὶ συννοίας καὶ θάμβους μεστὸν βλέπεις, τὴν ἀνθρωπίνην με ταλαιπωρίαν καὶ τὴν συντριβὴν ἴσθι πενθοῦντα, πῶς τῆς ὑπερφυοῦς ἐκείνου φημὶ δόξης τε καὶ τοῦ κάλλους δυσκλεῶς ἄγαν ἀποπεσόντες τῇ τῶν παθῶν ἀδοξίᾳ καὶ ταῖς προσύλοις ταυταισὶ συγκατασύρονται φαντασίαις, ἀντὶ τοῦ συνεῖναι Θεῷ καὶ τῆς ἐκεῖθεν γλυκύτητος καὶ τοῦ φωτὸς ἀρρήτως μετέχειν, τῷ πονηρῷ τῆς ἁμαρτίας συμπεριφερόμενοι σκότει καὶ τοῖς νοητοῖς ὄφεσι συνόντες καὶ τοῖς σκορπίοις, τοῖς ἰοβόλοις φημὶ Δαίμοσι, τὸ ψυχοφθόρον ἐκεῖνο δηλητήριον τοῖς ἑαυτῶν φίλοις καθ᾽ ὥραν κιρνῶσι. Τῇ γοῦν θεωρίᾳ μοι ταύτῃ τοῦ νοῦ προσασχολουμένου καὶ συμπάσχοντος ἐπὶ πολὺ τῷ τῆς κοινῆς ἡμῶν φύσεως πλημμελοῦντι, συμπάσχει, καθάπερ ὁρᾷς, καὶ συμμεταβάλλει μοι καὶ τὰ ἔξω καὶ πρὸς πένθος, ἔστιν ὅτε καὶ θρήνους ἀποβαίνει μοι τὰ τῆς θεωρίας, καὶ διὰ τοῦτο καὶ τὰς ὄψεις τηνικαῦτα περικαλύπτω, τὴν τῶν συνιόντων, καθόσον οἷόν τε, σοφιζόμενος γνῶσιν”. Τοῦ δὲ φοιτητοῦ καὶ φίλου τούτοις, ὡς εἰκός, ἐκπλαγέντος, εἶτα καὶ εἰ ταύταις διόλου συμπαραμένει ταῖς θεωρίαις αὐτὸν ἐπανερομένου, “Οὐ πάντοτε τοῦτο”, φησίν, “ὦ φιλότης· οὐδὲ γὰρ ἀπ᾽ ἐμαυτοῦ γε τοῖς τοιούτοις προστρέχω· πῶς γάρ, ἀνάξιον αὐτὸς ἐμαυτὸν κρίνων; ἐφίσταται μὴν ἀθρόα μοι, τοῦ

Digitized by Google

Θεοῦ βουλομένου, μηδὲν τὸ παράπαν εἰδότι, μηδὲ περιεργαζομένῳ τά γε τοιαῦτα".

59. Ἐν δὲ τούτοις καὶ τοῖς τοιούτοις ὁσημέραι λάμποντα τὸν γενναῖον καὶ τὰ μὲν πλείω καὶ ὑψηλότερα κατὰ τὸ δυνατὸν ἀποκρύπτοντα, τῷ δὲ τῆς ἀγάπης καὶ τῆς ταπεινώσεως ἄκρῳ τοῖς πᾶσιν οὐδὲν ἧττον γνωριζόμενον αὖθις καὶ διὰ τοῦτο καὶ τῶν πρώτων τιμῶν παρὰ πάντων σχεδὸν ἀξιούμενον, πάσαις ταῖς ψήφοις βουλεύονται μάλα καλῶς οἱ χρόνῳ καὶ ἀρετῇ προβεβηκότες τῶν ἄλλων τῇ τῆς ἱερωσύνης ἀξίᾳ τοῦτον τιμῆσαι, μᾶλλον δ' εἰπεῖν οἰκειότερον τῷ τῶν ταγμάτων ἁγιωτάτῳ καὶ πρώτῳ τὴν προσήκουσαν ἀπονεῖμαι χώραν, καὶ τιμῆσαι μὲν διὰ τῆς ἀρετῆς τοῦ ἀνδρὸς τὰ τιμῆς ὄντως ἁπάσης ἄξια, τιμῆσαι δ' οὐχ ἧττον ἑαυτοὺς διὰ τῆς καλῆς ἐκείνης ψήφου καὶ τῆς χειροτονίας, καὶ μὴν καὶ τὴν ἐκεῖθεν ὠφέλειαν κοινήν τε καὶ ἄφθονον οὐ τοῖς συνοῦσι μόνον, ἀλλὰ καὶ τοῖς μακρὰν ἀφεστηκόσι προθεῖναι. Καὶ πολλὰ τοῦτον ἀξιοῦσι δι' ἐμοῦ καταδέξασθαι τὴν χειροτονίαν· ἐπεὶ δὲ πείθειν τὸ παράπαν οὐκ εἴχομεν τὸν γενναῖον, ἔτι προσκειμένῳ μοι τῇ προκλήσει καὶ παντὶ τρόπῳ τὴν ἐκείνου γνώμην βιαζομένῳ (παρεῖχε γάρ μοι τὸ φίλτρον τό γε θαρρεῖν ἱκανῶς τὰ τοιαῦτα), "Τί μοι", φησίν, "ὦ φίλων ἄριστε, τὰ μελετώμενα τοῖς πατράσιν ἐν ἀπορρήτοις ἐξειπεῖν νῦν αὐτὸς ἐκβιάζῃ; σοὶ μὲν γὰρ εὐπετές τι καὶ ῥᾷστον εἶναι δοκεῖ πως τὸ πρᾶγμα, τῷ φαινομένῳ δηλαδὴ τῆς προκλήσεως προσέχοντι μόνῳ, καὶ διὰ τοῦτο καὶ πείθειν ἐπιχειρεῖς με παντὶ σθένει· ἀλλ' εἴ τί γε τοῦ σκοποῦ καὶ τῆς κατὰ βάθος οἰκονομίας ἐκείνων ἔγωγε συνιέναι καλῶς ἔχω, πνευματικὴν οἰκονομίαν ἀνθρώπων καὶ λαοῦ προστασίαν καὶ τά γε τοιαῦτα βουλεύονταί μου τῇ ψυχῇ καθάπερ φορτίον καὶ πέδην οἱονεὶ δυσέκλυτον ἐπιθεῖναι, καὶ διὰ τοῦτο καθάπερ ὑποβάθραν τινὰ καὶ θεμέλιον τῶν μελλόντων περιθεῖναί μοι σπεύδουσι ταυτηνὶ τὴν χειροτονίαν. Ἐμοὶ δὲ πῶς οἷόν τε τῶν οἰκειοτάτων ἀφεμένῳ κατὰ γνώμην τοῖς τοιούτοις ὥσπερ ἐκ μεταμελείας αὖθις προσέχειν, πάλαι τῆς πρὸς αὐτὰ μελέτης καὶ συνηθείας ἀπερρωγότι; ἢ

3 *λάμποντα* M, *θάλλοντα* B.

οὐχ ὁρᾷς, οἵαν τὴν περὶ ταῦτα σπουδὴν ἔχουσι καὶ τὴν ἀγωνίαν οἵ γε τοῖς τοιούτοις προσδεδεμένοις καὶ δεῖ προσηλῶσθαι πάντως διὰ βίου ταύτῃ τῇ ἀσχολίᾳ τὸν ἐν χερσὶν ἀφέμενον πάντων. "Ἔμοιγ' οὖν οὐδὲ μία τέως, ὦ φίλος, σχολή", φησί, "τούτοις διδόναι". Καὶ τὴν ἀοίδιμον ἐκείνην ὁ σοφὸς εὐθὺς εἰκόνα τούτοις ἐπῆγε· "Τὰ τοῦ δρυμοῦ", φησί, "ξύλα βουλὴν ὡσανεί τινα καὶ σκέψιν πρὸς ἄλληλα περὶ τῆς ἑαυτῶν προστασίας καὶ τῆς ἀρχῆς ἐποιοῦντο· ταύτην γε μήν, ὡς εἰκὸς ἐν τοῖς τοιούτοις, ἄλλων ἄλλοις διδόντων, ἔσχατον ἐφ' ἑνὶ συμφωνήσαντα πάντα τῇ ἀμπέλῳ τῆς ἡγεμονίας ταυτησὶ παρεχώρουν. Πάντων τοιγαροῦν ὁμοῦ πρὸς ταῦτα παρακαλούντων, Ἀλλ' οὐκ ἐγώ φησιν αὕτη τῶν ὁμογενῶν ἄρχειν οὐδαμῶς ἀξιώσω, τὴν εὐφροσύνην ὥσπερ ἀπαξιώσασα καὶ τὴν γλυκύτητα καὶ τὴν δόξαν τοῦ γνησίου καρποῦ μου. Ταῦτα καὶ τῆς συκῆς καὶ τῶν λοιπῶν καρποφόρων ξύλων ὁμοίως προβαλλομένων καὶ τὴν ἀρχὴν παραιτησαμένων ὡσαύτως, ἐπὶ τὴν ῥάμνον μεταφέρουσιν ὑπ' ἀνάγκης τὴν ψῆφον, ἥτις καὶ δέχεται, φησί, τὴν προστασίαν αὐτίκα, καρποῦ τὸ παράπαν ἄμοιρος οὖσα κἀντεῦθεν ταῖς ἐκτὸς ἀσχολίαις τὰ μεθ' ἑαυτὴν ἐπιτρέπειν εὐχερῶς ἔχουσα. Καὶ οὐ τοῦτο δήπου φαμέν", φησίν, "ὦ φιλότης, ὅτι τὸ ἄρχειν ἀνθρώπων ἀκαρπίας ἐστὶν ἁπλῶς σύμβολον· οὐδ' αὐτὸ τοῦτο, τὴν τῶν ὁμογενῶν προστασίαν, διὰ τῶν εἰρημένων ἀπαγορεύομεν, καὶ ταῦτα περὶ τῆς πνευματικῆς ταύτης καὶ ὑψηλοτάτης ὄντως τοῦ λόγου, ὑπὲρ ἧς πολὺς ὁ λόγος ὄντως τῷ τοῦ Θεοῦ Λόγῳ, τῷ πρώτῳ ποιμένι δηλαδὴ καὶ ἀρχιερεῖ, τῷ τὴν ἰδίαν ψυχὴν ὑπερφυῶς ὑπὲρ τῶν λογικῶν δεδωκότι προβάτων· μέγα γὰρ ὄντως τοῦτο καὶ θείας ἢ τέως ἀγγελικῆς ἰσχύος δεόμενον· καὶ τίς ἐστι, κατά γε τὸν δεσποτικὸν λόγον, ὁ πιστὸς καὶ φρόνιμος οἰκονόμος, ὃν κατέστησεν ὁ κύριος ἐπὶ τῆς θεραπείας αὐτοῦ, τοῦ διδόναι τοῖς ἀδελφοῖς τε καὶ ὁμοδούλοις ἐν καιρῷ τοῦ λόγου τὸ σιτομέτριον; Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως· ὃς τὸ στόμα δηλαδὴ τῆς διανοίας ἀνοίξας τὴν τοῦ πνεύματος χάριν δαψιλῶς εἵλκυσεν, ὠδίνησέ τε, προφη-

27.31 Λουκᾶ ιβ΄, 42, 53.

Digitized by Google

τινῶς εἰπεῖν, καὶ ἔτεκε πνεῦμα σωτηρίας ἐπὶ τῆς γῆς, ὡσανεὶ στόμα γενόμενος θεῖον, ἐξ ἀναξίου, κατὰ τοὺς ἐκείνου χρησμούς, θαυμασίως ἐξάγων ἄξιον· τοῖς δὲ λοιποῖς ἡμῖν ἀρκετόν", φησί, "τὸ τὴν χθαμαλήν τε καὶ ἀσφαλεστέραν τέως ὁδεύουσιν ἑαυτοῖς προσέχειν ὁπόση δύναμις, τὰς ἑαυτῶν ἐνδιδόντας ἡνίας ἑτέροις, κατὰ τὸν εἰπόντα σοφόν, καὶ ἀκινδύνως ἑπομένους τοῖς γε πνευματικῶς ἡγουμένοις καὶ ἄρχουσι".

60. Ταῦτ' ἔλεγεν ὁ θαυμαστὸς τῆς σοφίας οἶκος, ὁ τῆς ὑψηλῆς ταπεινοφροσύνης ἀκρότατος ὅρος, ὁ τῆς ἀπορρήτου θεοφανείας ἐκείνης αὐτόπτης ὑπερφυέστατος καὶ ταῖς ἐκεῖθεν πηγαζούσαις ἐλλάμψεσιν ἀρρήτως καὶ ψυχὴν καὶ σῶμα διὰ παντὸς φωτιζόμενος, ὁμοῦ μὲν ἑαυτῷ τὴν φίλην ἡσυχίαν καὶ τὸ πρὸς θεωρίαν συντηρῶν ἀκλινὲς καθάπαξ καὶ ἀπερίσπαστον, ὁμοῦ δὲ καὶ τοὺς ἄλλους ἔργῳ παιδεύων, ὅπως δεῖ ταῦτα φιλοσοφεῖν καὶ μεθ' ἧς τινος ἄρα προσιέναι τῆς παρασκευῆς καὶ τῆς εὐλαβείας τῷ τῶν ταγμάτων ἁγιωτάτῳ, ὁπηνίκα δὴ καὶ προσίεμεν. Ὅθεν οἱ μὲν πρὸς ταῦτα τὸν μέγαν παρακαλοῦντες ἐξ ἐκείνου τὸ παράπαν ἀπέστημεν, οὐ μᾶλλον τοῖς ῥηθεῖσι πεισθέντες, ἢ τὸ τῆς ἀρετῆς ὑπερβάλλον ἐκείνου θαυμάσαντες κἀντεῦθεν καταπλαγέντες τὸν ἄνδρα καὶ ὡς ὑπεράνθρωπον οἵ γε πλείους, ἐκείνῳ προσέχοντες· ὃ δὲ τῶν συνήθων ἦν καὶ αὖθις ἐχόμενος, τύπος μὲν ἀγαθοῦ παντὸς τοῖς συνοῦσι, καθάπερ ἔφθην εἰπών, ἐν παντὶ καιρῷ τε καὶ πράγματι, τῷ δὲ τῆς ταπεινοφροσύνης καθ' ὑπερβολὴν ἄκρῳ καθ' ὑπερβολὴν ὁμοῦ πάντας χειρούμενος· δηλώσει γε μὴν καὶ τὸ νῦν ῥηθησόμενον. Ἠβουλήθη ποτὲ τῆς ἐν τῇ κοινῇ τῶν ἀδελφῶν ἑστιάσει προεδρίας ἀξιῶσαι τὸν μέγαν ὁ τῆς μονῆς ἀφηγούμενος καὶ τοῖς τῶν ἄλλων προκαθημένοις πρεσβυτέροις καὶ τὴν ἀξίαν προέχουσιν ἐναρίθμιον θέσθαι τὸν πάντων ἐπὶ πᾶσιν ὡς ἀληθῶς ἀξιώτατον. Ἐπεὶ τοιγαροῦν ὁ τῆς ἑστιάσεως ἐνειστήκει καιρὸς καὶ πρὸς ταῖς εἰσόδοις ἦσαν αὐταῖς, δηλοῖ τὸν σκοπὸν ἐκείνῳ, τῶν τῆς τραπέζης διακόνων ἑνὶ τῶν λόγων ἀγγέλῳ δηλαδὴ χρώμενος καὶ ἀξιῶν μεθ' ὅσης τῆς εὐλαβείας μηδαμῶς ἀπαξιῶσαι τὴν πρόκλησιν· ὃ

1 Ἡσαΐου κϛ', 18. — 2 Ἱερεμίου ιε', 19.

δὲ πολὺς ἦν ὑποπίπτων καὶ τὴν διδομένην τιμήν τε καὶ προεδρίαν, ὡς ἀνάξιος δῆθεν, ἀποποιούμενος· "ἄλλως τε καὶ τῇ συνήθει καθέδρᾳ", φησίν, "οἰκείως πως ἔχων καὶ κάλλιστα προσαναπαυόμενος οὐκ ἀνεκτῶς φέρω τὴν ἐντεῦθεν μετάβασιν". Ἀλλ' ὁ προεστὼς πρόφασιν εἰδὼς ταῦτα καὶ λόγους ἄλλως τὸ μέτριον αὐτῷ συσκιάζοντας, τοῖς αὐτοῖς πάλιν ἐχρῆτο καὶ λόγοις καὶ ἀξιώμασι μετὰ θερμοτέρου τοῦ πνεύματος, "Ἄνελθε" λέγων, "ὦ πάτερ, πρὸς τῆς θείας ἀγάπης αὐτῆς καὶ τῆς ἐνούσης σου τῇ καθαρωτάτῃ ψυχῇ διακρίσεως, ἐπεὶ καὶ σοὶ μᾶλλον ἡ καθέδρα προσήκει τῶν πρεσβυτέρων καὶ τὸ τῆς προεδρίας ἀξίωμα, τὴν ἱερωσύνην αὐτὴν ἐν τοῖς τρόποις καὶ πρό γε τῆς χειροτονίας ἀκριβῶς ἔχοντι καὶ πάντων ἡμῶν ἀπαραμίλλως ἐν ἅπασι τοῖς βελτίστοις προέχοντι· οὐ γὰρ τῶν ἀξιωμάτων ἁπλῶς, ἀλλὰ τῶν κατορθωμάτων καὶ τῆς κατ' ἀρετὴν ἀξίας ἡ ἀληθὴς ὄντως προτίμησις". Ὁ δὲ καὶ μᾶλλον εἴχετο τοῦ μετρίου καὶ τῆς φίλης οὕμενουν οὐδενὶ τῶν πάντων ἐξίστατο ταπεινώσεως, πάντα ποιῶν καὶ λέγων, ὅσα γε τὸν ταῦτα φιλοσοφοῦντα λέγειν τε καὶ πράττειν εἰκός, καὶ τὴν ὑπὲρ τούτου συγγνώμην περιπαθῶς ἐξαιτούμενος. Ἐπεὶ δὲ τοῖς αὐτοῖς αὖθις καὶ πολλάκις ἐκεῖνος κατὰ ταὐτὸ πρὸς τὸν Σάβαν χρώμενος οὐδὲν μᾶλλον ἀνύων ἦν, οὐδὲ τὴν ἐκείνου τὸ παράπαν μετατιθεὶς ἔνστασιν, τοῦ μὲν καὶ ἄκων ἐξ ἀνάγκης ἀφίσταται, λύπῃ γε μὴν οὔτι μετρίᾳ κάτοχος ἦν καὶ ἀχθομένῳ τὸ παράπαν ἐῴκει καὶ πρὸς τὴν τοῦ σκοποῦ διαμαρτίαν ἀσχάλλοντι. Τούτων ὁ προρρηθεὶς τοῦ μεγάλου μαθητὴς καὶ φίλος αἰσθόμενος (παρίστατο γὰρ ὑπηρετῶν ἔτι τῷ κοινῷ πατρί, μήπω καταλεγεὶς ἐν τοῖς ἐκείνου μαθηταῖς, εἰ καὶ τῇ διαθέσει καὶ τοῖς κατὰ δύναμιν ἔργοις ἦν ἀληθῶς ὅλος ἐξηρτημένος ἐκείνου καὶ τὰ ἐκείνου πνέων ὑπὲρ τοῦτον ὡς εἰπεῖν τὸν ἀέρα, τὸν τὴν ζωτικὴν συνέχοντα δύναμιν), τὸν καιρὸν τοιγαροῦν ἁρπάσας ἐκεῖνος (ἐπεθύμει γάρ, ὡς αὐτὸς οὗτος ἔλεγεν ὕστερον, καὶ τὴν καρτερίαν ἔργοις αὐτοῖς τοῦ μεγάλου μαθεῖν καὶ οἷος ἐκεῖνος φανεῖται πρὸς τὰς ἔξωθεν ἐπαγομένας ἐπιτιμήσεις τε καὶ τὰ σκώμματα), πολὺς

8/9 καὶ τῆς ἐνούσης - δικρίσεως] ἐλλείπει ταῦτα τῷ M.

Digitized by Google

ἦν τοῦ προεστῶτος δεόμενος οἰκονομικῶς ἐπιτιμῆσαι τῷ θείῳ Σάβᾳ καὶ σκώμμασί τισι καὶ ὕβρεσιν ἐπὶ πάντων βαλεῖν ἐκεῖνον, ὡς ἀλαζόνα δῆθεν καὶ ὑπερήφανον καὶ μὴ τὴν ὀφειλομένην ὑπακοήν, κατὰ τοὺς πατέρας εἰπεῖν, ἀνυπόκριτον εὐθὺς ἐνδειξάμενον, ἀλλὰ τὸ ἑαυτοῦ μᾶλλον ἐσπουδακότα περιποιήσασθαι θέλημα· "Εἰ γὰρ καὶ τολμηρόν", φησί, "τὸ δρᾶμα διὰ τὸ περιὸν τῷ μεγάλῳ τῆς ἀρετῆς καὶ τὸ παρὰ πάντων συγκεχωρηκὸς ἐν πᾶσι τοῖς αὐτῆς εἴδεσιν, ἀλλ' οὐ ψεκτὸν οὐδ' ἀπόβλητον οἶμαι Θεῷ διὰ τὴν κοινὴν τῆς σῆς ποίμνης ὠφέλειαν". Τούτοις ὁ τῆς λαύρας πεισθεὶς προεστώς, τοῦ Θεοῦ πάντως ἀφανῶς τοῦτον ὑποκινήσαντος, ἵνα κἀντεῦθεν ὁ μέγας ἀναλάμψῃ μᾶλλον ἐν ἐκκλησίᾳ μεγάλῃ καὶ πυρσοῦ δίκην πρὸς τὸν τῆς ἀπαθείας ἑλκύσῃ λιμένα τοὺς τῇ θαλάσσῃ τῶν παθῶν καὶ ταῖς τρικυμίαις παλαίοντας, ἐπεὶ καὶ τὰ τῆς ἑστιάσεως τέλος εἶχε καὶ τοῦ τὴν τράπεζαν ἔχοντος οἴκου κοινῇ πάντες ἐξῄεσαν, τὸν σύλλογον ἔτι παρακατέχων ὁ προεστώς, σκώμμασι συχνοῖς καὶ λοιδοριῶν φορυτῷ, μετ' ὀργῆς καὶ πικρίας δῆθεν, ἐπὶ πάντων ἤρξατο βάλλειν τὸν ἅγιον, ἀλαζόνα τινὰ καὶ ὑποκριτὴν ἀποκαλῶν ἐκεῖνον, παρακοῆς τε καὶ ὑπερηφανίας ὑπόσπονδον ἄντικρυς καὶ νενοθευμένως καὶ κατ' ἔνδειξιν μόνην, πρὸς ἐξαπάτην δηλαδὴ τῶν ὁρώντων, οὐ πρὸς ἀλήθειαν, τὸ προσωπεῖον τοῦτο τῆς ἀρετῆς καὶ τῆς ταπεινώσεως περικείμενον, καὶ ἄττα τοιάδε. Ἀλλ' ὁ μὲν Σάβας τὴν κεφαλήν τι μικρὸν ὑποκλίνας αὐτίκα καὶ τὰς ὄψεις τῇ γῇ προσερείσας, ἀτρέμας τις καὶ συντεταμένος ὡς ἐν ἀκροάσει καὶ τελετῇ μυστηρίων εἱστήκει, συγκροτῶν, ὡς ἂν εἴπέ τις, ἑαυτὸν πάντοθεν· καὶ χάρις δέ τις ἐξ ἀφανοῦς προϊοῦσα τοῖς ἐκείνου προσώποις θαυμασίως ἐπέλαμπε, καὶ μεστὸς ἦν ὅλως ἀπορρήτου θυμηδίας καὶ φαιδρότητος· ταῦτα γὰρ τῷ προρρηθέντι μαθητῇ καθωρᾶτο, τῷ συσκευάσαντι τὰ τοῦ δράματος, περιεργότερον ἐκείνῳ τὸν ὀφθαλμὸν ἐπιβάλοντι. Ἐπεὶ δὲ τὰ τῆς ὑποκρίσεως ἱκανῶς εἶχε τῷ προεστῶτι καὶ τῶν κατὰ τοῦ μεγάλου λοιδοριῶν τε καὶ ὕβρεων ἔληγεν, ἠρέμα τοὺς ὀφθαλμοὺς ἐκεῖνος ἐπάρας καὶ σεμνῶς μάλα τὰ χείλη διάρας, ἐκεῖνα πρὸς αὐτὸν θαυμαστῶς διεξῄει, τὰ καὶ νοῦν καὶ λόγον ὑπερφυῶς καταπλήττοντα· πρὸς γὰρ

Digitized by Google

τὸ λάθρᾳ συσκευαζόμενον διορατικῷ τῆς ψυχῆς ὄμματι κατιδών. πρὸς ἐκεῖνο δὴ καὶ τὰς ἀποκρίσεις, οὐ πρὸς τὸ φαινόμενον τῆς ὑποκρίσεως, πάντως πεποίητο, "Σὺ μὲν" λέγων, "ὦ θεσπεσία καὶ φιλτάτη μοι κεφαλή, κατ' ἐμοῦ ταῦτα διεξιὼν ἀηδίαν τινὰ καὶ λύπην ἐπιφέρειν ὑπολαμβάνεις μου τῇ ψυχῇ, καὶ οἴει με δι' αὐτὸ τοῦτο καὶ δυσχερές τι καὶ μικρόψυχον ἴσως τῷ λογισμῷ τέως πρὸς τὴν ἱεράν σου βλέψαι ψυχήν· ἀλλ' ἔγωγε τὸν ἐμὸν πατέρα τε καὶ δεσπότην ἐκεῖνο δήπου γνησίως ἀντιβολῶ γινώσκειν (μάρτυς δ' ἔστω τῶν λεγομένων ὁ καὶ τῆς ἀληθείας αὐτῆς καὶ τῶν ἀπορρήτων τῆς συνειδήσεως ἔφορος), ὡς ἀπερίτρεπτά μοι καὶ πεπηγότα καὶ τὸ παράπαν ἀκλόνητα τὰ τῆς πρὸς σὲ στοργῆς τε καὶ πίστεως· ὅσῳ καὶ γὰρ τὸν φαινόμενον τουτονὶ χόλον καὶ τὴν ἀγανάκτησιν, ὡς αὐτὸς ἂν εἰδείης, κινεῖς κατ' ἐμοῦ καὶ σκώμμασι πλύνεις καὶ λοιδορίαις καὶ δυσχεραίνοντι δοκεῖς ἐοικέναι καὶ ἀχθομένῳ τὰ μέγιστα, τοσοῦτο τὰ τῆς ἀγάπης καὶ τῆς πίστεως οὐκ οἶδ' ὅπως ἀναζῇ καὶ αὔξει μοι τῆς πρὸς σὲ καὶ σκιρτῶντά σε μᾶλλον ὡσανεὶ καὶ συναγαλλόμενον δοκῶ περιφέρειν ἐν τῷ πλάτει τῆς ἐμῆς καρδίας καὶ μυστικῶς τε καὶ ἀρρήτως τὰ ἥδιστά με περιπτυσσόμενον. Μὴ γοῦν νομίσῃς ὅλως, ὡς ταῖς ὕβρεσί με ταύταις καὶ τοῖς ὀνειδισμοῖς τοῦ καθήκοντος παρατρέψεις καὶ τῆς ἐξ ἀρχῆς πρὸς τὸ σὸν φίλτρον ἐνστάσεως· ἀλλ' οὐδ' εἰ πολλαπλασίονά τινα τῶν εἰρημένων ἐπενέγκοις, τὴν δοκοῦσαν ταύτην ὕβριν καὶ τὸν ἐπὶ πάντων μυκτηρισμὸν καὶ τὸν θρίαμβον, ἢ καὶ πληγὰς ἐπιτεθῆναί μοι καὶ τοῦ φροντιστηρίου καὶ τῶν συνασκητῶν ἀπελαθῆναι μακράν που προστάξειας· ἐμπύρευμα μὲν οὖν τῶν πρὸς τὴν θεόληπτόν σου ψυχὴν θείων ἐρώτων μέγιστόν μοι ταυτὶ παραδόξως γενήσεται καὶ λαμπράν τινα τὴν φλόγα τῆς ἀγάπης ἀνάψει καὶ τὸν πυρσὸν περιφανῆ τε καὶ διαέριον. Ἔμβαλε γοῦν τῷ πυρὶ τῆς ἀγάπης τὴν τῶν σκωμμάτων καὶ τῶν ὕβρεων ταύτην ὕλην, ὦ θεσπεσία μοι κεφαλή, ἵνα καὶ μᾶλλον ἀκάματον αὐτὴν ἐργάσῃ καὶ πολλαπλασίως ἐξαπτομένην ὁσημέραι καὶ ζῶσαν καὶ μηδέποτε λήγουσαν, καὶ χάρις εἴη τοῦ ἀγαθοῦ πνεύματος ἐν τοῖς ἡγιασμένοις σου χείλεσι, τοιούτων μοι παρ' ἐλπίδας ὀφθέντος προ-

Digitized by Google

ξένου τῶν ἀγαθῶν, ἃ τοῖς τοῦ κόσμου δηλαδὴ τούτοις συναριθμεῖσθαι τὸ παράπαν οὐ πέφυκεν, ἀλλ' ἀγήρω καὶ ἀθάνατα μένει, κρείττω τῆς τῶν παρόντων καὶ τροπῆς καὶ τῆς λύσεως". Καὶ ὁ μὲν ταῦτα λέγων, ὥσπερ οὐκ ἀρκοῦντος τοῦ λόγου, καταλλήλως ἐκείνῳ προσετίθει καὶ πράγματα, τοῖς τοῦ ποιμένος ποσὶ τὴν κεφαλὴν ἐπιρρίπτων καὶ τούτους ἀκορέστως κατασπαζόμενος, μᾶλλον δὲ καὶ παντὶ τῷ σώματι τούτων ὁλοψύχως, οἷος ἐκεῖνος ἐν τοῖς τοιούτοις, προκαλινδούμενος. Οἱ μὲν οὖν μοναχοὶ πάντες μικροῦ τοῖς ἀκουσθεῖσι καὶ ἐπεπήγεσαν καὶ φρίκης καὶ ἀγωνίας ἦσαν μεστοί, παραδόξως ἐν ἀνθρωπίνῃ φύσει πνεῦμα θεῖον ὁρῶντες ὑπερφυῶς ἐνεργοῦν τε καὶ λαλοῦν τὰ παράδοξα· ὅθεν καὶ τὸν μὲν τῆς καινῆς ἀπαθείας καὶ τῆς τοῦ πνεύματος δαψιλοῦς ἐνοικήσεως ἐμακάριζον, κατὰ δὲ τοῦ προεστῶτος καὶ δυσχεραίνειν καὶ γογγύζειν πρὸς ἀλλήλους οὔτι μικρῶς ἐῴκεσαν, τοιαῦτα πρὸς τὴν ἀπαθῆ καὶ ἄληπτον ἐκείνην ψυχὴν ἀνηλεῶς ἐξυβρίσαντος· ἣν οὐχ ὅπως ὑβρίζειν, ἀλλὰ καὶ μυρίοις τισὶν ἀναδεῖν τοῖς τῆς εὐφημίας προσῆκε στεφάνοις, πάντων ἀπαραμίλλως ὑπερκειμένην καὶ διδάσκαλον καὶ φωστῆρα φανεῖσαν, ζωῆς λόγον ἐν μέσοις αὐτοῖς ἐπέχοντα, κατὰ τὸν θεῖον ἀπόστολον· τὸ γάρ τοι δρᾶμα καὶ τὴν τοῦ ποιμένος κατασκευὴν ἀγνοοῦντες ἐκεῖνοι τὸ παράπαν ἐτύγχανον. Οἱ δέ γε τῶν πρωτείων ἀμφισβητοῦντες ἀλλήλοις, βασκαίνοντές τε τοῖς εὐδοκιμοῦσι τῆς προεδρίας καὶ μνησικακοῦντες ὑπὲρ τούτων αὐτῶν ἔστιν ὅτε τοῖς τε πλησίον καὶ τοῖς προεστῶσιν αὐτοῖς ἀκατάλλακτα, τύφου καὶ τοῖς κάκιστ' ἀπολουμένοις φιλοδοξίας ὑπερβολῇ—πῶς ἂν εἴποις;—καλῶς συσταλέντες ἐβελτιώθησαν. Ὁ δὲ προεστὼς ἰδίᾳ τὸν μέγαν ἀπολαβὼν (ἐξεπέπληκτο γὰρ τὴν ψυχὴν τοῖς γενομένοις καὶ τὰς φρένας ὅλως ἠλλοίωτο), συγγνώμην μὲν αἰτεῖ πρῶτα τῆς τόλμης καὶ τῆς οἱονεὶ κατ' ἐκείνου πείρας τε καὶ τοῦ δράματος· εἶτα καὶ προσπεσὼν μεγάλας ὑπὲρ ἑαυτοῦ τε καὶ τῆς ποίμνης τῷ μεγάλῳ καθωμολόγει τὰς χάριτας, "Εὐχαριστῶ σοι" λέγων, "ἄνθρωπε τοῦ Θεοῦ, ὅτι τοσοῦτον ἡμᾶς τοὺς ἁμαρτωλοὺς ᾠκοδόμησας, ὅτι τὰ τέκνα σου ταῦτα τῷ περιόντι τῆς ὑπερβαλ-

6 *κατασπαζόμενος* B, *καταφιλῶν* M. — 19 Φιλιπ. β', 16 «λόγον ζωῆς ἐπέχοντες».

λούσης ἀρετῆς καὶ τῆς ἀπαθείας πολυτρόπως ἐπαιδαγώγησας καὶ ὠφέλησας. Νῦν ἀληθῶς ἔγνων, ὅτι πνεῦμα θεῖον ἐν σοὶ σοφίας ἁπάσης καὶ τελειότητος καὶ πολλῷ τινι τῷ μέσῳ τοὺς κατὰ τὴν γενεὰν ταύτην ἐπ' ἀρετῇ προκόπτοντας ὑπερβὰς τοῖς ἀρχαίοις ἐκείνοις ὀνομαστοῖς πατράσιν ὁμότιμος γέγονας". Εἶτα καὶ θερμὴν αὐτῷ σὺν εὐλαβείᾳ πολλῇ καὶ ταπεινώσει προσαγαγὼν αὖθις τὴν δέησιν, βιάζεται μᾶλλον ἢ πείθει τὸν μέγαν τὴν τῆς καθέδρας προτίμησιν δέξασθαι· ἐφ' ᾧ καὶ πάντες ἡσθέντες ἅμα προεστῶτι μετὰ πολλοῦ τοῦ θαύματος τὸν σύλλογον ἐκεῖνον διέλυσαν. Μεγάλα μὲν οὖν καὶ ταῦτα καὶ τῇ τοῦ ἀνδρὸς πολιτείᾳ καὶ τοῖς προλαβοῦσι κατορθώμασι μάλα συμβαίνοντα, πολλῷ δ' εἰς ὠφελείας τε καὶ θαύματος λόγον μείζω τὰ ἑξῆς ῥηθησόμενα, μᾶλλον δὲ τῶν λεχθέντων ἤδη καρποὶ τὰ προκείμενα καὶ τῶν καλλίστων ἐκείνων τῆς ἀπαθείας ἱδρώτων ἀμοιβαὶ ταῦτα πρὸς τὸ παρόν φημι τοῦτο τέως καὶ ἔπαθλα. Λεγέσθω κἀκεῖνα τοιγαροῦν καὶ τοῖς φιλαρέτοις, καθ' ὅσον ἡμῖν ἐφικτόν, εἰς πνευματικήν τινα προτιθέσθω τράπεζαν.

61. Ἐν τῇ κοινῇ τραπέζῃ ποτὲ συνεστιωμένων, ὡς ἔθος, τῶν τῆς λαύρας ταυτησὶ μοναχῶν καὶ τοῦ μεγάλου συνόντος δηλαδὴ τούτοις καὶ κοινωνοῦντος τῆς ἑστιάσεως, ὁμιλία τις παρὰ τὸ δέον μεταξὺ τούτων κεκίνητο· ἐκ δὲ ταύτης καὶ θόρυβος ἤδη κατὰ μικρὸν ἤρετο, σύγχυσιν ἐμποιῶν τῷ τε τὴν ἀνάγνωσιν, ὡς ἔθος αὐτοῖς, ποιουμένῳ καὶ τοῖς ἀκροωμένοις αὐτοῖς. Ἐπεὶ γοῦν οὐκ ἐνεδίδουν οἱ τῆς ἀταξίας καὶ τῆς συγχύσεως αἴτιοι, καίτοι γε τῶν ἐφεστώτων ἐπικειμένων καὶ τοῦ τῆς σιωπῆς ἐξάρχου σὺν ἱεραῖς τισιν ἐπικλήσεσιν, ὥσπερ ἔθος ἐκείνοις, προβαλλομένου συνεχῶς τὸ κηρύκειον (περιμάχητον γάρ τι χρῆμα καὶ πολλοῦ τινος τοῖς φιλοσόφοις ἐκείνοις τιμώμενον ἡ ἐπὶ τῆς τραπέζης εὔκαιρος σιωπή, πατέρων ἱερῶν ἱεροὺς τηροῦσι θεσμούς· οἳ δὴ καὶ πνευματικὰς διδασκαλίας καὶ πράξεις ἐθέσπισαν ἐπὶ τῆς τραπέζης ἀναγινώσκεσθαι φιλαρέτων ἀνδρῶν, εὐχήν τε μυστικὴν τοὺς ἑστιωμένους Θεῷ προσάγειν ἐν τῇ καρδίᾳ καὶ ὑπὲρ αὐτῆς τῆς τροφῆς αὐτῷ

27 κηρύκιον B.

Digitized by Google

γνησίως εὐχαριστεῖν)· τοῦ γοῦν θορύβου καὶ τῆς συγχύσεως ἐκείνης ἤδη καὶ αὐτὸς ἄνωθεν αἰσθόμενος ὁ ποιμήν, δυσχεραίνει μὲν τὰ πρῶτα καὶ ἄχθεται — πῶς ἂν εἴποις; — καθ' ἑαυτόν· ἔπειτα καὶ τὸ πρόσωπον αὐτὸ καὶ τὴν φωνὴν πικρίας ἐμπλήσας, χαλεπῶς ὁμοῦ πᾶσιν ἄνωθεν ἐπεξῄει καὶ μυρίοις τοῖς σκώμμασιν ἔβαλλε τοὺς ἀτάκτους, τοὺς ἀναιδεῖς, τοὺς φλυάρους, τοὺς ἀφοβίαν ἐσχάτην νοσοῦντας Θεοῦ, οἵτινες ὑπ' ἄκρας ἀναισθησίας ἀλόγου τροφῆς μετέχουσιν ἴσα δὴ καὶ κτήνεσι· "τράπεζα γάρ", φησί, "κατὰ τοὺς θεοφόρους εἰπεῖν πατέρας, μὴ ἔχουσα λόγον θεοῦ, φάτνης ἀλόγων ἀπέοικεν οὐδαμῶς· μᾶλλον δὲ καὶ λόγου δοκοῦντες μετέχειν" ἔλεγε "δῆθεν ὑμεῖς, θηριώδη καὶ βαρβαρικήν τινα ποιεῖσθε τὴν δίαιταν, ἀταξίᾳ καὶ μέθῃ καὶ ταραχῇ καὶ θορύβῳ διδόντες τὸ πᾶν". Ταῦτα καὶ τὰ τούτων ὑβριστικώτερά τε καὶ ἀτιμότερα σφόδρα μετ' ὀργῆς αὐτοῖς ἐμβοῶν (ἦν γὰρ καὶ τὸ ἦθος ὀξύτατος ἄλλως καὶ δεινὸς ὁ ποιμήν), ἵστησι μὲν τὸν ἀναγινώσκοντα, παύει δὲ καὶ τοὺς ὑπηρετοῦντας τῷ δέει συνάμα τοῖς ἑστιωμένοις αὐτοῖς, καὶ ἦν οὕτως ἐπὶ πολὺ σφοδροτέρῳ καὶ ἀκμαίῳ τῷ θυμῷ χρώμενος καὶ μυρίαις ταῖς ὕβρεσι πλύνων τοὺς ἐκεῖ πάντας ὁμοῦ, μέχρι δὴ καὶ αὐτῆς τῆς τοῦ ἀρίστου φημὶ συμπληρώσεως, μᾶλλον δὲ καὶ μετὰ τὴν ἑστίασιν αὐτὴν καὶ τὴν τράπεζαν· ἐπεὶ τὴν εὐχαριστήριον συνήθως πρὸς Θεὸν ὑπειπόντες εὐχὴν πρὸς τὰς θύρας ἑώρων ἤδη καὶ τὴν ἐξέλευσιν, πολὺς κατ' ἐκείνων καὶ αὖθις ἦν ῥέων καὶ ἀκρατῶς ἐκείνοις κιρνῶν τὸν τῆς δικαίας ὀργῆς καὶ τῆς ὕβρεως ἄκρατον, ἕως ἀπ' ἀλλήλων διαλυθέντες ἐπ' οἴκου βαδίζοντες ἦσαν ἕκαστος, οἳ μὲν καὶ πράως τὴν ἀγανάκτησιν φέροντες τοῦ πατρὸς καὶ ὡς καλῶς καὶ σὺν δίκῃ γεγενημένην προσέχοντες, "Ἡ παιδεία Κυρίου" λέγοντες "ἀνοίγει μου τὰ ὦτα" καὶ τὸ "Ἀρχὴ σοφίας φόβος Κυρίου" καὶ "οὐ φόβος, ἐντολῶν τήρησις"· οἱ δέ γε πλείους, οὐ τῶν τῆς κάτω μόνον φημὶ μοίρας καὶ τῶν πολλῶν, ἀλλὰ καὶ τῶν ἄλλως ἡλικίᾳ προεχόντων καὶ τάξει, καὶ ἀμετρίαν τοῦ πράγματος κατεγίνωσκον καὶ μέμψιν οὔτι μικρὰν ἐπῆγον τῷ προεστῶτι, ὡς ἰταμῶς καὶ ἀκαί-

27 Ἡσαΐου ν', 5. — 28 Ψαλμ. ρι', 10. Παροιμ. α', 7.

Digitized by Google

ρως δῆθεν κατὰ πάντων ὁμοῦ τῶν ὑπηκόων τῷ θυμῷ χρησαμένῳ καὶ μηδεμίαν μηδαμῶς λαβόντι φειδώ, μήτε τῆς ἐκείνων τιμῆς, μήτε τῆς ἑαυτοῦ δόξης, ἀλλ' οὕτω τῆς σφετέρας ἐξενεχθέντι πολὺ καταστάσεως, ὡς τὴν τῆς ὀργῆς ὅλην ἀνηλεῶς κατὰ τῆς πάντων καρδίας ὠθῆσαι μάχαιραν. Τούτων καὶ τῶν τοιούτων παρὰ πολλῶν λεγομένων αὐτήκοος γεγονὼς ὁ πολλάκις μοι ῥηθεὶς ἤδη μαθητὴς τοῦ θείου δηλαδὴ Σάβα (παρῆν γὰρ τὸ τηνικαῦτα καὶ αὐτὸς τῷ συλλόγῳ), καθ' ἑαυτὸν ἀμφισβητῶν ἦν καὶ τοῖς ἐναντίοις λογισμοῖς τούτοις κατ' ἴσον ἐκκείμενος· ὅθεν καὶ μὴ δυνάμενος ἀφ' ἑαυτοῦ συνιδεῖν, ὁποτέρῳ τούτων χρὴ τὴν νικῶσαν διδόναι, πρὸς τὸν μέγαν ἔγνω δεῖν ἀναφέρειν τὴν ψῆφον, πνεῦμα βουλῆς καὶ συνέσεως ἔχοντα θεῖον, κἀντεῦθεν εἰδότα, κατὰ τὸν σοφὸν Δανιήλ, ἀνακαλύπτειν κεκρυμμένα καὶ λύειν αἰνίγματα καὶ μετὰ Θεοῦ κρῖμα δίκαιον κρίνειν. Ἄνεισι τοιγαροῦν μετὰ θερμῆς τῆς πίστεως πρὸς τὸν διορατικώτατον ὀφθαλμὸν ἐκεῖνον καὶ τὸν σκοπὸν καὶ τὴν ἔφεσιν τῆς ψυχῆς ἀπαγγέλλει, καὶ δεῖται μάλα θερμῶς, τῶν ἐκείνου ποδῶν ἐπ' ἐδάφους προκείμενος, μαθεῖν παρὰ τῆς ἐκείνου γλώττης ὁποίαν τινα τὴν ψῆφον ἐκφέρει κατὰ τῶν ἐπὶ τραπέζης πραχθέντων καὶ λαληθέντων, μᾶλλον δὲ "Τίνας αὐτός", φησίν, "εἶχες τότε τοὺς λογισμούς, εἰ καὶ τολμηρὸς ὅλως ὁ λόγος ἐμοί, καὶ πῶς ἄρα πρὸς τὰ λεγόμενα παρὰ τοῦ προεστῶτος διέκεισο τὴν ψυχήν, διψητικῶς ἄγαν ἔχω μαθεῖν· ἣν γὰρ ἐξήνεγκε δήπου κρίσιν ἡ σὴ σοφωτάτη καὶ θεία ψυχή, ταύτην ἔγωγε θείαν ἄντικρυς εἶναι νομίζων, ταύτῃ καὶ προστεθήσομαι συνάμα γε τῷ τῆς ψυχῆς ὡρμηκότι παντί, καὶ οὐκέτι τοῖς ἀγνοοῦσι τἀληθὲς τῇδε κἀκεῖσε συμπεριφερόμενος μάτην ἔσομαι καὶ πλανώμενος. Μὴ οὖν ἀποπέμψῃς σου, δέομαι, τὸν οἰκέτην κενόν". Τούτοις ὁ συμπαθέστατος τὴν ψυχὴν ἐκεῖνος ἐπικαμφθείς, «Ἐπεί σε, φίλος, ὁρῶ», φησίν, «ὅλῳ θυμῷ πρὸς τὴν τῶν κεκρυμμένων ἐπειγόμενον γνῶσιν καὶ τοῦ πράγματος οὐκ ἀποστησόμενον, οὐδ' ἂν εἴ τι καὶ γέ-

11 πνεῦμα βουλῆς καὶ συνέσεως] Ἡσαΐου ια', 2. — 13 ἀνακαλύπτειν κεκρυμμένα] Δανιήλ β', 28, 29 || λύειν αἰνίγματα] Σοφίας Σολ. η', 8 || μετὰ Θεοῦ κρ. δ. κρίνειν] Ζαχαρ. ζ', 9. — 22 διψητικῶς B, ἐρωτικῶς M.

Digitized by Google

νοιτο, εἴ μοι πιστεύειν ἐθέλοις, ἐθέλεις δὲ πάντως, οἶδα, τήν τε παροῦσαν σπουδὴν καὶ τὸν περὶ ἐμέ σου τῆς ψυχῆς ἔρωτα καὶ τὴν πίστιν καλῶς ἐπιστάμενος, ἰδού σοι μυστήρια λέγω Θεοῦ ὡς "ἐν προσώπῳ Χριστοῦ", κατὰ τὸν μέγαν ἀπόστολον φάναι, μηδὲν τῆς ἀληθείας προτιθεὶς μηδοπωστιοῦν. Πάσης τοιγαροῦν ἀπεληλαμένης ἀμφιβολίας ἐκ τῆς ψυχῆς, ἄκουε νουνεχῶς· ἐκεῖνό γε μὴν ἔστω μετά τινος ἀσφαλείας προδιωρισμένον ἡμῖν, τὸ πρὸς μηδένα σε τῶν πάντων ἐξενεγκεῖν ἄν ποτε ταῦτα παρὰ πᾶσάν μου τὴν ἐν τῇ ζωῇ ταύτῃ διατριβήν. Τῆς ὁμιλίας ἐκείνης καὶ τοῦ θορύβου παρ' ὧν τινων οὐκ οἶδα κινηθέντων ἐν τῷ τοῦ ἀρίστου καιρῷ, ἐπεὶ σκώπτειν καὶ ταῖς ὕβρεσι πλύνειν ἄνωθεν ἤρξατο τοὺς ἀδελφοὺς ὁ πατήρ (οἶσθα δὲ καὶ αὐτός, ἐφ' ὅσον τὰ τῆς ἀγανακτήσεως καὶ τῆς ὀργῆς ἐκείνῳ προῆλθε· καὶ γὰρ καὶ ἡ συνήθης ἀνάγνωσις ἐντεῦθεν ἐπαύθη καὶ συστολή τις καὶ φρίκη πᾶσιν ἐπῆλθε σχεδόν, καὶ φόβου καὶ ἀγωνίας ἁπλῶς ἐγεγόνει τὰ πάντα μεστά), πρὸς τὸν ποιμένα τοὺς ὀφθαλμοὺς ἐπάρας αὐτός, θέαμα ξένον ὁρῶ, θαύματος ὁμοῦ καὶ χαρᾶς οὐχ ὅσης καὶ ῥηθῆναι ῥᾳδίας ἀληθῶς ἄξιον· φωτὸς γὰρ Ἄγγελοι δύο κατὰ ταὐτὸ τῆς καθέδρας αὐτῆς τοῦ ποιμένος ἐδόκουν μοι προελθεῖν· καὶ τὸ μὲν εἶδος αὐτὸ τοῦ προσώπου καὶ τὴν ἀναβολὴν φῶς ἐξαστράπτον ἦσαν, αὐτόχρημα μαρμαρυγὰς ἀφιέντες ὑπὲρ τὸν ἥλιον, ὡς καὶ τὸν οἶκον εὐθὺς ἐκεῖνον πάντα καταυγασθῆναι τῇ περιουσίᾳ τῆς ἐκεῖθεν ἐκδιδομένης χάριτος καὶ τῆς ἀστραπῆς, χαρίεντες ἄμφω καὶ καθ' ὑπερβολὴν ὡραῖοι τὴν ὄψιν, ἡδύ τι καὶ προσηνὲς βλέποντες καὶ ὅλως εὐφροσύνην τινὰ καὶ θυμηδίαν ἀποστάζοντες ἄρρητον. Ἐδόκουν δὲ λοιπὸν καὶ πρὸς δεξίωσίν τινα καὶ φιλοφροσύνην τῶν ἑστιωμένων εὖ μάλα παρεσκευάσθαι, καὶ διανομῆς ἤδη τῶν ἐν χερσὶν ἥπτοντο· τῶν γὰρ φωτεινῶν τούτων Ἀγγέλων ἅτερος μὲν φιάλας ἐν χεροῖν ἔχων ἐφαίνετό μοι καὶ κανά τινα χρυσῷ τῷ καθαρωτάτῳ πάντα κατεσκευασμένα λαμπρῶς· ἐνῆν δὲ τοῖς καλλίστοις ἄρα καὶ βασιλικοῖς τούτοις σκεύεσι πᾶν εἴ τι τῶν ἡμεδαπῶν τε καὶ ξένων ὀπωρῶν ἐξαίρετόν τε καὶ ἥδιστον, Ἰνδικά

4 Κορινθ. 2, β', 10.

τε πέμματα καὶ Ἰταλικά, ὅσα γε τῶν ἁπλῶν καὶ ὅσα τῶν συνθέτων τὰ τιμιώτατα, πλεῖστον μὲν ἔχοντα τὸ ἡδύ, πολλῷ δὲ περιττόν τε καὶ ἄφθονον τὸ ἐκ τῶν ἀρωμάτων εὐῶδές τε καὶ τερπνόν, ῥόδα τε καὶ ἴα καὶ εἴ τι τῶν ἀνθέων εὐωδέστατόν τε καὶ χαριέστατον, καὶ πρὸς τούτοις ὅσα τῶν ὀσφραντῶν ἄλλως εὐώδη τε καὶ ξενίζοντα, θυμιαμάτων τε συνθέτων πολυειδής τις ἐσμός, καὶ ἁπλῶς ὅ τι περ τῶν καλλίστων καὶ ξένων εἴς τε γεῦσιν καὶ ὄσφρησιν· καὶ μύρα δὲ τὰ ἐκ ῥόδων ταῖς χρυσαῖς ἐκείναις φιάλαις προσῆν, ἡδίστην καὶ τερπνὴν ἄγαν τὴν ὀσμὴν ἀποπνέοντα. Θατέρῳ δὲ τῶν Ἀγγέλων ἔργον ἐπιμελὲς ἦν ἡ τῶν εἰρημένων ἀγαθῶν πρὸς τοὺς ἐπὶ τραπέζης καθημένους δαψιλεστάτη διανομή· οἳ δὲ ἄρα πάντες οὐχ ὁμοίως μετεῖχον τοῦ γέρως ἐκείνων τῶν δωρεῶν, ἀλλ' οἳ μὲν καὶ δαψιλῶς καὶ πάντων ὁμοῦ, οἳ δὲ τὸ παράπαν οὐδοτιοῦν, ὅσοι δηλαδὴ τῆς τιμῆς ἐκείνης καὶ τῆς θείας εὐφροσύνης ἀνάξιοι· τὸ δὲ καινὸν ἐπὶ τούτοις καὶ τῆς δικαιοδοσίας ἐκείνης καὶ θείας χάριτος ὄντως ἄξιον, οἱ μὲν ὀξεῖς τῆς βασιλικῆς ἐκείνης φιλοφροσύνης καὶ τῶν δώρων διάκονοι πάσας ὁμοῦ τὰς τραπέζας ἐξ ἴσου διῄεσαν, φιλανθρωπότατα τοῖς ἑστιωμένοις ὁμοῦ πᾶσιν ἀφθόνους ἐπιπέμποντες ἄνωθεν τὰς τιμάς· αἳ δὲ τοὺς ἀξίους ἑαυτῶν — πῶς ἂν εἴποις; — ἀξίως γνωρίζουσαι, καθάπερ ἡλιακαί τινες ἀκτῖνες τοὺς ἐρρωμένους καὶ ἐνεργοὺς ὀφθαλμούς, ἐκείνοις δὴ καὶ πλουσίως ἐπέρρεον, πρόσωπά τε καὶ κόλπους ἐκείνων πληροῦσαι καὶ τῆς ἀφάτου τρυφῆς καὶ τῆς εὐωδίας ἐκείνης μεστοὺς ὅλους ἐμφαίνουσαι. Οἱ τὰ σκώμματα καὶ τὴν δικαίαν ὀργὴν τοῦ πατρὸς μακροθύμως δηλαδὴ φέροντες ἦσαν οὗτοι καὶ μεθ' ἡσυχίας καὶ ταπεινοφροσύνης εὐνοϊκῶς τὸν ἔλεγχον φέροντες, οἷς καὶ συνήδεσθαί πως τῆς εὐκληρίας καὶ τῶν θείων γερῶν ἡ ἀσώματος ἐκείνη φύσις ἐδόκει, ἥτις, κατὰ τοὺς θείους φάναι χρησμούς, χαρὰν ἄγει τὴν μεγίστην ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μεταμελομένῳ καὶ πρὸς τὸ καλὸν ἐπιστρέφοντι. Τούτοις καὶ χαρίεν τι καὶ ἱλαρὸν ἐπιβλέποντες ἐδόκουν τι καὶ προσλαλεῖν καὶ μυστικῶς τοῖς ὠσὶν ὑποψιθυρίζειν, ἥδιστα τὰς ἑαυτῶν κεφαλὰς ἐκείνοις — ὢ τῆς

28.30 Λουκᾶ ιε', 7. — 32 ὑποψιθυρίζειν B.

Digitized by Google

χάριτος — ἐπικλίνοντες· εἴκασε δ' ἄν τις ἐκεῖνο τὸ μυστικὸν μετ' εὐφροσύνης ὑποψιθυρίζειν αὖθις αὐτούς, ὃ καὶ τοῖς ποιμέσιν ἐπὶ τῇ κοινῇ σωτηρίᾳ καὶ δόξῃ τῶν ἀνθρώπων οἱ αὐτοὶ μετὰ τῆς αὐτῆς ἡδονῆς εὐηγγελίζοντο πρότερον, τὸ "Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη· ἐν ἀνθρώποις εὐδοκία", ἢ καὶ τὸ "Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω". Εἰ δὲ καὶ τὸ μυστικώτερον ἐκεῖνο κἀνταῦθά τις ἂν ἐκδέξασθαι θέλοι, τὸ δοθῆναι φημὶ θυμιάματα ταῖς προσευχαῖς τῶν ἁγίων καὶ στολὴν ἑκάστῳ λευκήν, ὥστε μικρὸν αὐτοὺς ἀναμεῖναι τοὺς ἑαυτῶν ἀδελφοὺς καὶ συνδούλους, ὡς ὁ τῆς βροντῆς υἱὸς ἐκδιδάσκει διὰ τῶν ἀπορρήτων ἀποκαλύψεων, οὐκ ἔξω τοῦ σκοποῦ πάντῃ βαλεῖν ἂν οἶμαι τὸν λόγον ἐκεῖνον. "Οἱ μὲν οὖν", ὁ μέγας ἔλεγεν αὖθις τῆς θεωρίας ταύτης ἐπόπτης, "ὅσῳ τῆς ἱερᾶς ἐκείνης τῶν Ἀγγέλων αἴγλης μετεῖχον καὶ τοῖς ἐπιρραινομένοις ἄνωθεν μύροις ἐλούοντο, λαμπρότεροι τὰς ὄψεις καὶ ἱλαροί τινες ἐφαίνοντο καὶ θεοειδεῖς κἀντεῦθεν πρὸς ἑαυτοὺς μᾶλλον εἷλκον τὰ δῶρα καὶ ὅλῃ ψυχῇ καὶ χειρὶ τοῖς κόλποις ἐκεῖνα καθυπεδέχοντο· παντὶ γάρ, φησὶν ἡ δεσποτικὴ φωνή, τῷ ἔχοντι δοθήσεται καὶ περισσευθήσεται· οἱ δὲ γογγυστικῶς τε καὶ σκληρῶς πρὸς τὰς πατρικὰς ἐπιτιμήσεις καὶ τὴν παιδείαν ἐκείνην τὴν ἔνδικον διακείμενοι καὶ ταῖς ψυχαῖς ἤδη πρὸς ἄμυναν βλέποντες, χόλου τε καὶ μήνιδος ὄντες μεστοί, τῆς θείας ἐκείνης δόξης καὶ τῆς λαμπρότητος ἑκόντες, φεῦ, ἑαυτοὺς ἀπεστέρησαν· ὅθεν καὶ τῶν κοινῶς ἐπιπεμπομένων θείων ἐκείνων δώρων, εἴ που συνέβη τι τοῖς τοιούτοις ἐπιπεσεῖν, οἷδε χερσὶν ὅλαις τὰς τιμὰς ἀπωθοῦντο καὶ μετ' ὀργῆς κατὰ τῶν θείων Ἀγγέλων ἀπέρριπτον· οἱ δὲ λύπης ἐπὶ τούτοις πληρούμενοι καὶ δικαίας ἀγανακτήσεως οὐδὲ προσέχειν ἐκείνοις ἔτι τὸ παράπαν ἠξίουν, οὐδὲ μεταδιδόναι τῶν ἐν χερσίν· ἀπὸ γὰρ τοῦ μὴ ἔχοντος, ὁ θεῖος φησὶν αὖθις χρησμός, καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ' αὐτοῦ (οὐ γὰρ ἠθέλησεν εὐλογίαν) καὶ μακρυνθήσεται ἀπ' αὐτοῦ. Τῶν γοῦν φωτεινῶν Ἀγγέλων, ἧπερ ἔφην, ἀποστρεφομένων

2 ὑποψιθυρίζειν B. — 4/5 Λουκᾶ β', 14. — 6 Ματθ. κε', 21. — 8/10 Ἀποκάλ. ς', 9-11. — 18 Ματθ. κε', 29. — 29 Ματθ. ιγ', 12. Μάρκου δ', 25.

Digitized by Google

αὐτούς, ἢ τἀληθὲς εἰπεῖν μᾶλλον τὰς ὄψεις ἐκεῖνοι τὰς ἑαυτῶν ἑκοντὶ μύοντες, ὡς μὴ δυνηθῆναι διαβλέψαι πρὸς τὰς τῆς ἀληθείας αὐγάς, τῶν ἐναντίων εὐθὺς ἐφαίνοντο, πάντων ἐξ ἐναντίου πληρούμενοι, σκότους φημὶ καὶ πικρίας καὶ πάσης ἀηδίας τε καὶ ὀδύνης ψυχῆς. Οἱ μὲν οὖν λαμπροὶ τοῦ Θεοῦ Ἄγγελοι τὸν οἶκον, ὡς ἔφθην εἰπών, διερχόμενοι πάντα, τήν τε πληθὺν τῶν πατέρων καὶ αὐτὰς δέ φημι τὰς τραπέζας τῶν ἐν χερσὶν ἐκείνων ἀγαθῶν ἀπεπλήρουν· ἐγὼ δὲ ταῦτα βλέπων, ὦ φίλος, καί τινος ἀρρήτου πληρούμενος ἡδονῆς, τά τε πρόσωπα καὶ τὰς χεῖρας καὶ αὐτοὺς δέ φημι τοὺς κόλπους ἀπλήστως προέτεινον εἰς μετάληψιν ἐκείνων τῶν ἀγαθῶν—τί γάρ; εἰ μή τις αὐτόλιθος εἴην ἢ καὶ πολέμιος αὐτὸς ἑαυτῷ —, ὧν δὴ καὶ δαψιλῶς ἄγαν κἀμοὶ παρεῖχον οἱ φιλάνθρωποι τῶν φιλανθρώπων γερῶν ἐκείνων διανομεῖς. Ὅθεν μηδὲ παύσασθαι τὸν πατέρα τῶν σκωμμάτων καὶ τῆς παιδείας εὐχόμην δήπου κατ' ἐμαυτόν, ὥστε μηδὲ τοὺς Ἀγγέλους παύσασθαι τῆς διανομῆς· ὅσῳ καὶ γὰρ ἐκείνῳ τὰ τῆς ἀγανακτήσεως καὶ τῆς λοιδορίας ἐδόκει προβαίνειν, τοσούτῳ καὶ μειζόνων καὶ δαψιλεστέρων μετείχομεν τῶν γερῶν καὶ τὸ φῶς ἐπετείνετο μᾶλλον καὶ λαμπρότητος καὶ δόξης ἀφάτου τὰ ἐκεῖ πάντα πλήρη μοι κατεφαίνετο. Ἐπεὶ δὲ καὶ τῆς τραπέζης ἐξαναστάντες κοινὴν τὴν εὐχαριστήριον ἀπεδίδουν εὐχήν, ἅμα καὶ τὴν τῆς δεσποίνης καὶ Θεομήτορος, κατὰ θεσμοὺς δηλαδὴ θείους, ἱερουργοῦντες ἀνάμνησιν καὶ τῆς ἱερᾶς δωρεᾶς ἐκείνης καὶ τοῦ ἁγιασμοῦ μετέχοντες, καὶ οἱ θεῖοι παρῆσαν αὖθις καὶ σεπτοὶ λειτουργοί, αὐτοῦ που παρὰ τὴν τοῦ ποιμένος τράπεζαν αἰδοῖ τινι καὶ σεβάσματι συμπαρεστῶτες ἡμῖν ἅμα καὶ συνευχόμενοι, τό τε σέβας ἀποδιδόντες ἀξίως τῇ τοῦ κοινοῦ φημι δεσπότου μητρὶ καὶ τὸ κοινωνικὸν ὁμοῦ καὶ φιλάνθρωπον κἀντεῦθεν ἐπιδεικνύμενοι καὶ τὴν πρὸς ἀνθρώποις εἰρήνην αὖθις καὶ συμφωνίαν τῆς ἀγγελικῆς φύσεως, ἣν ὁ τοῦ Θεοῦ Λόγος σαρκωθεὶς ὑπὲρ λόγον ἐνήργησεν, εἰρηνοποιήσας, ὅ φησιν ὁ θεῖος ἀπόστολος, τὰ ἐν οὐρανῷ καὶ τὰ ἐπὶ γῆς καὶ καταλύσας τὴν ἔχθραν ἐν τῷ σταυρῷ καὶ μίαν ἐκκλησίαν ἀμφότερα ἐργασάμενος·

11 *αὐτολίθος* BM. — 30/32 Κολοσ. α', 20. Ἐφεσ. β', 14-15.

Digitized by Google

επεὶ δὲ καὶ τούτων ἅλις ἡμῖν εἶχεν ἤδη καὶ πρὸς τὴν ἐκεῖθεν ἔξοδον ἦμεν, ἡγεῖτο μὲν ὁ ποιμήν, εἵποντο δὲ ἄρα καὶ οἱ λαμπροὶ τοῦ φωτὸς Ἄγγελοι, φέροντες ἐν χεροῖν ἔτι τὰ δῶρα, καθὰ δὴ καὶ τὸ πρότερον, καὶ τὸ τῆς καλῆς ἐκείνης διανομῆς, ὡς ἐδόκουν, ἐκδεχόμενοι σύνθημα. Τοῦ γοῦν πατρὸς ἀρξαμένου πάλιν τοῖς προτέροις, ὡς οἶδας, ἐπεξιέναι καὶ κατὰ πάντων ἀγανακτεῖν καὶ τὴν ἀταξίαν διελέγχειν κατὰ μέσην τὴν τράπεζαν, ἔργου καὶ αὖθις οἱ τοῦ Θεοῦ λειτουργοὶ εἴχοντο καὶ τὴν καλὴν ἐκείνην διακονίαν ἐπλήρουν, κυκλόθεν τοῖς ἀδελφοῖς παρισταμένοις μεθ' ἡδονῆς ὅτι πλείστης τὰ γέρα, καθὰ δὴ καὶ τὸ πρότερον, διανέμοντες· οὐ μὴν οὐδ' ἐξιόντος ἐκεῖθεν τοῦ ποιμένος οἱ τοῦ φωτὸς Ἄγγελοι τὸ παράπαν ἀπέστησαν, ἀλλὰ καὶ συνεξῆεσαν ἅμα· καὶ στάντι πρὸς τῷ συνήθει τόπῳ, ὥστε καὶ τὴν ἐξ ἔθους τοῖς ἀδελφοῖς εὐλογίαν καὶ συγγνώμην διδόναι, καὶ αὐτοὶ δήπου συνέστησαν ἔγγιστα. Ἐμοὶ δ' αὖθις ὁρῶντι καὶ ταῦτα δὴ πρὸς τοῖς εἰρημένοις ἐφαίνετο· τῶν ἐξιόντων τοῖς μὲν εὐνοϊκῶς καὶ μετ' εὐλαβείας καὶ ταπεινοφροσύνης τὸ γόνυ κλίνουσι καὶ τὴν συγγνώμην αἰτουμένοις πρὸς τοῦ πατρὸς ἡδύ τι καὶ χάριεν οἱ θεῖοι προσβλέποντες Ἄγγελοι προθύμως τε μετεδίδουν τῶν δώρων καὶ μετά τινος ἡδίστου καὶ σεμνοῦ μειδιάματος μυστικῶς αὖθις ὑπεψιθύριζον, ἐμβάλλοντες ἅμα καὶ ταῖς χερσὶν ἐκείνων χρυσίον τι θαυμαστόν, πολλῷ τοῦ συνήθους τούτου καινότερον, ὃ δὴ καὶ τῶν ἑαυτῶν οἱ διδόντες ἐκφέρειν κόλπων ἐφαίνοντο· τοῖς γε μὴν ἀχαρίστοις καὶ γογγυσταῖς καὶ κατὰ τοῦ πατρὸς φερομένοις, κἀντεῦθεν μετ' ὀδύνης καὶ ὑποκρίσεως δῆθεν τὸ γόνυ κλίνουσιν, οὐδὲ προσέχειν ὅλως ἠξίουν, ἀλλ' ἀπέστρεφον ἐκείνων καὶ χεῖρας καὶ πρόσωπα, κἀντεῦθεν ἐκεῖνοι κενοὶ πάντων καθάπαξ ἀπῄεσαν. Τούτων οὕτω", φησί, "γενομένων, ἐπεὶ καὶ οἱ μοναχοὶ σὺν τῷ προεστῶτι πάντες πρὸς τοὺς ἑαυτῶν οἰκίσκους ἀπῄεσαν ἕκαστος, καὶ οἱ μεγάλοι τοῦ θαύματος αὐτουργοὶ ἐξ ὀφθαλμῶν μου γεγόνασιν Ἄγγελοι". Τοιαῦτα μὲν δὴ τὰ τῆς θαυμαστῆς θεωρίας ἐκείνης· τοιούτοις δὲ καὶ τὸν μέγαν ἡ χάρις ἐδεξιοῦτο καὶ οὕτω κεκαθαρμένην ἔσχε τὴν ψυχὴν καὶ τοὺς ὀφθαλμούς, ὡς μηδὲν ἐκεῖνον ἔτι τῷ δεσμῷ τῆς σαρκὸς

Digitized by Google

συνόντα τῆς ἀγγελικῆς καθυστερεῖν ὁμιλίας καὶ καθαρότητος· καὶ καινὸν οὐδὲν Ἀγγέλοις οὕτω συνεῖναι καὶ ὁμιλεῖν τὸν τῆς μεγάλης ἐκείνης καὶ πρώτης τοῦ Θεοῦ θεωρίας σὺν τοῖς Ἀγγέλοις κοινωνὸν χρηματίζοντα, καθὰ δὴ καὶ φθάσας ὁ λόγος ἐδήλωσε. Καταπλαγεὶς δὲ καὶ ὁ φίλος μαθητὴς τοῖς παρὰ δόξαν ἀκουσθεῖσι τούτοις (οὔπω γὰρ ἀκριβῶς ᾔδει τὸν μέγαν), ἐντεῦθεν ὅλος ἐκείνῳ προστίθεται καὶ δεσμοῖς ἀρρήκτοις συνδεῖται φιλίας καὶ οἰκειώσεως, μᾶλλον δέ, φίλος τὸ πρότερον ὤν, καὶ υἱὸς ἐξ ἐκείνου καὶ μαθητὴς γίνεται· ὃς δὴ καὶ μέχρι τῆς πρὸς Κύριον ἐκδημίας καὶ ἀναλύσεως ἐκείνῳ συνών, καὶ ταῖς σωματικαῖς ἐξυπηρετησάμενος χρείαις κάλλιστα καὶ μετὰ τοῦ προθύμου παντὸς καὶ μηδὲ τῶν ἐκείνου μηδὲν καθ' ὅσον οἷόν τε παραλιπὼν ἀνεξέταστον, τὰ πλείω τῶν εἰρημένων ἡμῖν φιλαλήθως παρέθετο, καθὰ δὴ καὶ φθάσαντες εἴπομεν.

62. Ἀλλ' ἐν τούτοις τῶν πραγμάτων ὄντων ἡμῖν (δεῖ γὰρ πάντως ἐπιτεμεῖν) καὶ τοῦ μὲν θείου Σάβα δίκην φωστῆρος ταῖς ὑψηλοτάταις τῶν ἀρετῶν ἐξαστράπτοντος, εἰ καὶ τὰ πλείω τοὺς πλείους ἢ καὶ πάντας σχεδὸν διελάνθανεν (οὐδὲ γὰρ οὐδενὶ τῶν πάντων, οἶμαι, τὰ τοιαῦτα συσκιάζειν ὁλοσχερῶς), ὡς τῷ μεγάλῳ τούτῳ δι' ἄκραν ταπεινοφροσύνην κατώρθωτο, τῆς δὲ λαύρας ἐκείνης ὑπ' αὐτοῦ στηριζομένης τε καὶ χειραγωγουμένης καλῶς πρὸς τὰ κρείττονα (καὶ γὰρ τοῖς πᾶσιν ὁδηγὸς ἄριστος ἦν καὶ σιωπῶν καὶ φθεγγόμενος, ἄρχουσί τε καὶ ἀρχομένοις, σοφοῖς τε καὶ ἰδιώταις, ἀσθενέσι καὶ ὑγιέσιν, ἣν ἂν εἴποις ὑγείαν τε καὶ νόσον, νέοις καὶ γεγηρακόσι τοῖς τῆς ἀκριβείας ἅμα καὶ τῆς ἁπλότητος· ὅθεν ἄρα καὶ τῷ θείῳ ὄρει παντὶ διὰ θαύματος ὅτι πλείστου τὰ κατ' αὐτὸν ἦγετο καὶ διδάσκαλος πᾶσι σχεδὸν ἦν ὁρώμενός τε καὶ ἀκουόμενος), βάσκανον ὀφθαλμὸν ὁ κοινὸς ἄνωθεν τῶν ἀγαθῶν τῷ γένει τῶν ἀνθρώπων βάσκανος καὶ φθορεὺς ἡμῖν ἐπιβάλλει, τὸν φωστῆρα τοῦτον καὶ ὁδηγὸν οἱονεί τινα λίθον ἐκλεκτὸν ἔντιμον τῶν θεμελίων ἐξελὼν τῆς πνευματικῆς Ἱερουσαλὴμ ἐκείνης, τοῦ ἱεροῦ φημι Ἄθω· ὅθεν ἄρα καὶ τὰ τοῦ σεισμοῦ καὶ

30/31 λίθον ἐκλεκτὸν ἔντιμον κἑ] Ἡσαΐου κη'. 16.

Digitized by Google

τῆς θραύσεως ἐκείνης ἀρξάμενα οὔπω καὶ νῦν εἰσέτι λήγει, ἀλλὰ καὶ προκόπτει μᾶλλον ἐπὶ τὸ χεῖρον, βαρβαρικαῖς ὁρμαῖς αὐξανόμενα. Τῆς γὰρ κοσμικῆς ἐκείνης ἀταξίας, φεῦ, καὶ συγχύσεως κάκιστα προκοπτούσης, καὶ πάσης τῆς Ῥωμαϊκῆς ἀρχῆς χρήμασί τε καὶ σώμασιν, ἵνα μὴ καὶ ψυχαῖς αὐταῖς εἴπω, φθειρομένης ὁμοῦ καὶ εἰς τὸ μηδὲν ἤδη χωρούσης, διὰ τὴν καθ' ὑπερβολὴν πλημμυρήσασαν τοῦ γένους ἡμῶν ἁμαρτίαν, βουλὴν οἱ τοῦ θείου ὄρους σὺν τῷ κοινῷ δηλαδὴ βουλεύονται προεστῶτι, συνετὴν ὁμοῦ καὶ γενναίαν καὶ τῷ τῆς ἀρετῆς αὐτῶν ἀξιώματι μάλα πρὸς τρόπου· τοὺς γὰρ προὔχοντας ἀρετῇ τε καὶ ἀξιώματι τῶν ἱερῶν ἐκλεξάμενοι φροντιστηρίων ἐκείνων, καὶ μάλιστα τοὺς τῆς μεγάλης λαύρας Ἀθανασίου φημὶ τοῦ πάνυ, ἅτε δὴ καὶ πολλῷ τινι τῷ μέσῳ καὶ λόγῳ καὶ ἀρετῇ καὶ φιλανθρωπίᾳ καὶ τῷ διὰ πάντων δοκίμῳ τῶν ἄλλων ὑπερκειμένης, σὺν τῷ κοινῷ καθηγεμόνι τοῦ ὄρους ἐκπέμπουσιν εἰς πρεσβείαν τοῖς βασιλεῦσιν, εἰρήνην τὴν καλλίστην ἀξιοῦντες τῆς κάκιστ' ἀπολουμένης στάσεως ἀνθελέσθαι καὶ τὰ κατ' ἀλλήλων ξίφη καταθεμένους τοῦ μὲν συγγενοῦς αἵματος καὶ τῆς κοινῆς τοῦ γένους ἀπωλείας λαβεῖν οἶκτον, κατὰ δὲ τῶν κοινῶν ἐχθρῶν κοινῇ πάντας αὐτά τε καὶ τὸν θυμὸν παραθῆξαι· οὕτω γὰρ τό τε θεῖον ἐνεργὸν καὶ τὰς ἑαυτῶν εὐχὰς συνεργοὺς ἔχειν· εἰ δ' οὖν, ἀλλὰ πάντως πᾶν τοὐναντίον. Οὕτω τῶν πατέρων καλῶς καὶ καιρίως βουλευομένων, ἐν τοῖς πρώτοις τῶν πρέσβεων καὶ ὁ μέγας ἐχειροτονεῖτο δηλαδὴ Σάβας, καὶ πολὺς ἦν ὁ περὶ αὐτοῦ λόγος, τοῦ τε κοινοῦ προεστῶτος καὶ πάντων ὁμοῦ τὰ ἴσα ψηφιζομένων· τῷ δὲ καινή τις ὄχλησις ἐδόκει ταῦτα καὶ ἀσχολία, πάλαι τῶν τοιούτων ἀφεμένῳ καθάπαξ καὶ Θεῷ μόνῳ καὶ ταῖς ἐκείνου θεωρίαις ἀνενδότως σχολάζοντι· ἄλλως τε καί τι τῶν μελλόντων ἐναργῶς ἐκεῖνος ἤδη προβλέπων οὐδὲ προσέχειν τὸν νοῦν τοῖς ὑπὲρ τούτων ἀξιοῦσιν ὅλως ἠξίου· ὅθεν καὶ πολλάκις τοῦ προεστῶτος τῆς λαύρας καὶ τῶν ἀδελφῶν εἰς ταὐτὸ συνεληλυθότων, καὶ πολλὰ περὶ τῶν αὐτῶν ἀξιούντων, ἄκαμπτος ἦν τὸ παράπαν. Ἐπεὶ δ' ὁ τῆς πρεσβείας ἔξαρχος, ὁ προρρηθεὶς

25 *κενή* B.

Digitized by Google

φημι κοινὸς τοῦ ὄρους προστάτης, τῆς περὶ τὸν θεῖον Σάβαν σπουδῆς οὐκ ἠφίει, οὐδ' ἂν αὐτὸς ἅψασθαί ποτε διατεινόμενος τῆς προκειμένης πρεσβείας, οὐδὲ τὸ πρυμνήσιον λῦσαι δυστυχῶν οὕτως ἐκ πρώτης, ὅ φασι, τῆς ἀφετηρίας (τούτῳ γὰρ ἄντικρυς ὁ ἱερὸς ἐκεῖνος πρεσβύτης τὴν στέρησιν ᾤετο καλῶς τοῦ θαυμαστοῦ Σάβα καὶ τὸ μὴ συνέμπορον ἔχειν αὐτὸν δηλαδὴ καὶ τὴν σὺν αὐτῷ χάριν), πείθουσι, μᾶλλον δὲ βιάζονται καὶ ἄκοντα συνελθόντες αὖθις ἅμα τὸν μέγαν· ἔχει γὰρ φασί τι καὶ βίας τὸ φίλτρον. Ὁ δὲ πείθεται μὲν καὶ συντίθεται βιασθείς, ὅπερ εἶπον, τῇ κοινῇ τῶν πατέρων ψήφῳ, προλέγει δὲ μάλα προφητικῶς καὶ πεπαρρησιασμένως εἰς ἀκοὰς πάντων τὸ μέλλον. "Ἐγὼ μέν", εἰπών, "ὦ σεβάσμιοι καὶ φίλοι πατέρες, ἄπειμι, κατὰ τὰ κεκελευσμένα, ἐπεὶ ταῦθ' οὕτως ὑμῖν ἔδοξε καὶ μεταθέσθαι τὴν γνώμην οὐκ ἔνι· ἐκεῖνο δὲ βούλομαι πάντας ὑμᾶς εἰδέναι, ὡς ἀπελευσόμεθα μὲν ἐκεῖσε καὶ πολλὰ περὶ τῆς σπουδαζομένης κοινῆς ὠφελείας καὶ εἰρήνης ἐροῦμεν, ἀνύσομεν δ' οὐδὲν οὐδοτιοῦν τὸ παράπαν· ἐροῦσι γὰρ καὶ ἡμῖν ἄντικρυς· Ἴστε τὸ πάλαι ῥηθὲν ὑπό τινων πρὸς τὸν μέγαν Ἱερεμίαν· μὴ προφητεύσῃς, φησίν, ἐπὶ τῷ ὀνόματι Κυρίου· εἰ δὲ μή γε, ἀποθανῇ, ἐπεὶ καὶ αὐτοὶ προφανῶς ἔβυσαν τὰ ὦτα, κατὰ τὸ γεγραμμένον, τοῦ μὴ ἀκοῦσαι λόγον Κυρίου· ἐγὼ δ' αὐτὸς ἄπειμι τὴν πρὸς θάλατταν μᾶλλον καὶ πάντως ἀποθανοῦμαι, ἐπειδὴ ταῦτα δοκεῖ καὶ κεκράτηκεν ἡ περὶ ἡμῶν, ὡς ὁρῶ, ψῆφος". Οἱ μὲν οὖν πατέρες ἐθαύμαζον ἀκούοντες ταῦτα καὶ διαποροῦντες ἦσαν ἐπὶ τοῖς λαληθεῖσιν· ἡ δέ γε περὶ τὸ πρᾶγμα σπουδή, καὶ μάλισθ' ὅτι πείσαντες ἤδη τὸν μέγαν εἶχον, λύειν αὖθις ἐδόκει τὴν ἀπορίαν ἐκείνοις, οὐ κατὰ πρόγνωσιν, ἀλλ' ἁπλῶς οὕτως εἰρῆσθαι ταυτὶ νομίσασι τῷ δικαίῳ. Ὅτι δὲ τοῦ μέλλοντος ἀψευδὴς ἦν προφητεία τὰ τότε ῥηθέντα καὶ οὐδέτερον ἐκείνων διέπεσε τὸ παράπαν, τὸ τέλος ἐναργῶς ἔδειξε τῶν πραγμάτων· οὔτε γὰρ πρεσβεύσαντες ἤνυσάν τι καὶ ὁπωσοῦν τῶν σπουδαζομένων, καὶ ὁ ταῦτα δὲ προειπὼν μετ' ἐνιαυτὸν ἕβδομον οἶμαί που τὴν ποθουμένην εἰρήνην ἰδὼν τῆς τε βασιλείας καὶ τῆς ἱερᾶς ἐκ-

18 Ἱερεμίου ια', 21. — 29 *τὸ παράπαν διέπεσε* M. — 31 ἕβδομον=1342-1349.

Digitized by Google

κλησίας καὶ τὰς φιλτάτας καταλλαγάς, ὑπὲρ ὧν καὶ πολλάκις ηὔξατο καὶ τοῖς φίλοις ἐν μυστηρίῳ προεῖπεν αὖθις, αὐτόθι μεταλλάττει μακαρίως τὸν βίον· ἀλλὰ μήπω τοῦτο τέως, ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν αὖθις ἰτέον τοῦ λόγου.

62. Τρίτη μὲν ἦν ἐπὶ εἰκάδι τῷ Δύστρῳ (ἕκτος ἦν οὗτος μήν, ἀφ' οὗ τὰ τῆς κοσμικῆς φημι στάσεως ἤρξατο καὶ τῆς ζάλης), οἱ δ' ἱεροὶ πατέρες οὗτοι καὶ πρέσβεις, τὸν μέγαν ἔχοντες δηλαδὴ μεθ' ἑαυτῶν Σάβαν, λύσαντες ἐκ τοῦ τῆς καθ' ἡμᾶς Μεγίστης Λαύρας ἐπινείου, τὴν ἐς Βυζάντιον μετὰ θαυμαστῆς τινος τῆς πομπῆς καὶ τῶν εὐχῶν ἀποπλέοντες ἦσαν. Ἀλλὰ τὰ μὲν τοῦ πλοῦ τε καὶ τῆς θαλάττης καλῶς αὐτοῖς εἶχε, τῶν πνευμάτων ἐφεπομένων καὶ μετὰ θαυμαστῆς τινος τῆς γαλήνης ὥσπερ δορυφορούντων, τάχιστά τε ὁμοῦ καὶ ἥδιστα τούτους παραπεμπόντων· τὸ γὰρ Αἰγαῖον ἅμα ταῖς μεταξὺ παραλλάξαντες νήσοις, Ἑλλήσποντόν τε καὶ τὴν ὑπερκειμένην ἀναπλεύσαντες ὀξύτατα Προποντίδα, τριταῖοι καταίρουσιν εἰς τοὺς τῆς Κωνσταντίνου λιμένας. Οὐκ ἔμελλον δὲ ἄρα τῶν εὐχῶν καὶ τῶν ἐλπίδων ἐπιτεύξεσθαι διὰ πάντων· οὐ γὰρ πάντα, φησί, Θεὸς πᾶσι δέδωκε· μᾶλλον δὲ τοῦτο μὲν οὐκ ἂν ἔγωγε φαίην, ἀλλ' ὅτι τὰ μὲν οὐκ ἐφ' ἡμῖν, ἐκείνου πάντα καλῶς καὶ κατὰ φύσιν ἑαυτοῦ δεδωκότος· βούλεται γὰρ ἀναμφιβόλως, δημιουργός τε καὶ παντοδύναμος ὤν, χαλινοῖς τισι προνοίας ἀρρήκτοις τὰ κτίσματα πρός γε τὸ ἀπαθὲς καὶ ἀδιάλυτον συνέχειν καθάπαξ, ἐπεὶ τὰ ἐφ' ἡμῖν αὐτοὶ πρὸς τὸ συμφέρον ἑαυτῶν οὐκ ἠβουλήθημεν ἐπιδοῦναι, φαύλῃ προαιρέσει τὰ βλαβερὰ προκρίναντες τῶν καλλίστων, καὶ κάλλιστα τῇ δοθείσῃ τιμῇ χρησάμενοι τοῦ αὐτεξουσίου καὶ τῶν ἐκ Θεοῦ πάντων ἀτυχεῖς κατέστημεν δήπου, καὶ μάλα εἰκότως καὶ καταλλήλως τοῖς ἐκεῖθεν χρησμοῖς· "τῷ γὰρ ἔχοντι παντί", φησί, "δοθήσεται καὶ περισσευθήσεται, ἀπὸ δὲ τοῦ μὴ ἔχοντος καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ' αὐτοῦ". Ἐντεῦθεν τοῖς πατράσιν (ἔδει γὰρ τὰ τῆς προρρήσεως μὴ διαμαρτεῖν τῷ μεγάλῳ) τὰ τῆς πρεσβείας ἦν ἄπρακτα τὸ παράπαν· εἰς οὐρανὸν γὰρ ἀτεχνῶς ἐδόκουν τοξεύειν, ἢ τὸ ἐξ

5 *δίστρῳ* B. — 28 Ματθ. κε', 29. — 32 Corpus paroem. II, σ. 27, 114.

*

Digitized by Google

ἄμμου πλέκειν σχοινίον, τούτοις ἐπιχειροῦντες. Ἀλλὰ τὰ μὲν ὑπ' αὐτῶν τὸ τηνικαῦτα πραχθέντα καὶ λαληθέντα καὶ τὰ τῆς μεγάλης ὑποθέσεως ταύτης, μᾶλλον δὲ τῆς κοσμικῆς εἰπεῖν ἀταξίας καὶ τῆς φθορᾶς, ὅπως ἔσχε, λέγειν ἑτέροις παραχωρήσω, πραγματείας ἑτέρας ὄντα καὶ πολλῷ μακροτέρας ἢ κατὰ τὴν παροῦσαν ὁρμὴν τοῦ λόγου· ἐροῦσί γε μὴν οὐκ ὀλίγοι πάντως, οἷς ἔργον ἐξετάζειν τε καὶ συγγράφεσθαι τὰ τοιαῦτα, εἰ καὶ τὸ τῆς ἀκριβείας μὴ διαμαρτεῖν ἐπὶ πᾶσιν ὡς ἀληθῶς ἔργον· ἐκεῖνο δ' ἐπὶ τοῦ παρόντος ὡς ἀναγκαῖον εἰπὼν αὐτὸς τέως ἐπὶ τὸν μέγαν αὖθις τρέψω τὸν λόγον. Ἐπεὶ γὰρ τοὺς ὑπὲρ τῆς κοινῆς ὁμονοίας καὶ τῆς εἰρήνης λόγους καὶ τὴν πρεσβείαν ἀποδοκιμασθέντα καθάπαξ οἱ τοῦ ὄρους εἶδον πατέρες, οὐκ ἔστησαν μέχρι τούτου, ἀλλὰ καὶ γράμμασιν αὖθις ἐν ἐπιτόμῳ τοὺς ὑπὲρ τούτων αὐτῶν ἐγχαράξαντες λόγους, ἐν οἷς καὶ τὴν ἐσύστερον ἀποκατάστασιν καὶ τὴν νῦν ὁρωμένην τῆς βασιλείας ὁμοφροσύνην διορατικῷ τῆς ψυχῆς ὄμματι μετὰ πολλῆς τῆς ἀκριβείας κατὰ μέρος προεῖπον, ἐγχειρίζουσι καὶ ταῦτα τῇ βασιλίδι· τῆς δὲ τῇ συγκλήτῳ κοινωσαμένης, ὡς ἔθος, ἐπεὶ καὶ ταῦτα λῆρος ἐδόκει καὶ πλάνη σαφὴς τῶν θεοφορουμένων ἐκείνων, οἳ μὲν καὶ τὸν κονιορτὸν ἐκτινάξαντες τῶν ποδῶν καὶ τὴν οἰκείαν εἰρήνην ἐπανακάμψασαν πρὸς αὐτούς, κατὰ τὴν δεσποτικὴν ἐντολήν τε καὶ πρόρρησιν, αὖθις λαβόντες καθ' ἑαυτούς, ὥσπερ δὴ καὶ τὸ πρότερον ἦσαν τὸ κοινὸν τῆς οἰκουμένης ναυάγιον καὶ τὴν πανολεθρίαν μετὰ πολλῶν ἀποδυρόμενοι τῶν δακρύων· ὁ δὲ θαυμάσιος Σάβας, πρὸς ἑαυτὸν ἐπιστραφεὶς καὶ τοὺς φίλους καὶ τῆς ἑαυτοῦ προρρήσεως ἀναμνήσας ἠρέμα, τὰ τοῦ μεγάλου Παύλου καὶ αὐτὸς ἄντικρυς ἐπὶ ταῖς αὐταῖς μᾶλλον δὲ καὶ χείροσιν ἀποτυχίαις πρὸς αὐτοὺς διεξῄει. Εἶτ' ἐφεξῆς προσετίθει καὶ ταῦτα. "Ἀλλ' ἡμεῖς" λέγων, "ὦ φίλοι πατέρες, τοῦ σκοποῦ καὶ τῆς καλῆς προθυμίας μηδαμῶς τὸ παράπαν ἐνδῶμεν· τοῦτο γὰρ εἶναι πρὸς τῆς σωτηρίας τῆς ἡμετέρας. Ἰδού", φησί, "τῶν ἀγώνων ὁ μέγιστος οὗτος· ἀγωνίζεται γὰρ κατὰ τῆς εἰρήνης ἡ στάσις, κατὰ τῆς ἀρετῆς ἡ κακία, κατὰ τῆς ἐντολῆς ἡ παράβασις αὖθις καὶ

4 *ἑτέροις* M, *ἄλλοις* B. — 20/21 Ματθ. ι', 13.

Digitized by Google

πρὸς Χριστὸν ἄντικρυς ὁ Βελίαρ, ὃς καὶ πολλοὺς ἤδη συμποδίζει, καθάπερ ὁρῶμεν, ἐπειδὴ καὶ σκότος ὢν φῶς ὑποκρίνεται, κατὰ τὸν μέγαν καὶ αὖθις εἰπεῖν Παῦλον. Ἀλλ' ἡμεῖς, ὅπερ εἶπον — οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν—, γενώμεθα τῆς κρείττονος μοίρας· καὶ ἐπεὶ τὸν ὑπὲρ ὁμονοίας κοινωφελῆ καὶ σωτήριον ἐφαύλισαν οὗτοι λόγον, μηδ' οὕτως ἡμῖν τῆς πρὸς αὐτοὺς ἀγάπης καὶ τῆς κατὰ δύναμιν συμμαχίας ἀμελητέον, ἀλλ' ἐν ἡσυχίᾳ ταῖς εὐχαῖς καὶ τοῖς δάκρυσιν ὑπὲρ τούτων αὖθις αὐτῶν καὶ τῆς κοινῆς ὠφελείας χρηστέον. Πρὸς μὲν τοὺς ἀνθρώπους τὴν εὔκαιρον ἑλώμεθα σιωπὴν ἤδη, ἐπειδὴ καιρὸς λόγου καὶ καιρὸς σιωπῆς, ὥσπερ ἄρα καὶ παντὸς ἄλλου πράγματος, κατὰ τὸν σοφὸν Σολομῶντα· τῷ δὲ τῆς δίκης ἐφόρῳ δεσπότῃ μηδέποτε παυσώμεθα τοῖς ἀλαλήτοις ἐντυγχάνοντες στεναγμοῖς τῆς καρδίας, ἐπεὶ καὶ σιωπώντων οἶδεν ἀκούειν· μηδὲ κοπιάσωμεν, προφητικῶς εἰπεῖν, αὐτῷ κατακολουθοῦντες, ἕως οὗ εὕρομεν τόπον τῷ Κυρίῳ, τὸ καθαρόν φημι καὶ ἀστασίαστον τῆς εἰρήνης, ᾧ δηλονότι Θεὸς ἐνοικεῖ, ἡ ὄντως εἰρήνη". Ταῦτα πρὸς τοὺς ἑαυτοῦ κατ' ἰδίαν ὁ μέγας εἰπὼν Σάβας, καὶ πρὸς τὰς κοινωφελεῖς εὐχὰς καὶ τοὺς πνευματικοὺς ἀγῶνας ὥσπερ πτερώσας, ὑπόδειγμα δίδωσιν ἑαυτὸν ὁ σοφὸς κἀν τοῖς ἔργοις· οἰκίσκῳ γάρ τινι περιγράψας τὸ σῶμα τῇ συνήθει χρώμενος ἦν ἀγωγῇ καὶ φιλοσοφίᾳ, τοῦ μὲν σώματος ὀλίγα τινὰ καὶ ὅσον μὴ λυθῆναι τὸν τῆς φύσεως δεσμὸν καθάπαξ φροντίζων, πρὸς αὐτὸς ἑαυτὸν δὲ καὶ τὸν Θεὸν διὰ παντὸς βλέπων καὶ ταῖς ἐκεῖθεν ἐλλάμψεσιν ἀνεπιστρόφως σχολάζων, στεναγμοῖς τε καὶ δακρύων πηγαῖς ἀκενώτοις νῦν μὲν τὴν ὥσπερ ἐν νυκτομαχίᾳ ζάλην καὶ τὸν κατ' ἀλλήλων ὄλεθρον καὶ τὴν μανίαν ὀδυρόμενος τῶν ἀνθρώπων καὶ ὅπως ὑπὸ τῶν παθῶν ἡ ταλαίπωρος ἑκουσίως παρατραπεῖσα φύσις τῆς μὲν οἰκείας εὐγενείας ἐξέστη, "παρασυνεβλήθη δὲ τοῖς κτήνεσι τοῖς ἀνοήτοις", κατὰ τὴν προφητείαν, μᾶλλον δὲ καὶ κτήνους καὶ θηρίου παντὸς ἀτοπωτέρα κατέστη, μηδὲ ἑαυτῆς γοῦν

1/3 Κορινθ. 2, ια', 14. — 4 Κορινθ. 2, β', 11. — 11 Ἐκκλ. γ', 1, 7. — 14 Ἱερεμ. ιζ', 16 «οὐκ ἐκοπίασα κατακολουθῶν ὀπίσω σου». — 15 Ψαλμ. ρλα', 5 «ἕως οὗ εὕρω τόπον τῷ κυρίῳ». — 28 *οἰκίας* B. — 29 Ψαλμ. μη', 21.

Digitized by Google

αὐτῆς φειδομένη, νῦν δὲ τὸν φιλάνθρωπον εἰς οἶκτον αὐτῆς ἐπικαλούμενος δεσπότην. Ὅθεν οὐδὲ τῆς σπουδῆς καὶ τῆς ἐνστάσεως ταύτης τὸ παράπαν ἀπέστη, πρὶν ἢ τὰ τῆς εἰρήνης εὐαγγέλια καὶ τῆς βασιλικῆς συμφωνίας δι' ἀποκαλύψεως ἐκεῖθεν δεδέχθαι· ὃ δὴ καὶ τοῖς φίλοις συνασκηταῖς, οὐ τοῖς ἐγγύς φημι μόνον, ἀλλὰ καὶ τοῖς μακράν, ἐν μυστηρίῳ προεῖπεν, ἐνιαυτὸν ὁλόκληρον, οἶμαι, καὶ πρὸς τὴν ἀποκατάστασιν τῆς προγνώσεως ταύτης προλαβούσης.

63. Ἐνιαυτοὺς μὲν οὖν ὅλους ἓξ ἐν τῇ φιλησύχῳ ταύτῃ μονώσει καὶ ἀγωγῇ διατετριφώς, ἐν ἀδιαλείπτῳ δὲ πένθει, καθάπερ ἔφην, ὁ μέγας ἀπρόϊτος ἦν ἐκείνου τοῦ δωματίου καθάπαξ· ὡμίλει γε μὴν τῶν προσιόντων ἐνίοις, τά τε τῶν πρὸς σωτηρίαν ὑποτιθέμενος θαυμασίως καὶ πρὸς τὰς ὑπὲρ τῆς κοινῆς εἰρήνης εὐχὰς πάσῃ σπουδῇ παροτρύνων τοὺς πάντας· μάλιστα δὲ τοῖς πειρασμοῖς περιπεπτωκόσι ποικίλοις καὶ δυσχεροῦς καὶ ἀνωμάλου πειραθεῖσι τῆς τύχης, οἷα τὰ τοῦ καιροῦ καὶ τῆς ἐμφυλίου μάχης ἐκείνης, λιμὴν ἀναψύξεως ἦν εὐχαῖς τε καὶ λόγοις· ὅθεν καὶ πολὺς ἦν ὁ περὶ αὐτοῦ λόγος ἀνὰ πᾶσαν τὴν πόλιν, εἰ καὶ τὰ τῆς κοινῆς ἐκείνης στάσεως καὶ τῆς κατ' ἀλλήλων φημὶ τῶν ἀνθρώπων μανίας ὡσπερεί τι ζοφερὸν νέφος ἐπεσκότει τέως τῷ φωτὶ τοῦ λαμπροῦ τούτου φωστῆρος. Τῆς δὲ περὶ αὐτοῦ φήμης πανταχοῦ διιούσης, καὶ τῶν ἐγγύθεν καὶ πόρρωθεν ἔτι δὲ καὶ τῶν ἐκ τῆς αὐτῆς πατρίδος πρὸς ἐκεῖνον φοιτώντων, συνηνέχθη τι καὶ τοιοῦτον, δεῖγμα τῆς ἐνοικούσης τῷ ἀνδρὶ χάριτος καὶ τῆς προφητείας. Τῶν Θεσσαλονικέων ποτέ τινες ἐπιδεδημηκότες τῇ Κωνσταντίνου καὶ πρὸς τὸν θαυμαστὸν ἀπῄεσαν Σάβαν τῆς συνήθους ἀπολαύσοντες ὁμοῦ παραινέσεως καὶ τῆς ὁμιλίας· τούτους ὑπτίαις, ὅ φασι, δεξάμενος ταῖς χερσὶν ὁ μέγας καὶ ἡδέως αὐτοῖς εἰς τὴν καρδίαν — τὸ τῆς θείας Γραφῆς φάναι—λαλήσας, ἔπειτα καὶ περὶ τῶν ἐν Θεσσαλονίκῃ γενομένων ἐμφυλίων τὸ τηνικαῦτα πολέμων τε καὶ φόνων αὐτοὺς ἀνηρώτα. Δεῖ δὲ μᾶλλον ἀνωτέρω τὸν λόγον ἀγαγεῖν, ἵν' οὕτω καὶ σαφέστερον εἴη τὸ θαῦμα. Ἐν τῇ κατὰ τὸ ἱερὸν ὄρος σεπτῇ τοῦ Βατοπεδίου λαύρᾳ, καθάπερ ἔφθην εἰπών,

13 *παροτρύνον* B. — 20 *φίμης* B. — 22 *ἐκείνων* B. — 28 Γενέσ. ν', 21.

Digitized by Google

ἀσκουμένου τοῦ θείου Σάβα, τῶν Θεσσαλονικέων τινές, τῆς φήμης ἐκείνους πάντως καλούσης, εἰς προσκύνησιν ἐκείνου καὶ ὁμιλίαν ἐφοίτων· καὶ μέντοι καὶ προσιόντες καὶ πολλῆς ἐκεῖθεν ἐντυγχάνοντες τῆς ὠφελείας καὶ τῆς εὐφροσύνης ὑπέστρεφον, οὔμενουν ἑαυτοὺς μεμφόμενοι τοῦ καμάτου καὶ τῆς ὁδοιπορίας, ἀλλὰ καὶ τῶν ἐλπίδων καὶ τῆς φήμης αὐτῆς ἐπέκεινα πολλῷ τῶν πραγμάτων εὑρηκότες τὴν πεῖραν. Ἐν δὲ τούτοις καί τις ποτὲ τῶν ἐπὶ δόξῃ τῆς ἐκεῖ πολιτείας σεμνυνομένων τὸν ἱερὸν καταλαβὼν Ἄθω καὶ τῆς λαύρας ἐκείνης μεθ' ὅσης τῆς σπουδῆς ἐπιβαίνει, τὸν μέγαν καὶ αὐτὸς δῆθεν ἰδεῖν ἐφιέμενος Σάβαν· ὁ δὲ ἄρα τοιαύτης ἀπολαῦσαι χάριτος οὔμενουν ὅλως ἄξιος ὤν, διὰ τὴν ὑποικουροῦσαν τῇ ψυχῇ φαυλότητα καὶ θηριωδίαν, ὥσπερ δὴ καὶ προϊὼν ὁ λόγος δηλώσει, κωλύεται προφανῶς ὑπὸ τῆς ἐνοικούσης χάριτος τῷ μεγάλῳ, ὡς ἂν μὴ εὐκαταφρόνητον, οἶμαι, καὶ καταγέλαστον εἴη τοῖς ἀνοήτοις τὸ θεῖον, παντὸς τοῦ βουλομένου καὶ αὐτῶν φημι τῶν πονηροτάτων κατὰ πολλὴν γινόμενον ἐξουσίαν· "μὴ δῶτε γάρ", φησὶν ἡ θεία Γραφή, "τὸ ἅγιον τοῖς κυσίν, μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων". Ἐπιβαίνει δ' ὅμως, ὡς εἶπον, ὁ Ἀνδρέας καὶ ταύτης τῆς λαύρας—τοῦτο γὰρ αὐτῷ κλῆσις—καὶ τῆς συνήθους ἐκείνοις ἀπολαύσας τιμῆς καὶ φιλοφροσύνης, ἔπειτα καὶ τὸν μέγαν ἰδεῖν ἠξίου, ἐπὶ τούτῳ γὰρ ὡς μάλιστα ἥκειν· τῷ δὲ πατρὶ μηνυθείσης παρὰ τῶν μοναχῶν, ὡς ἔθος, τῆς ἐκείνου ἐπιδημίας, ἔπειτα καὶ τῆς θέας αὐτοῦ καὶ τῶν εὐχῶν αἰτουμένων ἀξιῶσαι κἀκεῖνον, ἐπεὶ τὰ κατ' αὐτὸν ἤδη τρανῶς ὑπὸ τοῦ θείου δηλαδὴ πνεύματος μυηθεὶς ἦν ὁ μέγας, τὴν ὁμιλίαν εὐθὺς ἐκ πρώτης παρῃτεῖτο· οἱ δὲ τὸν μὲν σκοπὸν ἐκείνου τὸ σύνολον ἀγνοοῦντες, ταπεινοφροσύνης δὲ χάριν ἄλλως καὶ ἡσυχίας τὴν παραίτησιν οἰηθέντες, ὡς ἔθος, αὐτὸν πεποιῆσθαι, προσέκειντο καὶ αὖθις, πολλῇ πρὸς αὐτὸν ὑπὲρ τούτου χρώμενοι τῇ δεήσει. Ὡς δὲ πολλὰ καμόντες ἐπὶ πολλαῖς ταῖς ἐφεξῆς ἡμέραις οὐδὲν εἶχον ἀνύειν—οὐ γὰρ ἐνεδίδου τὸ πα-

1 *Θεσσαλονικαίων* B. — 7 *εὑρικότες τ. πῆραν* - - *καίτοις* B. — 17 Ματθ. ζ', 6 ‖ *γραφὴ* B, *φωνή* M. — 20 ἐκείνοις=τοῖς Βατοπεδινοῖς. — 26 *ὁμηλίαν* B.

Digitized by Google

ράπαν ἐκεῖνος—, πρόσεισι τῷ προεστῶτι τῆς λαύρας ὑπὲρ τούτου πολλὰ δεόμενος ὁ Ἀνδρέας, μὴ ἂν ἀποστῆναι καθάπαξ ἰσχυριζόμενος τῆς ἱερᾶς ἐκείνης φατρίας, εἰ μὴ κατὰ γνώμην ἐπιτύχοι δηλαδὴ τοῦ μεγάλου, δι' ὃν ἄρα καὶ τὴν μακρὰν ὁδοιπορίαν ὑπέστη προθύμως. Τούτοις καὶ τοῖς ὁμοίοις ὑπελθὼν ἐκεῖνος τὸν προεστῶτα—εἶχε γὰρ καί τινας αὐτόθεν τῶν φίλων εἰς αὐτὸ τοῦτο σπουδάζοντας καὶ συναιρομένους—, πείθει κἀκεῖνον, τὸν τὴν οἰκονομίαν τῆς λαύρας ἐπιτετραμμένον τῆς μείζω καί τινας τῶν εὐλαβείᾳ καὶ γήρᾳ τετιμημένων παραλαβόντα, προσελθεῖν τῷ θαυμαστῷ Σάβᾳ καὶ τὴν ὑπὲρ ἐκείνου θέσθαι πρεσβείαν. Οἳ μὲν οὖν πολλοί τινες ἦσαν δεόμενοι καὶ μακρὸν ὁμοῦ καὶ ποικίλον τὸν ὑπὲρ ἐκείνου ποιούμενοι λόγον, ὡς εἴη τε φίλος κοινὸς τῆς ἡμετέρας λέγοντες λαύρας καὶ ὡς εὐγνωμοσύνης καὶ καλοκἀγαθίας ἐπιμελοῖτο, τιμᾶν ἀρετὴν εἰδὼς εἴπερ τις τῶν πάντων· "διό", φασί, καὶ "τοσαύτης ὁδοιπορίας οὐκ ὤκνησε πόνον, καὶ μάλιστα σοῦ καὶ τῆς σῆς ἀρετῆς χάριν· ὅθεν οὐδ' ὅσιον ὅλως, οὐδ' ἀρετῇ τοιαύτῃ προσῆκον, ψυχὴν οὕτως εὐγνώμονα καὶ σπουδαίαν κεναῖς, ὃ λέγεται, χερσὶν ἀποστρέψαι· εἰκὸς γὰρ καὶ τῷ βάρει τῆς λύπης κατενεχθέντα νόσῳ περιπεσεῖν καὶ κινδυνεύειν οὐ μικρῶς ἐν τῇ ξένῃ καὶ δίκην ἡμᾶς ὄφλειν ἀπανθρωπίας, ὡς ἂν αἰτιωτάτους αὐτῷ γεγονότας τοῦ πάθους". Ταῦτ' ἔλεγον ἐκεῖνοι, τῷ φαινομένῳ προσέχοντες πάντως κἀντεῦθεν, ὡς εἰκός, κατὰ λόγον τὸν ἀνθρώπινον, χρώμενοι καὶ τοῖς λόγοις· ὁ δέ, πνεύματι θείῳ κινούμενος, ὅπερ ἔφην, καὶ τὰ μέλλοντα συμβόλοις τισὶ καθορῶν ὡς παρόντα καὶ ἦθος ὁμοῦ καὶ φωνὴν καὶ τὴν ὄψιν πρός γε τὸ ἐμβριθέστερον διαμείψας, "Ἀλλ' οὐκ ἐκεῖνος ἂν ἴδοι ποτέ", φησίν, "ὅλως τὴν ἐμὴν ὄψιν, οὔτ' αὖθις ἐγὼ τὸν ὀφθαλμὸν ἢ τὴν φωνὴν καὶ ὁπωσοῦν ἐκείνῳ παρέξω, κἂν Ἄγγελος οὐρανόθεν ἐπὶ ταῦτα προτρέπειν με δόξῃ. Ἄπιθι τοιγαροῦν, ὦ θεσπεσία μοι κεφαλή· ἄπιθί μοι σὺν τοῖς φίλοις πατράσι τάχιστα τῆς μονῆς ἀποπέμψοντες τοῦτον· οὐδὲ γὰρ ἂν εἴ τι καὶ γένοιτο τῷ τοιούτῳ ποτὲ καθάπαξ ὀφθείην". Ταῦτα σὺν τοῖς ἀδελφοῖς ὁ προεστὼς παρὰ πᾶσαν προσδοκίαν ἀκηκοότες,

23 *κεινούμενος* B.

Digitized by Google

ἐνεοί τινες ἦσαν, πρὸς ἀλλήλους ἐκπεπληγμένον τι καὶ παράλογον οἷον ὁρῶντες καὶ τὴν ξένην ἀλλοίωσιν τοῦ πράου καὶ γαληνοῦ καὶ πρὸς πάντας ἡμέρου διὰ θαύματος ἄγοντες τοῦ μεγίστου· ὅθεν καὶ μηκέτι προσθέντες πειράζειν, τοῦ μὲν ἀπέστησαν καὶ ἄκοντες, τὸν δὲ λόγοις παραμυθητικοῖς καὶ τοῖς κατ' ἔθος δεξιωσάμενοι ξενίοις, ἃ δηλαδὴ φέρουσιν ὧραι, δεξιῶς ἐκπέμπουσι τοῦ φροντιστηρίου, καθ' ὑπερβολὴν ἀλύοντά τε καὶ παθαινόμενον καὶ τὴν αἰτίαν ἐπιζητοῦντα μαθεῖν τῆς πικρᾶς ταύτης ἀποστροφῆς καὶ αἰσχύνης. Ἀλλὰ τότε μὲν οὐκ ἐξεγένετό οἱ μαθεῖν, καίτοι γε περὶ πλείστου τὴν ἔρευναν ποιουμένῳ· χρόνοις δ' ὕστερον εὐκαίρως ὁ μέγας αὐτῷ καὶ ταύτην γνωρίζει· τὸ δ' ὅπως, ὁ λόγος ἤδη δηλώσει.

64. Τῶν Ῥωμαϊκῶν πραγμάτων, ὡς ἀκριβῶς ἴσασι πάντες, δεινῶς τὸ τηνικαῦτα νοσούντων καὶ φθειρομένων, καὶ στάσεων πανταχοῦ καὶ πολέμων ἐμφυλίων κατὰ πόλεις ἐγειρομένων καὶ χώρας, καὶ τὰ τῆς μεγάλης ἐνόσει Θεσσαλονίκης, καὶ τοσοῦτο πλέον, ὅσῳ καὶ πλήθει καὶ πλούτῳ καὶ τοῖς ἄλλοις πασῶν σχεδὸν ὑπερέχειν. Τῶν γοῦν Θεσσαλονικέων, ὡς ὁ λόγος ἤδη φθάσας ἐδήλωσεν, ἐν τῇ Κωνσταντίνου πρὸς τὸν μέγαν ἀφικομένων, ἐπεὶ περὶ τῶν ἐν τῇ πατρίδι συμβάντων, ὅπερ εἶπον, ἀτόπων ἐρωτηθέντες, στάσεις μὲν ἐκείνας καὶ τὸν μυρίον καὶ παράλογον φόνον καὶ τὴν φοβερὰν τῶν ἐμφυλίων χύσιν αἱμάτων ἐξεῖπον, ἃ μηδὲ συγγραφῇ θέμις ἐπὶ τοῦ παρόντος ἐμοὶ τέως διδόναι, τούτων δ' ἁπάντων ἀρχηγόν τε καὶ δημαγωγὸν καὶ κάκιστον ἀθλητὴν τὸν ἤδη ῥηθέντα Ἀνδρέαν, ὁ μέγας οὐδὲ πρότερον ἀνήκοος ὢν τῶν τοιούτων— πῶς γάρ; — ὧν γῆ τε καὶ θάλαττα πλήρης, "Ἄπιτε", φησίν, "ὦ φίλοι, Θεοῦ τε κυβερνῶντος, εἰς τὴν σφετέραν πατρίδα· τῷ δὲ κακίστῳ στρατηγῷ τῶν τοιούτων οὕτως ἐρεῖτε· Τάδε σοι δηλοῖ δι' ἡμῶν ὁ μοναχὸς Σάβας, ὁ τῆς τοῦ Βατοπεδίου δηλαδὴ λαύρας.

2 *οἷον ὁρῶντες* M, *ἐνορῶντες* B. — 20 *ἐρωτιθέντες* B. — 21 *τῶν μυρίων* B. — 23 *παρόντως* B. — 25 Ἀνδρέαν] λέγει περὶ Ἀνδρέου τοῦ Παλαιολόγου, ὃς ἔτει 1346-ῳ στάσεως ἀρχηγὸς ἐγένετο ἐν Θεσσαλονίκῃ καὶ φόνων αἴτιος. Ἰωάννου Καντακουζηνοῦ τ. II, σ. 574-582, τ. III, σ. 104-108.

Digitized by Google

Μέμνησαι πάντως, Ἀνδρέα, ὅπως πρὸ δέκα τούτων ἐνιαυτῶν εἰς τὸν ἱερὸν ἐλθὼν Ἄθω, προσκυνήσεως δῆθεν καὶ ἁγιασμοῦ χάριν, μετὰ πολλῆς τῆς σπουδῆς ἐπεζήτησας ἰδεῖν καὶ ἀκοῦσαι καὶ τῆς ἐμῆς ὁμιλίας, καὶ οὐκ ἐξεγένετό σοι τυχεῖν τῆς ἐπιθυμίας, καίτοι γε πάσῃ μηχανῇ χρησαμένῳ καὶ πάντα λίθον, ὅ φασιν, ὑπὲρ τούτου κεκινηκότι· ὅθεν καὶ δυσχεραίνων τότε καὶ καθ' ὑπερβολὴν ἀθυμῶν, ὥς γε ἐδόκεις, τὴν τῆς ἐμῆς ἀποστροφῆς αἰτίαν μετὰ πολλῆς τινος τῆς σπουδῆς ἀνηρεύνας καὶ μαθεῖν ἐδίψας, ὡς ἔλεγες τοῖς συνοῦσι, τί ποτ' ἂν εἴη τὸ αἴτιον τούτου τοῦ μυστηρίου. Ἀλλὰ τότε μὲν οὐκ ἐβούλετό σοι Θεὸς ἀποκαλυφθῆναι τὸ κεκρυμμένον, ἐπεὶ μὴ μεταβολὴν μηδὲ δέξασθαι παιδείαν ἑτοίμως εἶχες· ἦ γὰρ ἂν ἀπεκαλύπτετό σοι καὶ τότε παρὰ τοῦ πάντων διψῶντος τὴν σωτηρίαν. Ἐπεὶ δὲ πᾶσαν ἐκραγῆναι πεποίηκας τὴν κακίαν καὶ τὸν ὑποικουροῦντα τῆς καρδίας ἰὸν ἐξέμεσας ὅλον ἀθρόον, ἄκουε νῦν ἀκριβῶς τῆς ἀποστροφῆς τὴν αἰτίαν ἐκείνης, ἵν', εἰ μὴ βουληθείης ἀπόνασθαι τῶν ἐλέγχων, ἀλλ' ἕτεροι πάντως ἐκ τῶν φαρμάκων ἂν τούτων ὠφεληθεῖεν. Τὰς ἀνθρωπίνας ταύτας σάρκας, ἅσπερ αἱμοβόρου δίκην θηρὸς ἐσθίεις, καὶ τὸ τῶν ὁμοφύλων ἀδελφῶν αἷμα, ὅπερ κυνηδὸν λάψας ἔχεις, ταῦτ' ἔμοι γε καθορᾶν ἐν τῷ στόματί σου τότε παρεῖχες· οὐδὲ γὰρ ὄψιν καὶ εἰκόνα τινὰ λογικοῦ τὸ παράπαν ἀνθρώπου βλέπειν εἶχον, θηρίου δὲ μᾶλλον πονηροτάτου καὶ ἀτιθάσου, θανατηφόρον ἰὸν ἀποπέμποντος τῆς γλώττης καὶ τῶν μυκτήρων· καὶ δράκοντα δέ τινα μέγιστόν τε καὶ τὴν ὁρμὴν ἀνυπόστατον ἑώρων σε, τὴν ὀσφὺν οἱονεί τινα δύναμιν καὶ ὅπλον, φεῦ, περιεζωσμένον, κἀκείνου φυσσώμενον ὥσπερ τῇ συμμαχίᾳ καὶ τῇ ἰσχύι. Ταῦτα τοίνυν ἐμοὶ δείξαντος ἐν σοὶ τοῦ Θεοῦ τότε, πόρρω σε τῆς ἐμῆς θέας καὶ τῆς ὁμιλίας ἐποιησάμην, τὴν αἰτίαν μηδενὸς συνειδότος· ἐπεὶ δὲ τὰ νοητῶς ὁρώμενα τότε νῦν αἰσθητῶς, ὡς μὴ ὤφελες, τοῖς ὀφθαλμοῖς προὔθηκας πάντων, καὶ παρ' ἐμοῦ φανερῶς σύ τε καὶ πάντες μανθανέτωσαν ταῦτα καὶ διδασκέσθωσαν, ὡς ᾅδης καὶ

5 πάντα λίθον - - κεκινηκότι] Corpus paroem. II, σ. 201. — 11 **μεταβολεῖν** B.
31 ᾅδης καὶ ἀπώλεια] Παροιμ. κζ', 20.

Digitized by Google

ἀπώλεια φανερὰ παρὰ τῷ Κυρίῳ, καὶ οὐκ ἔστι τις κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ· ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ".

65. Τὰ μὲν οὖν τῆς κοσμικῆς ἐκείνης ἀταξίας τε καὶ συγχύσεως οὕτως ὑπερβολικῶς ἔσχεν, ὡς μηδὲ δεῖσθαι τὸ παράπαν προσθήκης, μηδὲ πρὸς παράδειγμά τι προσόμοιον ἀναχθῆναι τῶν παλαιῶν δι' ὑπερβολὴν δύνασθαι, ὥσπερ οὖν μηδὲ τοῖς ἑξῆς ὅλως, Χριστὲ βασιλεῦ, παράδειγμα γένοιτο, ἀλλὰ καὶ πρῶτα ταῦτ' ἔστω καὶ μόνα, μηδαμῶς ὄντων τῶν ἑπομένων· νῦν δ' ὥσπερ οὐκ ἀρκούντων ἐκείνων καὶ τὰ πολλῷ χείρω παρὰ τῆς εἰς ὕψος ἀρθείσης κοινῆς ἁμαρτίας προστίθεται. Τοῖς γὰρ πολιτικοῖς τῶν ἐκκλησιαστικῶν ὑπὸ φθόνου καὶ φιλονεικίας κάκιστα συνδιαιρεθέντων, τοῦτο δὴ τὸ λεγόμενον, κυκεὼν ἀληθῶς ἦν πάντα· τίς γὰρ παιδαγωγῆσαι καὶ ῥυθμίσαι τοὺς ἄλλους, τῆς ὀφειλούσης ταῦτα κανονίζειν ἐκκλησίας ἀκανονίστως οὕτω μᾶλλον δὲ μοχθηρῶς πάνυ καὶ φιλονείκως διατεθείσης; Ἴστε πάντες καὶ διηγεῖσθε τὸν τῆς ὀρθῆς δόξης πρότερον ἀντίπαλον Ἰταλὸν ἐκεῖνον, ὃς τὴν τοῦ προβάτου δορὰν ἑαυτὸν τὸ πρότερον ἀπατηλῶς ἐπενδύσας καὶ τῆς ἡμετέρας αὐλῆς, τῆς τοῦ Χριστοῦ φημι ποίμνης, δῆθεν φιλοτιμούμενος εἶναι, λύκος Ἀραβικὸς μάτην χανὼν ὕστερον ἀνεφάνη. Τῶν γὰρ πραγμάτων ἔτι Ῥωμαίοις διακειμένων καὶ στάσεως μὲν ἐς κόρακας ἀπεληλαμένης, ὁμοφροσύνης δὲ καὶ εἰρήνης πρυτανευούσης καὶ συγκροτούσης ἄριστα πανταχόθεν τὴν ἐκκλησίαν ἅμα τῇ βασιλείᾳ, καλῶς τε καὶ ἀπταίστως ὁμοῦ τὴν ἐκείνῳ προσήκουσαν ἐξήνεγκαν δίκην, αὐταῖς ἅμα ταῖς κατὰ τῆς θεότητος κατατομαῖς τε καὶ βλασφημίαις οἱονεί τινα λοιμὸν ἐξελόντες τοῦ καθ' ἡμᾶς ἱεροῦ συνεδρίου· ὃς δὴ καὶ τὴν ἀλωπεκῆν εὐθύς, ὡς μηδὲν ἔτι χρησιμεύουσαν, ἀπορρίψας, ἀνακεκαλυμμένῃ τῇ κεφαλῇ τὰ τῆς πατρίου δόξης συμφιλοσοφεῖ τοῖς Λατίνοις, τῶν ἐν ἐκείνοις ἱερέων καὶ διδασκάλων φέρων τὰ πρῶτα. Τούτου τὴν μοχθη-

1 καὶ οὐκ ἔστι - - αὐτοῦ] Ἑβρ. δ', 13. — 2 ὃς ἀποδώσει κέ] Ῥωμ. β', 6. — 13 ῥυθμῆσαι B. — 15/29 λέγει περὶ Βαρλαὰμ τοῦ Καλαβροῦ, ὃν ἀνεθεμάτισε συνοδικῶς ἡ Ἐκκλησία ἔτει 1341-ῳ. Ὅρα τὸ τῆς καθαιρέσεως ἔγγραφον παρὰ τῷ C. Tischendorf, Anecdota sacra et profana. Lipsiae 1855, σ. 44-54. — 21 ἐς κόρακας] Corpus paroem. II, σ. 421. — 27 ἀπορρίψας B.

ρίαν καὶ τὸν κίνδυνον διαδεξάμενος ὁ μύστης ἐκείνου—φεῦ μέχρι πόσου προσήκει κακία—τὴν ἀνύποιστον κατὰ τῆς ἐκκλησίας ἐκείνην ἐξῆψε φλόγα, ἧς ἔτι τὰ λείψανα θορυβεῖ, καπνοῦ τινος καὶ σκοτοδίνης τὰς τινῶν ὄψεις ἀποπληροῦντα· ὁ γάρ τοι βεβαιωτὴς καὶ προστάτης τοῦ καινοῦ τῆς ἐκκλησίας τούτου προδότου, προφάσει χρησάμενος τῇ κατά τινων μανίᾳ καὶ τῷ φθόνῳ—καὶ γὰρ ἦν ποικίλος τις καὶ δεξιὸς τὰ τοιαῦτα, πρὸς τὸ παραστὰν ἅπαν τοῦ καιροῦ συνεχῶς κατὰ τὸν χαμαιλέοντα πολλὰς τὰς μορφὰς ἐξαλλάττων—, τὸν μὲν εὐσεβῆ τῆς ἐκκλησίας ἔγγραφον ὅρον, ᾧ δὴ καὶ αὐτὸς ἔτι σωφρονῶν ὑπεσημήνατο πρὸ τῶν ἄλλων, ὥσπερ ἐν μελαγχολίᾳ τινὶ καὶ μέθῃ τολμηρῶς ὁ ἀναιδὴς διαγράφει, τὸ τῆς ὀρθῆς δόξης ἀντεχόμενον ἅπαν συνεσκιασμένως πως ἀναθεματίσας· ἐν οἷς δήπου καὶ ἑαυτὸν πρὸ τῶν ἄλλων πάντων, τὸν καὶ πρὸ τῶν ἄλλων, ὅπερ ἔφην, καὶ χειρὶ καὶ γνώμῃ θεσπίσαντα ταῦτα· τὸ δὲ δυσσεβὲς ἐκεῖνο τῆς ἀντιθέτου μοίρας, φεῦ, ἀντεισάγει, τὰ μανιώδη καὶ καταγέλαστα λέγων ἐκεῖνα, τὸ κύριον ἑαυτὸν εἶναι καὶ διαιτητὴν τῶν ἐκκλησίας δογμάτων (ἐπ' αὐτῷ γὰρ τούτῳ δὴ καὶ προβεβλημένον ἄντικρυς κεχειροτονῆσθαι) καὶ τῶν ὅρων ὃν ἂν βούλοιτο μετὰ πολλῆς τῆς αὐτοκρατορίας νῦν μὲν ἐγκρίνειν δύνασθαι, νῦν δὲ διαγράφειν, ὥσπερ ἐν παιδιᾷ ψήφων τὴν ἀνωτάτω περὶ Θεοῦ δόξαν στρέφων τε καὶ πεττεύων καὶ οὐδὲ τὸ τοῦ κυνικοῦ Διογένους τούτοις διδούς, ὃς ἔλεγεν ἐξίσου τὰ τῶν ὁδῶν εἶναι καὶ μηδὲν διαφέρειν, εἴ τις ἂν ἐντεῦθεν ἐκεῖσε, ἢ τὸ ἔμπαλιν ἐκεῖθεν ἐνταυθοῖ, πορεύεσθαι βούλοιτο· ἦ γὰρ ἂν ταῦτα διδοὺς οὐδὲ καθάπαξ ἡμᾶς διέγραφεν, ὡς ᾤετο, κακῶς ἐκεῖνος τοῦ καταλόγου. Καὶ ταῦτ' ἐκεῖνον ὑπιὼν ἐδίδασκεν ὁ προδότης τῆς εὐσεβείας, ὁ τὸν ἡσυχαστὴν καὶ φίλον πρὸς τὸ καθ' ἡμᾶς φιλόσοφον ἐκ μακροῦ σχηματιζόμενος μετὰ πολλῆς ὑποικουρούσης βασκανίας, ἄγων καὶ φέρων, φεῦ, πρὸς τὸ βουλόμενον ἅπαν τῆς γνώμης τὸν ἄγειν βρενθυόμενον πάντα. Ἀλλ' οἳ μέν, κακοὶ κακῶς

1 ὁ μύστης ἐκείνου = ὁ Ἀκίνδυνος. — 2 *ἀνύπηστον* B. — 4 *γάρτι* B. — 16 *ἀντισάγει τὰ μανειώδη* B. — 18 *προβεβλημένων* B. — 19 *βούληται* B. — 20 *πεδιᾶ* B.

Digitized by Google

τοῖς τῆς ὀρθοδοξίας προβόλοις ὡς ὑπό τινος στερροῦ μηχανήματος τοῦ λόγου τῆς εὐσεβείας συνοδικῶς περιτραπέντες καὶ συντριβέντες, ἀξίως τῆς ἑαυτῶν ἀπερρίφησαν κακοδαιμονίας· ἐπεὶ δὲ καὶ τῆς ἄνωθεν ἀποκαλύψεως ἔδει καὶ ψήφου, καθάπερ ἔθος τῷ σοφῷ, δηλαδὴ τῆς προνοίας, ἐν ταῖς τῶν ὑποθέσεων ἐπιφανεστέραις τοῖς ἁπλουστέροις καὶ μὴ πρὸς τὸ βάθος ἰέναι δυναμένοις τοῦ λόγου συγκατιούσης, Πέτρου δὲ καὶ τοῦ κατ' αὐτὸν Ἀλεξάνδρου πάλιν ἐδεῖτο τὸ πρᾶγμα καὶ τοῦ θαυμαστῶς ἐν ἐκείνοις ἐνεργήσαντος πνεύματος, ἐπὶ καταστροφῇ τοῦ τῆς μανίας ἐπωνύμου ἐκείνου, Σάβας ἡμῖν ὁ μέγας γίγνεται τοῦτο, τοῖς ἄνωθεν χρησμοῖς καὶ ταῖς ἀποκαλύψεσι κάλλιστά τε καὶ ἰσχυρότατα τὸν ὀρθὸν τῆς εὐσεβείας στηρίξας λόγον· τὸ δ' ὅπως, ὁ λόγος ἤδη δηλώσει· προσέχειν δὲ ἄξιον καὶ μὴ παρέργως τῶν περὶ τηλικούτων λόγων ἀκούειν.

66. Ἀνῆπτο μὲν ἐκ τῶν καταλειφθέντων κατεψυγμένων ἐκείνων ἀνθράκων ἡ τῆς κακοδοξίας φλόξ, ταῖς αὔραις τοῦ πονηροῦ ῥιπισθεῖσα —στάσεις ταῦτ' ἦσαν καὶ μάχαι καὶ ἡ κακίστη τοῦ ὁμοφύλου διαίρεσις, ὅπερ εἶπον—· τῆς δὲ κάκιστ' ἀπολουμένης φιλονεικίας ὡσπερεί τινος ὕλης λιπαρᾶς ὁσημέραι τῷ δεινῷ προστιθείσης καὶ τῆς μὲν ὀρθῆς τε καὶ ἀπταίστου μοίρας ἀτρέπτως ἐν τῷ καλῷ βεβηκυίας καὶ αὐξομένης, τῆς δ' ἐναντίας αὖθις κολακείας καὶ πειθοῦς τισι κλέμμασιν, ἔστι δ' ὅτε καὶ δώροις τοῦ ὑγιαίνοντος ἀεὶ παρασπᾶν καὶ τυραννεῖν ἀναιδῶς ἄγαν φιλονεικούσης (ἦσαν γὰρ καί τινες τῶν δοκούντων ἔν τε λόγῳ καὶ σχήματι καὶ τοῖς φαινομένοις τούτοις τῶν πολλῶν ὑπερέχειν), "Ἐγώ", φησὶν ὁ κλεινὸς Σάβας, "ἀσχάλλων κατ' ἐμαυτὸν ἦν καὶ τὴν φιλόνεικον ἔνστασιν ἐκπληττόμενος ἐκείνην, πῶς κατ' ὀλίγον ἐπὶ τὸ χεῖρον προκόψασα πρὸς κακοδοξίαν ἐξήχθη, ἀπὸ τῆς κατὰ τοῦ πλάσματος μάχης ἐπὶ τὴν αὐτοῦ τοῦ πλάστου—φεῦ τῆς ἀπονοίας—κατενεχθεῖσα καὶ πράγμασιν αὐτοῖς τὸν σοφὸν ἐκεῖνον τοῦ πνεύματος βεβαιώσασα λόγον, ὃς ἀδύνατον εἶναί φησι τὸν Θεὸν ἀγαπᾶν τὸν μὴ πρότερον τὸν

2 *συντριβένταις* B. — 9 *ἐπωνίμου* B. — 10 *χρησμῆς* B. — 13 *λόγον* B. — 15 *καταληφθέντων* B.

πλησίον ἠγαπηκότα. Οἱ μὲν οὖν τοῦ θείου πνεύματος" φησί "λόγοι, κάλλιστά τε καὶ ἀσφαλέστατα τῇ τῶν πατέρων χρησάμενοι γλώττῃ, τὸν τῆς ὀρθῆς δόξης ἐκπαιδεύουσι λόγον· ἆρα δὲ μήτοι περὶ τὴν κρίσιν ἁμαρτάνοντες ἡμεῖς τῶν ὀρθῶν λόγων ἐκείνων ἔξω φερόμεθα τῆς εὐθείας, οἱ δ' ἀντιπίπτοντες ἡμῖν οὗτοι καταστοχαζόμενοι μᾶλλον τοῦ κεκρυμμένου δυσκόλως οὕτω πρὸς τὴν μετάθεσιν ἔχουσι τὸ παράπαν καὶ ἀνενδότως; ἢ καί τις τῶν παρ' αὐτοῖς σοφῶν ἔκ τινος ἐπιπνοίας θειοτέρας μυηθείς, κἀντεῦθεν τοὐνδόσιμον ἔχων, οὕτως ἐνστατικόν τε καὶ ἀνένδοτον τὸ περὶ αὐτῶν συνέδριον τοῦτο κατασκευάζει; Θεῷ τοιγαροῦν ἐπιτρέψαι δεῖ καὶ ἡμᾶς ταῦτα καὶ τὴν παρ' ἐκείνου δέξασθαι ψῆφον, ἐμφανέστερον βεβαιοῦσαν τὸν λόγον· δώσει δὲ πάντως, ἀγαθὸς ὢν καὶ πᾶσι τὰς αἰτήσεις πρὸς τὸ συμφέρον παρέχων"· τὸ δὲ διανοίας ἦν εὐλαβοῦς ἄρα, σοφίαν καὶ σύνεσιν αἰτούσης τοῖς ἀστηρίκτοις, ἀλλ' οὐκ ἀμφιβολίας οὐδὲ δισταγμοῦ τινος περὶ τὸν ὀρθὸν λόγον· ὅπερ ἔθος ἐκείνῳ καὶ αὐτά φημι τὰ καλῶς ἐγνωσμένα μετριοφροσύνης ὑπερβολῇ οὐ τῇ θείᾳ μόνον ἀλλὰ καὶ τῇ τοῦ πλησίον ἐπιτρέπειν ὡς ἐπὶ πολὺ κρίσει. "Νὺξ μὲν οὖν", φησίν, "ἦν, ἐμοὶ δὲ τῇ εὐχῇ φιλοπονώτερον προσκειμένῳ καὶ τὴν ὑπὲρ τούτου δέησιν ἐκτενέστερον ἐπὶ πολὺ ποιουμένῳ, ὡς καὶ τὸ πλεῖστον αὐτῆς παρελθεῖν ἤδη, ὕπνος μὲν ἐπελθεῖν ἀμυδρῶς ἐδόκει· τὸ δ' οὐχ ὕπνος ἦν, ἀλλά τις ὡσανεὶ τῶν σωματικῶν αἰσθήσεων νάρκη, μέσον ἐγρηγόρσεως καὶ ὕπνου τὸν νοῦν πως ἱστᾶσα. Ναοῦ δέ τινος ἔνδον ἑστάναι νομίζων, μεγέθει τε μεγίστου καὶ περιφανοῦς ἄλλως, ἑώρων καὶ ἰδοὺ χορός τις ἀρχιερέων λαμπρός, πάντων ἱερατικῶς ἐσταλμένων, τοῦ θείου ἐκείνου θυσιαστηρίου μετά τινος ἀξιώματος ὁμοῦ καὶ λαμπρᾶς τῆς πομπῆς ἐξῄει· τῶν δ' ἱερῶν ἐκείνων ἐξιόντες προθύρων οὐ τὴν αὐτὴν ᾔεσαν πάντες, ἀλλ' ἅμα τῇ προόδῳ διχῇ καθάπερ τι ποτάμιον σχιζόμενοι ῥεῦμα. οἱ μὲν τὸν δεξιὸν χορὸν ἀνεπλήρουν, ἐξ αὐτῆς φημι τῆς ἱερᾶς παραστάδος στοιχηδὸν πρὸ τῶν θείων ἐκτυπωμάτων μεγαλοπρεπῶς συνεστῶτες καὶ μέχρι πολλοῦ τινος ἀλλήλοις, ὥσπερ ἐν σειρᾷ χρυσῇ, συνηρμοσμένοι τε καὶ συμπροϊόντες· τοὺς δὲ θάτερον αὖθις

Digitized by Google

εἶχε μέρος ἀπαραλλάκτως ἀλλήλοις συντεταγμένους τε καὶ ὥσπερ συμπεφυκότας καὶ τὴν στάσιν κατ' ἐκείνους πληροῦντας. Ἄρρητος μὲν οὖν αἰδὼς ἐπεκάθητο πᾶσι καὶ σύννοι τινὲς ἦσαν καὶ πρὸς ἑαυτοὺς βλέποντες· σιγῆς δέ τινος οὔσης, καθάπερ ἐν τελετῇ μυστηρίων, καὶ πάντων ἡμῶν αἰδοῖ τε καὶ φόβῳ τοῖς ὀφθαλμοῖς ἀτενὲς ἐνορώντων ἐκείνοις (συμπαρῆσαν καὶ γὰρ ἡμῖν οὐκ ὀλίγοι), ἕτερον αὖθις ὁρῶ μεμονωμένον ἐξιόντα τοῦ θυσιαστηρίου ἐκείνου (τὴν τοῦ διακόνου τάξιν ἐῴκει μοι πληροῦν οὗτος), φαιδρόν τι μάλα καὶ αὐτὸς ἀπολάμπων τῇ τε στολῇ καὶ τῇ ὄψει καὶ διὰ πάντων ἄγγελος εἶναί τινων θαυμαστῶν προσταγμάτων ἐμφαίνων· ἐῴκει μοι γὰρ καὶ βιβλίον ἐν χεροῖν ἔχειν καὶ πρὸς τὴν τῶν ἐγκειμένων ἀνάγνωσιν εὐτρεπὴς εἶναι. Τοὺς γοῦν ἐφ' ἑκάτερα παρισταμένους ἐκκλίνας οὗτος ἐξ ἴσου καὶ τὴν προκειμένην διιὼν εὐσχημόνως εὐθεῖαν, ἐπ' ὀκρίβαντος ἄνεισιν αὐτίκα τοῦ ἱεροῦ διὰ τῶν βαθμίδων, καὶ πάντων ὡς εἰκὸς ἑαυτοῦ καὶ ὄμμα καὶ νοῦν ἀναρτήσας, πρὸς ἑαυτόν τε μικρόν τι πρότερον οἱονεὶ βλέψας, ὡς ἄν, οἶμαι, προσεκτικωτέρους μᾶλλον καὶ νήφοντας ἐργάσηται τοὺς ἀκροωμένους, ἔτι τῆς βαθείας ἐκείνης σιγῆς πᾶσιν ἐπιπρεπούσης, τὸ μετὰ χεῖρας ἀναπτύσσει βιβλίον". Ἀλλὰ προσέχειν ἀξιῶ καὶ ὑμᾶς αὐτός· αὐτὰς γὰρ ἐκείνας ἀπαραποιήτως ἐνταῦθα τὰς τοῦ μεγάλου προθήσομαι ῥήσεις, ὧν αὐτήκοος ἐγενόμην. "Τὸ γοῦν ἱερόν", φησίν, "ὁ φοβερὸς ἐκεῖνος ἀνοίξας βιβλίον — ὢ τοῦ φρικωδεστάτου καὶ θεάματος καὶ ἀκούσματος — Ἀκινδύνῳ φησὶ τῷ λαλήσαντι βλάσφημα κατὰ τῆς τοῦ Θεοῦ ἐκκλησίας, τῷ ἄλλῳ Ἰούδᾳ, τῷ προδότῃ τῆς εὐσεβείας, τῷ ἄλλῳ Ἀρείῳ, τῷ σχίσαντι κατ' ἐκεῖνον τὴν τοῦ Χριστοῦ ἐκκλησίαν, τῷ ἀποστάτῃ, τῷ τῆς ἀληθείας προδήλως ἐχθρῷ τε καὶ πολεμίῳ, ἀνάθεμα! Τούτοις ὁ λαμπρὸς ἐκεῖνος τῶν ἀρχιερέων χορὸς τὴν σιγὴν εὐθὺς λύσας συνάμα τῷ πλήθει παντὶ μέγα καὶ ἐξαίσιον τὰ αὐτὰ ἐπεβόα· τῆς δὲ συμμιγοῦς ταύτης βοῆς εἰς ὕψος ἐξαιρομένης καὶ τὸ ἀνάθεμα πολλάκις λεγούσης, ἐπεὶ καὶ αὐτὸς ὥσπερ ὑπό τινος συνωθούμενος ἀοράτως ἀνάγκης τὰ αὐτὰ τοῖς ἄλλοις ἐβόων, εἰς ἐμαυτὸν

17 *ἐργάσηται* M, *ἐργάσαιτο* B.

Digitized by Google

αὖθις καὶ τὰς αἰσθήσεις οἷον ἐπάνειμι, τὸ φοβερὸν ἐκεῖνο τῆς ἀγγελικῆς ἀποφάσεως ῥῆμα στρέφων ἐπὶ τῆς γλώττης ἔτι, καίτοι γε τῆς θαυμαστῆς θεωρίας ἐκείνης ἐξ ὀφθαλμῶν ἤδη μοι γεγονυίας". Καὶ ταῦτα μὲν τὰ τοῦ μεγάλου θεωροῦ καὶ μυσταγωγοῦ καὶ μύστου τῶν μεγάλων τούτων δηλαδὴ μυστηρίων. Τίς δ' ἂν ἀμφιβάλλοι τῶν τὰ θεῖα πεπαιδευμένων οὐρανόθεν ταύτην ἐξενηνέχθαι τὴν ψῆφον καὶ βίβλον ἐκείνην εἶναι τῶν πρωτοτόκων, τῶν ἀπογεγραμμένων ἐν οὐρανοῖς, καθ' ἣν τὰ μὲν ὀνόματα τῶν τοῖς ἀποστολικοῖς δόγμασιν ἑπομένων ἐγγράφεται, κατὰ τὴν θείαν ἀπόφασιν δήπου—"χαίρετε γάρ", φησίν, "ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς"—, τὰ δὲ τῶν ἀντιπάλων ἐκείνοις ἐξ ἀντιστρόφου διαγραφόμενα μεγάλῳ τινὶ καὶ φοβερῷ τῷ κηρύγματι παρὰ πάσης ἀποβάλλεται συμφώνως τῆς ἐπουρανίου ἐκκλησίας ἐκείνης; "πολλοὶ γάρ", φησίν, "ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· ἐφάγομεν ἐνώπιόν σου καὶ ἐπίομεν καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας", τουτέστι τῶν δογμάτων ἡμῖν ἐκοινώνησας καὶ μυστηρίων καὶ πρὸς τούτοις τὸ περὶ πολιτείας ἁπλοῦν ἡμᾶς ἐδίδαξας, ᾗ καὶ τοὺς συνόντας αὖθις ἡμεῖς ἐδιδάξαμεν λόγον. "Ἀλλ' ἐρῶ", φησίν, "ἐκείνοις, ὅτι οὐδέποτε ἔγνων ὑμᾶς· πορεύεσθε ἀπ' ἐμοῦ οἱ ἐργάται τῆς ἀνομίας· πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί".

67. Καὶ τὸ μὲν κατὰ τῶν ὑβριστῶν τῆς θεότητος, πᾶσαν ἐκείνης ἐνέργειάν τε καὶ χάριν καὶ ἔλλαμψιν ἀποβαλλομένων κἀντεῦθεν εἰς κτιστάς τε καὶ ἀκτίστους θεότητας τὴν μίαν φύσιν καὶ δύναμιν καὶ θεότητα κατατεμνόντων, ἐν τούτοις· ἃ δὴ καὶ πολλοῖς αὐτὸς ἐκεῖνος οἰκείᾳ δηλαδὴ παρέθετο γλώσσῃ στήριγμα καὶ δόξαν ἀληθῶς τῆς τοῦ Χριστοῦ σεπτῆς ἐκκλησίας, πρὸ δὲ πάντων τῷ καὶ πάντων ἀρίστῳ ταύτης ἐκδικητῇ καὶ προμάχῳ, βασιλεῖ φημι τῷ σοφῷ καὶ γενναίῳ· ὃς καὶ πρὶν μὲν ἐγκρατὴς γενέσθαι τῶν Ῥωμαϊκῶν σκήπτρων, ἔτι συνὼν τἀδελφῷ τε καὶ βασιλεῖ καὶ τὸ πλέον ἢ καὶ τὸ πᾶν τῆς ἀρχῆς ἔχων, ὥσπερ ἴσασι πάντες, ἰσχυρῶς ὑπὲρ τῆς ὀρθῆς ἔστη δόξης, κάλλιστα σὺν ἐκείνῳ τῇ

7/8 Ἑβρ. ιβ', 23. — 10 Λουκᾶ ι', 20. — 14/15 Λουκᾶ ιγ', 26. — 18 Λουκᾶ ιγ', 27. Ματθ. η', 23. κ', 16. κβ', 14. — 28 βασιλεῖ = Ἰωάννῃ τῷ Καντακουζηνῷ.

Digitized by Google

ἀληθείᾳ συστάντες καὶ συνέσεως περιουσίᾳ καὶ λόγου τὸ τῆς κακοδοξίας περιφανῶς ἀπελάσαντες ψεῦδος, κἀντεῦθεν οὐ μικρὸν παρὰ πᾶσιν ἀράμενοι κλέος. Οὐ μὴν ἀλλὰ καὶ τὴν ζωὴν ἐκείνου τῇ ἀρχῇ συγκαταλελυκότος αὐτίκα, πολλάκις ἐπί τε συνόδων ἱερῶν καὶ συλλόγων τὸν ἤδη μοι ῥηθέντα δεύτερον ἀποστάτην οὕτως ἐξήλεγξεν ὁμαλῶς καὶ ἀπόνως ἄγαν, οἷα τὰ τῆς ἀρίστης τούτου φύσεως καὶ τῆς τέχνης, ὡς δόξαι μὲν τοῖς τότε παροῦσι καὶ τὴν γλῶτταν αὐτὴν ἐκείνου περιελεῖν τῇ περιουσίᾳ τῆς νίκης, μηδὲν δὲ νομισθῆναι φιλόνεικον ἢ μάχιμον ὅλως πρὸς ἐκεῖνον εἰπεῖν τι καὶ βλέψαι, ὃ δὴ τῷ δικανικῷ τοῦ λόγου παρεπόμενον ὥς τι πεφυκὸς ἴσμεν ὡς τὰ πολλά, ἀλλὰ καὶ ὑπανέχειν ὡσανεὶ τὸν ἀντίπαλον δοκεῖν καὶ συχνὰ περιτρεπομένῳ καὶ ἰλιγγιῶντι λαβὰς οὐ μικρὰς διδόναι, οἱονεί τινα χεῖρα ὀρέγοντα τὴν ἀνάμνησιν τῶν εἰωθότων ὑπ' ἐκείνου προτείνεσθαι τοῖς ὑπὲρ τούτων προσδιαλεγομένοις· οὐ γὰρ ἐβούλετο κατά τινα δόξαι συντυχίαν ἢ φυσικόν πως περὶ τὴν διάλεξιν ἄμβλωμα κεκρατηκέναι τοῦ ἀντιπάλου, βεβηκότος δὲ μᾶλλον καὶ κατὰ τὴν οἰκείαν ἀκμάζοντος δύναμιν ἐκείνου περιγενέσθαι, ἵνα μὴ τοῦ λέγοντος, ἀλλὰ τοῦ κατ' ἐκεῖνον εἴη λόγου μάλιστα τὰ τῆς ἥττης. Τοσοῦτο τὸ περιὸν ἐν τοῖς ὑπὲρ εὐσεβείας διαλόγοις βασιλεῖ τῷ σοφῷ τε καὶ πράῳ· μᾶλλον δ' ἡμεῖς οὐκ ἄν ποτε τὸ ὂν εἴποιμεν, κοτύλῃ ποταμὸν ὅλον ἀναμετρεῖν ὡς ἔτυχε δοκιμάζοντες· ἴτω δ' ὁ βουλόμενος, ὅστις ἂν εἴη, πρὸς αὐτήν φημι τὴν τοῦ πράγματος πεῖραν· ἕτοιμος γὰρ ἐκεῖνος παντὶ τῷ βουλομένῳ πρός τε διδασκαλίαν καὶ διάλογον κεχρῆσθαι δογμάτων, καὶ πάντως οὔμενουν νεμεσήσει τοσοῦτον ἡμῖν κατὰ πάροδον περὶ τούτων εἰποῦσιν, ἢ μέμψεται μᾶλλον, ὡς μηδέν τι μέγα καὶ τοῖς πράγμασιν ἀποχρώντως εἰπεῖν δυνηθεῖσιν· ᾧ δὴ καὶ αὐτὸς μάλιστα τίθεμαι, τὴν ἧτταν ὁμολογῶν εὐγνωμόνως· οὕτω καὶ γάρ μοι προσέσται πως τό γε μὴ καθάπαξ ἡττῆσθαι. Ἐπεὶ δὲ καθαρῶς καὶ τοῦ βασιλείου κράτους ἐπέβη καὶ τῆς φίλης εἰρήνης καὶ τῶν καταλλαγῶν, κατὰ τὰ πάλαι συντεθειμένα, πρὸς αὐτόν τε καὶ τὸν Θεὸν αὐτουργὸς ἐγεγόνει, ταύτην ἀρίστην οἱονεὶ καταβάλλεται κρηπῖδα τοῦ κράτους, εὐχαριστήριον εἴποι τις ἂν τῆς παραδόξου

σωτηρίας καὶ τῆς ἀπαλλαγῆς, ὧν διῆλθε ποικίλων θανάτων, τὴν τῆς ὀρθῆς δόξης ἐπ' ἐκκλησίας ἀνακήρυξίν τε καὶ παρρησίαν· εὗρε γὰρ καὶ τὴν ἀδελφήν τε καὶ βασιλίδα κάλλιστα κατὰ τῶν αὐτῶν τε καὶ ὑπὲρ τῶν αὐτῶν ἱσταμένην τε καὶ συναγωνιζομένην καὶ τοῦ μεταστάντος ἀνδρός τε καὶ βασιλέως οὐδὲν ἔλαττον σπεύδουσαν ἔχειν ἐν τούτοις· ἥτις ἄρα καὶ τὸν κακῶς ὑπερμαχοῦντα τῆς ἀντιπάλου μοίρας τοῦ θρόνου καθεῖλε, συνόδῳ κανονικῇ δηλαδὴ χρησαμένη τῶν ὀρθὰ τὸ τηνικαῦτα φρονούντων ἀρχιερέων, μικρῷ πρὸ τῆς ἐς Βυζάντιον τοῦ βασιλέως εἰσόδου καὶ τοῖς ἀγωνισταῖς τῆς ὀρθοδοξίας κάλλιστα καὶ μετὰ παντὸς τοῦ γινομένου συστᾶσα, τούτους δὴ λέγω τοὺς καθ' ἡμᾶς σοφούς τε καὶ ναζιραίους καὶ μέχρις αἵματος αὐτοῦ ζηλωτάς, εἰ δεήσειε, τῶν τοιούτων καλῶς ἐνταῦθα καὶ διανοηθεῖσα καὶ πράξασα καὶ τῆς εὐσεβοῦς βασιλείας ἀξίως. Ταῦτα τοίνυν οὕτως εὑρὼν ὁ σοφὸς βασιλεύς, ὅπερ εἶπον ἤδη, κατὰ πρόνοιαν ἐναρξάμενα θειοτέραν καὶ θεμελίους ὑποβληθέντας καλοὺς τοῦ παντός, ὡς ἂν μή τισιν ἄρα καὶ καινοτομεῖν αὐτὸς νομισθείη, τοὺς μὲν ἀμυνόμενος, τοῖς δ' αὖ χαριζόμενος δῆθεν διὰ τὰ προλαβόντα, τὴν ἑαυτοῦ γνώμην καὶ τὴν τέχνην ἐπιδείκνυται μετὰ πολλοῦ γε τοῦ περιόντος, τὰ συντρίμματα τῆς τοῦ Χριστοῦ νύμφης, τῆς ἐκκλησίας, εὐτέχνως ἅμα καὶ συνετῶς ἀνοικοδομήσας, πανημέριον ἑαυτὸν διδοὺς ταῖς ὑπὲρ τούτων ἱεραῖς τῆς ἐκκλησίας συνόδοις, καὶ ῥήτωρ αὐτὸς καὶ πρῶτος καὶ μόνος ὢν ἀγωνιστὴς τῶν τοιούτων καὶ πολυειδῆ τινα διαφέρων τὸν πόλεμον πρός τε κακοδοξίαν καὶ τοὺς φιλονείκως ἄλλως καὶ φθονερῶς ἀντιτασσομένους τῷ λόγῳ τῆς ἀληθείας, εἴ γε καὶ φιλονεικίαν ἐγκλητέον ἐκείνοις, ἀλλὰ μὴ προδήλως ἔχθραν καὶ τῆς ὀρθῆς δόξης ἔκπτωσιν. Εἶχε δὲ καὶ τὸν μέγαν ὁ θαυμαστὸς βασιλεὺς εὐχαῖς τε καὶ παραινέσεσιν ὑπαλείφοντα καὶ ταῖς

7 λέγει περὶ τῆς καθαιρέσεως τοῦ πατριάρχου Ἰωάννου τοῦ Καλέκα. Ὅρα Καντακουζ. τ. II, σ. 602-607, καὶ τ. III, σ. 180. — 27/28 ὁ Καντακουζηνὸς ἔπλεξε τὸ τοῦ ὁσίου Σάβα ἐγκώμιον οὕτω (τ. II, σ. 209)· «Σάβας, ὃς πρὸς τῇ Βατοπεδίου μονῇ τὸν ἀσκητικὸν ἤνυε δρόμον καὶ πολλοὺς ὑπὲρ ἀρετῆς καὶ θαυμασίους ἐπεδείξατο ἀγῶνας». Καὶ πάλιν (σ. 213)· «Σάβαν δὲ διὰ τὸ ἀρετῇ τῶν ἄλλων (Ἁγιορειτῶν) ὑπερέχειν καὶ γνωριμώτατον τῶν βασιλέως (Ἰωάννου τοῦ Καντακουζηνοῦ) φίλων εἶναι» κτλ.— 28 *ὑπαλείφοντα* M, *ἔχοντα* B.

Digitized by Google

προρρηθείσαις ἀποκαλύψεσιν ἐπὶ πᾶσι βεβαιοῦντα τὸν ὀρθὸν λόγον, ᾧ δηλαδὴ καὶ προσκείμενος ἦν καὶ συμπεφυκὼς ὡσπερεὶ τὴν ψυχὴν καὶ τῆς ἱερᾶς ἐκείνου ψυχῆς καὶ γλώττης ἐξηρτημένος. Ἀλλ' ὁ μὲν περὶ τούτου λόγος τέως ἀναβεβλήσθω, μείζονος ὢν ἱστορίας, οὐ πρὸς τὴν παροῦσαν ἀκολουθίαν τοῦ λόγου· τοῦτο δὲ μόνον τελευταῖον εἰπὼν τῷ τέλει τοῦ μεγάλου καὶ αὐτὸς συγκαταπαύσω τὸν λόγον.

68. Εἶχε μὲν τῶν πόλεων βασιλὶς ἡ Κωνσταντίνου φημὶ τὸν σοφὸν βασιλέα τῶν τε πραγμάτων βασιλικῶς ἀντεχόμενον ἤδη καὶ μετὰ πολλῆς τινος τῆς ὁμοφροσύνης τε καὶ τοῦ φίλτρου τῷ υἱεῖ τε καὶ βασιλεῖ συμβασιλεύοντα καὶ συνόντα, καὶ τἆλλα δὴ τὰ κατὰ μέρος κατὰ τὴν τῶν θεοφόρων ἐκείνων ἀψευδῆ πρὸς τὴν βασιλίδα πρόρρησιν ἀπαραλείπτως ἐνηργηκότα, ὡς μηδὲν τὸ παράπαν τῶν λόγων ἐκείνων διαπεσεῖν, ἵνα μὴ τοῖς καθ' ἕκαστον αὐτὸς ἐπεξίω· εἶχε δὲ καὶ τὸν θαυμαστὸν αὖθις Σάβαν μετὰ τὸ τὴν φυγάδα καὶ ἀπόδημον αὖθις εἰρήνην ἰδεῖν κατιοῦσαν καὶ τὰς φίλας καταλλαγὰς καὶ τὴν κοινὴν ὁμοφροσύνην τοῦ καταλειφθέντος χριστωνύμου πληρώματος, ὑπὲρ ὧν ηὔξατό τε πολλάκις καὶ δακρύων ἀφῆκε πηγὰς ἱλαστηρίους πρὸς τὸν κοινὸν δεσπότην, ἐφ' ἱκανὸν ἑορτάζοντα καὶ ψυχῇ καὶ φωνῇ καὶ παντὶ τῷ διακειμένῳ τῆς γνώμης τὸν εὐχαριστήριον ἀξίως ἀποδιδόντα καὶ τῷ σεσωκότι προθύμως τὰ σῶστρα θύοντα. Ἐπεὶ δὲ καὶ τούτων ἀρκούντως εἶχε, "Δεῦρο", φησίν, "ὦ φίλος", τῷ μαθητῇ καὶ συσκήνῳ, "ἐπεὶ καὶ τὸ παρ' ἡμῶν ὀφειλόμενον κατά γε τὴν ἐντολὴν ἀποδεδώκαμεν ἤδη, συναλγήσαντές τε πρότερον ἱκανῶς τοῖς ἀλγοῦσι καὶ τοῖς εὐφραινομένοις αὖθις ἐπὶ τῇ κοινῇ συμφωνίᾳ καὶ τῇ τῆς εἰρήνης ἐπανόδῳ τὰ εἰκότα συνευφρανθέντες, — χαίρειν γάρ, φησὶν ὁ κλεινὸς διδάσκαλος Παῦλος, μετὰ χαιρόντων καὶ κλαίειν μετὰ κλαιόντων, τὸ αὐτὸ φρονεῖν, μηδὲν κατ' ἐριθείαν πράσσοντας, ἀλλ' ὅσα πρὸς οἰκοδομὴν τοῦ πλησίον —, δεῦρο τῆς πολιτείας ἡμῶν καὶ τῆς προσηκούσης ἡμῖν ἀκριβείας τε καὶ καταστάσεως καθ'

17 *ὁμοφροσύνην* B, *συμφωνίαν* M. — 27, 29 Ῥωμ. ιβ', 15, 16. Φιλιπ. β', 2, 3.— 29 *ἐρίθειαν* MB.

*

ἑαυτοὺς ἐχώμεθα πάλιν· καὶ μέλι γὰρ εὑρών, τῶν σοφῶν φησί τις, συμμέτρως φάγε, ἵνα μὴ πλησθεὶς ἐμέσῃς· ἄλλως τε καὶ τοῦ τῆς ζωῆς ἡμῖν τέλους κατὰ πόδας ἰόντος νήφειν εἶναι πᾶσαν ἀνάγκην, κατὰ τὰς δεσποτικὰς ὑποθήκας, καὶ τὸν νοῦν αὐτόθι προσέχειν, μή που καὶ ἀνέτοιμοι φανείημεν ἐπ' ἐσχάτων". Καὶ ταῦτα μὲν ὁ μέγας, τὰ οἰκεῖα καὶ προσήκοντα δήπου καὶ λέγων καὶ πράττων ἑαυτῷ πάντως καὶ τὴν τελευτὴν ἐγγὺς οὖσαν προανακρουόμενος ἤδη· ἐπεὶ δὲ καὶ ποιμένος ἔδει, τῇ λογικῇ δηλαδὴ τοῦ Χριστοῦ ποίμνῃ, καὶ ἡ τῶν ἐκκλησιῶν κεφαλὴ τὸν αὐτῆς προστησόμενον ἀξίως ἐζήτει, ψήφους ὁ βασιλεύς, κατὰ θείους δηλαδὴ θεσμούς, ἐκθέσθαι προτρέπεται τὴν τοῦ Θεοῦ ἐκκλησίαν. Τῶν γοῦν ἀρχιερέων εἰς ταὐτὸ συνιόντων, πολλοὺς μὲν εἶχον αἱ ψῆφοι καλούς τε καὶ ἀγαθοὺς ἄνδρας καὶ προσήκοντας δήπου ταῖς αἱρέσεσι τῶν τηλικούτων ἀξιωμάτων· ἐπεὶ δὲ συμφωνεῖν οὐκ ἔσχον καθαρῶς ἐφ' ἑνί τῳ τῶν πάντων, ἀλλ' ἐσχίζοντο ταῖς γνώμαις ἐπὶ πολύ, τῶν μὲν τούτῳ, τῶν δ' ἐκείνῳ προστιθεμένων, ὡς ἂν ὑπὲρ τῶν μεγίστων πεφυκότος αὐτοῖς τοῦ ἀγῶνος, καθάπερ ἔθος ἐν τοῖς τοιούτοις (μᾶλλον δὲ καὶ ὑπὲρ τὸ ἔθος ἦν ἡ συμπεσοῦσα τὸ τηνικαῦτα διχόνοια καὶ ἀμφιβολία, πολλῶν τινων πεφυκότων τῶν εἰς τοῦτ' αὐτὸ συνωθούντων αἰτίων), ὁ σοφώτατος βασιλεὺς μετὰ τοὺς πολλοὺς ἐκείνους διαύλους καὶ τὰς ἐφ' ἑκάτερα τῶν αἱρουμένων τροπάς τε καὶ μετακλίσεις τὸν περὶ τοῦ θείου Σάβα προβάλλεται λόγον καὶ ὅτι δεῖ ψηφίζεσθαι καὶ τοῦτον εἰς πατριάρχην. Ἅμα δὲ τῷ λόγῳ ἐν

1/2 Παροιμ. κε', 16. — 8 ποιμένος ἔδει = μετὰ τὴν ἔτει 1347-ῳ καθαίρεσιν τοῦ πατριάρχου Ἰωάννου τοῦ Καλέκα. — 16 *ἐκείνων* Β. — 23 ψηφίζεσθαι καὶ τοῦτον εἰς πατριάρχην] περὶ τῶν ὧδε καὶ κατόπιν ὑπὸ τοῦ Φιλοθέου διηγουμένων περὶ τῆς προβολῆς τοῦ ὁσίου Σάβα εἰς πατριάρχην οὐδὲν οὐδαμοῦ λέγει ὁ Καντακουζηνὸς ἐν ταῖς οἰκείαις ἱστορίαις· ἁπλῶς δὲ μόνον ἐσημειώσατο κενάς τινας λέξεις περὶ τῆς γενομένης τότε ἐν τῇ ἐκκλησίᾳ Κωνσταντινουπόλεως στάσεώς τε καὶ ἔριδος πρὸ τῆς εἰς πατριάρχην προβολῆς τοῦ Ἰσιδώρου (τ. III, σ. 25 - 26)· ἀλλ' ὁ Φιλόθεος καὶ ἐν ἑτέρῳ οἰκείῳ πονήματι, ἐν τῷ τύποις ἤδη ἐκδιδομένῳ βίῳ τοῦ πατριάρχου ἁγίου Ἰσιδώρου, βεβαιοῖ τὰ περὶ τὸν Σάβαν γενόμενα, γράφων αὐτολεξεὶ ταῦτα· «χρόνου δέ τινος μεταξὺ διαγεγονότος, καὶ τῆς κοινῆς τῶν πιστῶν ἐκκλησίας τὸν κοινὸν προστάτην καὶ τὴν τῶν πατέρων ἀρχὴν κατὰ νόμους δηλαδὴ θείους ἐπιζητούσης, οὐ μὴν οὖν ἀλλὰ καὶ βασιλέως αὐτοῦ καὶ σφόδρα βουλομένου καὶ πρὸς τοῦτ' αὐτὸ τοὺς τῶν ἐκκλησιῶν καθηγεμόνας καὶ τοῦ πράγματος διαγνώμονας ἐπισπεύδοντος, ἐπεὶ πολλούς μέν τινας

Digitized by Google

τούτῳ πάντων συμφωνησάντων ἀθρόον, οὐκ ἀρχιερέων φημὶ μόνον, ἀλλὰ καὶ τῆς ἐκκλησίας ὁμοῦ πάσης καὶ τῆς συγκλήτου καὶ σχεδὸν ἅμα τῆς πόλεως πάσης, καὶ μεγάλως ἀνευφημούντων ὑπὲρ τούτου τὸν βασιλέα καὶ τὴν περὶ τούτου προβολὴν θείαν ἄντικρυς εἶναι λεγόντων, τάττεται τὰ πρῶτα τῶν ψηφιζομένων ὁ μέγας· καὶ πρῶτα μὲν ὁ πρῶτος τῶν τοῦ βασιλέως υἱῶν, ὁ σοφὸς δηλαδὴ τοῦ σοφοῦ, παρ' αὐτοῦ φημι τοῦ πατρὸς καὶ δεσπότου στέλλεται πρὸς τὸν μέγαν, ἑπόμενον ἔχων καί τινα τῶν τῆς ἐκκλησίας προκρίτων· ὃς δὴ καὶ φύσει καὶ πείρᾳ καὶ μελέτῃ τῶν καθ' ἡμᾶς Γραφῶν, καὶ πεπαιδευμένῃ προφορᾷ λόγου καὶ πᾶσι δηλαδὴ τοῖς καλλίστοις υἱὸς ὢν τοῦ γεγεννηκότος, εἶτα καὶ ταῖς ἐκεῖθεν ἐντολαῖς καὶ τοῖς νοήμασι σίδηρος καθαπερεί τινι βαφῇ στομωθείς, τί μὲν οὐκ ἔλεγε, τί δ' οὐκ ἐποίει, νῦν μὲν εὐαγγελικοῖς τε καὶ ἀποστολικοῖς ἐπιχειρήμασι, νῦν δὲ ταῖς βασιλικαῖς ἀξιώσεσι καὶ τῇ τῆς ἐκείνου στοργῆς ἀναμνήσει καθάπερ τι χρέος δικαιότατόν τε καὶ ἀπαραίτητον τὴν συγκατάθεσιν ἀπαιτῶν; Ἐπεὶ δὲ ἐκεῖνος ἐκ πρώτης εὐθὺς ἀπαγορεύων τὴν πρόκλησιν ἦν, οὐδ' ἂν εἴ τι καὶ γένοιτο φάσκων αὐτὸς ἐπιχειρῆσαί ποτε τοῖς τοιούτοις, πάλαι γὰρ ἀρκούντως ταυτὶ βεβουλεῦσθαι καὶ διὰ τοῦτο μεταθήσειν τὴν

καὶ καλοὺς αἱ τῆς ἐκκλησίας καὶ τῶν ταύτης προϊσταμένων εἶχον ὡς ἔθος ψῆφοι, συμφωνεῖν δὲ καθαρῶς ἐφ' ἑνὶ τῶν πάντων αὐτοί τε καὶ βασιλεὺς ὁ κράτιστος οὐδαμῶς εἶχον, ἐπὶ τὸν θαυμαστὸν ἐκεῖνον Σάβαν μεταφέρουσιν ὁμοῦ πάντες τὰς ψήφους. Σάβαν φημὶ τὸν ἐμόν, τὸν περιφανῆ καὶ κάλλιστον πολίτην τῆς ἐρήμου τε καὶ τοῦ Ἄθω, τὸν τῆς πράξεως ὁμοῦ καὶ τῆς θεωρίας ἀπερίτρεπτον στῦλον, τὸν μέγιστον ὄντως καὶ λαμπρὸν οἶκον τῆς ἀνωτάτω καὶ πρώτης σοφίας· ἐπεὶ δ' ἐκεῖνος ἀνένδοτος ἦν, καὶ βασιλέως ὁμοῦ καὶ συγκλήτου καὶ πρὸ τῶν ἄλλων ἐπ' ἐκείνας τῆς ἐκκλησίας προκαλουμένης, ὁ σοφὸς βασιλεὺς μετὰ τὴν πολλὴν πρὸς ἐκεῖνον πεῖραν καὶ τὰς ἐπὶ πλεῖστον θαυμαστὰς ἱκεσίας, προσθήσω δ' ὅτι καὶ τὴν καινὴν ἐκείνην βίαν διὰ τὸν πόθον—ἧρα καὶ γὰρ καθ' ὑπερβολὴν τῆς πνευματικῆς ἀρχῆς ἐκείνου καὶ προστασίας—, τὴν εἰς τὸ πρᾶγμα συγκατάθεσιν ἀπαγορεύσας ἐκείνου (πῶς γὰρ οὔ; τῆς προνοίας πόρρωθεν ἄλλως περὶ τούτων αὐτῶν καὶ βουλομένης καὶ προκατασκευαζούσης), ὡς ἔφην, εἰς δευτέραν ἔρχεται πείρας ὁδόν, καὶ πείθει, πλεῖστα τοῦ ἀνδρὸς δεηθείς, ὀψὲ δέ ποτε καὶ τοῦτο καὶ μόλις ἀναβαλλομένου, κἀκεῖνα δι' ἔρωτα μετριοφροσύνης· πείθεται δ' οὖν ὅμως ὁ μέγας, τοῦ μὴ δοκεῖν ὥσπερ ἐπίτηδες τὸν φίλον ἀεὶ βούλεσθαι λυπεῖν βασιλέα, παρὰ Θεοῦ ζητῆσαί τε καὶ μαθεῖν τὸν τῆς μεγάλης ἄξιον προστασίας· καὶ μέντοι γε καὶ δεῖται καὶ τῆς ἀποκαλύψεως αὐτίκα τυγχάνει τοῦ μυστηρίου, τον θαυμαστὸν Ἰσίδωρον αὐτὸν ἐκεῖνον παραδείξαντος» κτλ. — 12 σίδηρος καθ. βαφῇ στομωθείς] Σοφοκλ. **Αἴας**, στίχ. 651 «Κἀγὼ -- βαφῇ σίδηρος ὣς ἐθηλύνθην στόμα πρὸς τῆσδε τῆς γυναικός».

Digitized by Google

γνώμην οὐχ οἷόν τε—"Μὴ τοίνυν τὸν καιρὸν ἀναλίσκοντες", φησίν, "εἰς οὐδὲν δέον ἑαυτοῖς τε κἀμοὶ πόνους διακενῆς προξενεῖτε"—, τὴν συγκατάθεσιν ὁ τοῦ βασιλέως ἀπαγορεύσας υἱὸς τῷ πατρὶ μηνύει τὴν ἧτταν, μείζονος συμμαχίας δεῖσθαι τὸ πρᾶγμα λέγων, ἅτε δὴ καὶ πρὸς ἰσχυρότατον ἀνταγωνιστὴν τοῦ ἀγῶνος ὄντος. Ὁ δὲ φιλόχριστος βασιλεύς, τόν τε χορὸν τῶν ἀρχιερέων εὐθὺς καὶ τὴν σύγκλητον μεθ' ἑαυτοῦ συμπαραλαβών, αὐτὸς ἐκεῖνος ἄπεισι πρὸς τὸν μέγαν, καὶ λόγους πρὸς ἐκεῖνον εἰπών, λόγους ἄντικρυς θείους (καὶ τί γε ἄλλο, ἢ τῆς αὐτοῦ τε διανοίας καὶ τῆς ἀκοῆς ἐκείνης ἀξίους; οὓς καὶ τὸ συγγραφῇ διδόναι παίδευμα καὶ κανόνα τινὰ τοῖς τε ψηφιζομένοις ὁμοίως καὶ τοῖς ἐπὶ ταύτην ἰοῦσι τὴν προστασίαν εὐχῆς ἔργον ἐμοὶ καὶ ἱστορίας ἰδίας), εἶτ' ἐφεξῆς καὶ πλείστην ὅσην τὴν ἀπὸ ψυχῆς ἱκεσίαν προσῆγεν ὑπὲρ ἑαυτοῦ τε καὶ τοῦ πληρώματος παντὸς τῆς τοῦ Χριστοῦ ἐκκλησίας, καινήν τινα καὶ ἀπαράμιλλον ἐπαγγελλόμενος τὴν ἑαυτοῦ πρὸς ἐκεῖνον ὑπακοὴν περὶ πάντα καὶ τὸ ταῖς αὐτοῦ βουλαῖς τε καὶ νεύσεσιν, ὅσα δὴ καὶ Θεῷ, μετὰ παντὸς ἄγεσθαι τοῦ προθύμου. Τῶν μὲν οὖν μεγάλων ἐκείνων λόγων καὶ τῆς σοφίας ὁ μέγας θαυμάζειν εἶχεν, οὐδ' ὅσον ἄν τις καὶ φῆσαι, τὸν βασιλέα. τὴν δὲ γνώμην ἀπαράτρεπτον αὖθις εἶχεν. Ὅθεν εὐθὺς ἐξαναστὰς τοῦ συλλόγου τῆς χειρός τε λαμβάνεται τούτου καὶ μόνος γενόμενος ἐκεῖνος πρὸς μόνον, "Ἀδύνατόν μοι", φησί, "θειότατε δέσποτα, τῇ ψήφῳ ταύτῃ καθυποκύψαι, τοῦ Θεοῦ καθάπαξ μὴ βουλομένου· πρὸ γὰρ τριῶν τούτων ἡμερῶν ἀπεκαλύφθη μοι παρὰ τοῦ ἀγαθοῦ ταῦτα", καὶ τὸν τρόπον εὐθὺς τῆς ἀποκαλύψεως, ὅστις ποτὲ ἦν, διεξῄει. Καὶ ὁ βασιλεὺς ἄλλως εἰρῆσθαι τῷ μεγάλῳ ταῦτα νομίσας, ὡς ἂν ἐκεῖνον παρακρούσασθαι δυνηθείη, "Κἀμοί", φησίν, "αὐτῷ πρὸς Θεοῦ δεδήλωται, πάτερ, μὴ ἂν ἄλλον γενέσθαι πατριάρχην, τό γε νῦν ἔχον, ἀλλ' ἢ πάντως τὴν σὴν ἀρετήν, τοῦτο γὰρ ἐκείνῳ πρὸς βουλῆς ἄντικρυς εἶναι". Εἶτα καὶ πολλὰ τούτου δεηθεὶς αὖθις καὶ πάντα λογισμὸν ὑπὲρ τοῦ πεῖσαι κινήσας, ἐπειδὴ πειθόμενον ὅλως οὐκ εἶχε, λύπῃ βαρείᾳ κάτοχος ἐξανίσταται τῆς καθέδρας. Τούτου τὴν ἀξίωσιν οἱ λογάδες διαδε-

Digitized by Google

ξάμενοι τῶν συνόντων, ὅσοι τε τῶν ἀρχιερέων καὶ ὅσοι δηλαδὴ τῆς συγκλήτου καὶ τῶν ἄλλως ἀρετῇ τε καὶ ἀξιώμασι προεχόντων, ποίαν ὁδὸν ἢ τίνα τρόπον διαλέξεως οὐ μετῆλθον, νῦν μὲν γραφικοῖς ἐπιχειρήμασι, νῦν δὲ σοφῶν τε καὶ σπουδαίων ἀνδρῶν πράξεσί τε καὶ λόγοις, καὶ ποτὲ μὲν τῷ παραινετικῷ, ποτὲ δ' αὖθις τῷ δικανικῷ χρώμενοι τοῦ λόγου καὶ τούτων ἐνί γέ τῳ πείσειν πάντως ἐπιχειροῦντες; Ἀλλ' ὁ μέγας πᾶσιν ὡσαύτως ἀνένδοτός τε καὶ ἀνεπιχείρητος ἦν, οὕτως εὐχερῶς τὸ παρ' ἐκείνων προβαλλόμενον ἅπαν λύων, ὡς μηδὲ σπουδῆς μηδ' ἐπιχειρημάτων δοκεῖν δεῖσθαι πρὸς ταῦτα, τῷ συντετελεσμένῳ καὶ συντετμημένῳ δηλαδὴ κατὰ πάντων χρώμενος λόγῳ καὶ τῇ σοφίᾳ τοῦ καθαρῶς ἐνοικήσαντος τῇ ψυχῇ πνεύματος· οὗ δὴ καὶ τῆς εὐωδίας μάλα δαψιλῶς καὶ τοῖς ἐκτὸς διαδιδομένης μᾶλλον ἐπεσπᾶτο τοὺς ἐραστὰς ὁ μέγας καὶ πρὸς τὸν ἐκείνου πόθον σφοδρότερον ἀνεφλέγοντο, καὶ οὐδ' ἀποστῆναι τὸ παράπαν ἠξίουν, καίτοι γε πολλὰ πρὸς τὴν ἐκείνων ἀναχώρησιν λέγοντος αὐτοῦ καὶ ποιοῦντος. Ὁ δὲ βασιλεύς, κάτοχος ὢν ὅλος τῷ περὶ αὐτὸν φίλτρῳ, δῆλος ἦν οὐδ' ἀποστῆναι τοῦ πράγματος οὐδὲ τοῦ τόπου τὸ παράπαν βουλόμενος· "Οὐδὲ γὰρ φέρει", φησί, "τὴν ἀναβολὴν ὁ πόθος. Ἐνταῦθα μὲν οὖν", ἔλεγε, "καὶ παραμενοῦμεν καὶ διανυκτερεύσομεν, καὶ οὐδ' ἀποστησόμεθα τὸ παράπαν, μᾶλλον μὲν οὖν καὶ βασιλέα καὶ βασιλίδας αὐτὰς καὶ κοινῇ πᾶσαν ἐνταῦθα τὴν πόλιν ταυτηνὶ συναθροίσομεν, ἕως ἂν τοῦ σπουδαζομένου τυχεῖν ἡμῖν γένηται". Τῆς γοῦν ἡμέρας ἤδη παριούσης ἐν τούτοις, πείθεται παρὰ τοῦ τῷ μεγάλῳ συνοικοῦντος ὁ βασιλεὺς τῆς ἐνστάσεως ὑφεῖναί τι καὶ δοῦναι καιρὸν ἐκείνῳ πρὸς ἀναψυχήν τε καὶ διάσκεψιν. Ὅθεν καὶ τοὺς συνόντας λαβὼν πρὸς ἑσπέραν ἄπεισι, καὶ τὴν μετ' ἐκείνην διαλιπὼν μόνην—οὐδὲ γὰρ ἠρεμεῖν ὅλως εἶχε—δευτεραῖος ἐφίσταται πάλιν, τοὺς αὐτοὺς ἢ καὶ πλείονας ἑπομένους ἔχων, καὶ τὴν μετ' αὐτὴν ὡσαύτως καὶ τὴν μετ' ἐκείνην ὁμοίως, μέχρι δηλαδὴ καὶ τῆς πέμπτης, τοῖς αὐτοῖς τε καὶ πλείοσι χρώμενος λόγοις καὶ πανταχόθεν τὰ τῆς πειθοῦς ἐρανιζόμενος φάρμακα.

69. Ἐπεὶ δ' ὁ μὲν χρόνος ἐτρίβετο μάτην, ἀνένδοτοι δ' ἦσαν

Digitized by Google

ἐξίσου καὶ ἄμφω, ὁ μὲν περὶ τὸ πεισθῆναι, ὁ δὲ βασιλεὺς αὖθις περὶ τὸ ἀποστῆναι, πρᾶγμα γίνεται τῆς τῶν ἑκατέρων σπουδῆς ὄντως ἄξιον· ἀμφοτέρων γὰρ ἔγωγε τὴν τῆς ἀρετῆς ὑπερβολὴν καθ' ὑπερβολὴν ἄγαμαι, τοῦ μὲν ὅτι τὴν διδομένην τιμήν, καίτοι γε τοσαύτης ἐπιτεθείσης ἀνάγκης, ὥστε μηδ' ἐξεῖναι λέγειν τε καὶ θαυμάζειν ἀξίως, ἡσυχίας ἔρωτι ξένῳ καὶ τῷ μὴ δύνασθαι τῆς μεγάλης τοῦ Θεοῦ θεωρίας καὶ τῆς ἐντεῦθεν ὑπερφυοῦς καὶ ὁπηοῦν ἀποστῆναι γλυκύτητος παντὶ τῷ θυμῷ διαπέφευγε· τοῦ δὲ τὴν περὶ τὰ καλὰ σπουδὴν αὖθις, ὅτι τῇ μείζονι τιμῇ καὶ Θεῷ μᾶλλον ἐγγιζούσῃ τὸν μείζονα τοῦ καθ' ἡμᾶς χρόνου τε καὶ τοῦ γένους κατὰ πᾶν ἀρετῆς εἶδος καὶ Θεῷ μᾶλλον ἐγγίζοντα — πόρρω δ' ἔστω που νέμεσις — μετὰ τοσαύτης δήπου τῆς σπουδῆς προσάγων ἐφαίνετο, μεθ' ὅσης οὐδ' εἰπεῖν ἔξεστιν, οὐδέ τις οἶμαι τῶν πάντων ἱστόρησε πώποτε· καὶ τῶν δοκούντων ἐναντίων ἑκάτερον διὰ τὴν εἰς Θεὸν ὁμοίως ἀγάπην ἑκάτερος εἵλοντο, καὶ γνησιώτατα πρὸς τὸ καλὸν ἔχοντες ὁμοῦ λαμπρῶς ἀνεφάνησαν, κατ' ἐκείνους δήπου τοὺς θεοφόρους, ὧν ἅτερος διώκων ὠφελείας χάριν τὸν ἕτερον, "Στῆθί μοι διὰ τὸν Θεόν, πάτερ", ἔλεγεν· ὁ δ' ἀνὰ κράτος φεύγων, δριμυτάτῳ τῆς ἡσυχίας ἔρωτι, "Κἀγὼ διὰ τὸν Θεὸν φεύγω, πάτερ", ἀνέκραζεν. Ἀλλ' ἐπ' ἐκεῖνο καὶ πάλιν ἴωμεν. Ἐπειδὴ τὸ πείθειν ὁ κράτιστος βασιλεὺς συκίνην, ὅ φασιν, ἐπικουρίαν ἑώρα καὶ τὰς ἐκεῖθεν ἐλπίδας ἀπείπατο, τῇ βίᾳ τὸ πᾶν ἐξ ἀνάγκης δίδωσι, καὶ κλοπῆς τι παραμίξας ἱερῶς οὐκ ἐλάχιστον καὶ τὸ δρᾶμα τοῖς τῆς ἱερωσύνης λειτουργοῖς καὶ χρίσταις τοῦ πνεύματος κοινωσάμενος, προπέμπει μὲν αὐτοὺς εἰς τὸ τοῦ Θεοῦ τέμενος, κατ' ἐκεῖνό φημι τὸ τὸν ἱερὸν ἔχον Σάβαν ἐν ἑαυτῷ φροντιστήριον, τὰ τῆς ἱερᾶς δηλαδὴ μυσταγωγίας καὶ ὅσα τῆς χρίσεως λάθρᾳ προευτρεπίσοντας· ὁ δὲ τοὺς συνόντας αὖθις λαβὼν ἄπεισι πρὸς τὸν μέγαν, ὡς χθὲς καὶ πρότριτα δῆθεν ὑπὲρ τῶν αὐτῶν ἐντευξόμενος· τοῦ δὲ τοῦ δωματίου προελθόντος, ὡς ἔθος, μικρόν τι πρὸς ὑπαντήν, ὁ σοφὸς βασιλεὺς εὐθὺς ἄρχεται τῆς ἐπαινουμένης

21 συκίνην ἐπικουρίαν] Corpus paroem. II, σ. 210 211. — 26 φροντιστήριον=ἡ μονὴ τῆς Χώρας. Καντακουζηνοῦ τ. II, σ. 213.

Digitized by Google

κλοπῆς· τῆς γὰρ χειρὸς ἐκείνου λαβόμενος "Ἴωμεν" ἔφη "παρὰ τὸν θεῖον νεών, αὐτόθι μέχρι καὶ τοῦ τῆς ἱερᾶς μυσταγωγίας καιροῦ"—ἤδη γὰρ καὶ προσελαύνει — "μικρὸν καθεδούμενοί τε καὶ ὁμιλήσοντες". Οὗ γενομένου, ἐπεὶ καὶ τὰ τῆς ἱερᾶς ἐκείνης τελετῆς ἦν εὐπρεπῆ καὶ τὸ θήραμα τῶν ἀρκύων ἐντός, καὶ οὐδ' ἂν ἐκφυγεῖν ἐκείνοις τὸ παράπαν ἐδόκει, ἄρχεται μὲν τὰ τῆς μυστικῆς θυσίας, συμπαρίσταται δὲ τῷ κρατοῦντι καὶ ὁ μέγας αὐτοῦ που περὶ τὰ πρόθυρα τοῦ νεώ· καὶ μετ' ὀλίγον οἱ πρόκριτοι τῶν ἱερῶν ἐκφανέντες ἀθρόον μυσταγωγῶν τὸν ὅσιον ἀφαρπάζουσι τῆς χειρός, ὥστε καὶ ἄκοντα τῇ θείᾳ τραπέζῃ προσαγαγεῖν καὶ τελειῶσαι τῷ τῆς ἱερωσύνης μεγάλῳ φημὶ χρίσματι. Καὶ καινὸν οὐδέν, οὐδ' ἔξω τῶν τῆς ἐκλησίας θεσμῶν, τὸ καινοτομεῖν ἐν ταῖς τοιαύταις ἀνάγκαις, μόνον εἰ τῶν μεγίστων (καὶ ὧν πολὺς παρὰ τῷ Θεῷ λόγος) ἐντεῦθεν ἐπιτυχεῖν γένοιτο· καὶ τούτου πολλὰ μὲν τοῖς ταῦτα ζητοῦσι καὶ μεγάλα τὰ παραδείγματα, μάλιστα δὲ Δανιὴλ ὁ τῆς ἀρετῆς περιφανέστατος στῦλος, ὃν ὁ τῆς Κωνσταντίνου πρόεδρος, Γεννάδιος ὁ μέγας φημί, ἐπεὶ τὴν ἱερωσύνην ἀναβαλλόμενον ἴδοι, καὶ κάτωθεν ἑστὼς ἐκεῖνος χειροτονεῖ τοῦ στύλου ὑπερκαθήμενον, ἀντὶ χειρὸς ἐπενεγκὼν τὴν φωνὴν καὶ χρίσας τῷ πνεύματι· τὸ γὰρ τοῦ θαυμαστοῦ Φαιδίμου, ὃς τὸν ἀποστολικὸν ἐκεῖνον ἄνδρα, Γρηγόριον τὸν πάνυ φημί, καὶ ἀπόντα μακρῷ τινι τῷ μέσῳ καθάπερ παρόντα χρίει τῷ πνεύματι, ὁμοίως καὶ ἀμφοτέρους εἰπὼν τῷ Θεῷ παρεῖναι κατ' ἐκείνην τὴν ὥραν καὶ κατ' ἴσον ὁρᾶσθαι παρ' ἐκείνου τὸν τελοῦντα καὶ τὸν τελούμενον· τοῦτο δὲ καὶ ὑπὲρ τὸν λόγον καὶ μόνον, οἶμαι, τῶν ἀποστολικῶν ἐκείνων ψυχῶν τὸ μυστήριον, μετὰ Θεοῦ τὰ τοῦ Θεοῦ βουλευομένων τε καὶ πραττόντων ἄντικρυς. Οἱ μὲν οὖν ὑπουργοὶ τῆς ἱερωσύνης, ὅπερ ἔφην, ἤδη λαβόμενοι τοῦ ἀνδρὸς ἐπέσπευδον καὶ ἄκοντα πρὸς τὸ ἄδυτον· ὁ δὲ τῆς τοῦ κρατοῦντος χειρὸς οἱονεί τινος ἐρείσματος ἐκεῖθεν δραξάμενος, «Φίλοι», πρὸς ἐκεῖνον ἔλεγεν, «ἐν ἀνάγκαις ἔστωσαν χρήσιμοι. Νῦν βοηθείας καιρός· νῦν δεῖ σε πάντως ἐπ' ἐμοὶ τὰ τῆς ἀληθινῆς φιλίας ἐνδείξασθαι· οἱ μὲν γὰρ ἕλκουσί με καὶ τὰς τῆς ψυχῆς βάσεις οἱονεί τινος ἀσφαλοῦς ἐρείσ-

Digitized by Google

ματος τῆς ἀπραγμοσύνης τε καὶ τῆς ἡσυχίας ἐκσπᾶσαι φιλονεικοῦσι καὶ τῷ ἀστάτῳ τῆς ἐν τῷ μέσῳ περιφορᾶς καὶ συγχύσεως οἱονεί τινι πελάγει καὶ χάσματι βαθυτάτῳ δεινῶς ἐναπορρῖψαί με σπεύδουσιν· ἀλλὰ σὺ μηδαμῶς τούτοις ἐπευδοκήσῃς· μή, πρὸς τῆς φιλίας αὐτῆς, δέομαι· οὐ γὰρ ἂν εἴη ποτὲ φίλος ὁ πρός γε τὰ τοιαῦτα καθ' ὑπερβολὴν οὕτω συνωθῶν τὸν φιλούμενον. Τὸ μὲν οὖν προστῆναί με τῆς τοῦ Θεοῦ ἐκκλησίας ἱερατικῶς, ὡς ὑμεῖς λέγετε, καλόν· καὶ πῶς γὰρ οὔ; ζῆλος γὰρ ἄντικρυς τοῦ δεσπότου τοῖς δυναμένοις, τοῦ πρώτου ποιμένος καὶ ἀρχιερέως ἡμῶν, ὃς οὐδὲ τῆς ἰδίας ψυχῆς ὑπὲρ ταύτης ἐφείσατο. Ἀλλὰ τὸ μὲν φαινόμενον τούτου δῆλον, ὡς καλὸν καὶ ῥᾷστον δοκεῖ τι καὶ πρόχειρον, τὸ δὲ τῆς πράξεως ἀπόρρητόν τι χρῆμα καὶ δυσχερέστατον—"πᾶσα γάρ", φησίν, "ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν"—, καὶ δέδοικα σφόδρα τὸ τοῦ τέλους ἄδηλον· δέδοικα, μὴ οὐ κατ' ἐλπίδας ἀπαντῆσαν μεταμελείας φανείη μοι πρόξενον, τῆς βαρυτάτης τῶν κολάσεων ἐν τῷ μέλλοντι· καὶ πῶς ὑποίσω τὴν δεινὴν ταύτης πληγήν, αἰωνίως ἐκεῖ μαστίζουσαν; ἄλλως τε καὶ τὴν ψυχὴν ἐπείπερ αὐτὸς ἐμαυτοῦ ὑπὲρ τῆς σωτηρίας τῆς σῆς Θεῷ καθηγίακα, τῶν ἐπὶ γῆς ὁλοσχερῶς ὡς εἰπεῖν πάντων ἀφέμενος, πῶς οὐχὶ καὶ σὲ τὰ αὐτά μοι φρονεῖν ἀνάγκη καὶ τοῦ σκοποῦ μηδόλως ἀφίστασθαι»; Ταῦτα καὶ πάντας μὲν ἐξέπληξε τοὺς παρόντας λεχθέντα καὶ καθ' ὑπερβολὴν ἐκεῖνον ἐθαύμαζον· ὁ δὲ βασιλεὺς ἥττων τῆς τοῦ ἀνδρὸς φιλίας καὶ τῶν λόγων ὅλος γενόμενος, "Ἐκράτησέ μου τῆς καρδίας αὐτῆς", πρὸς τοὺς συνόντας ὁρῶν ἔλεγεν. Ὅθεν καὶ μικρὸν ἰδὼν ἐνδεδωκότας ὁ μέγας, πάντας αὐτίκα σὺν τῷ κρατοῦντι καταλιπών, ἀπιὼν ᾤχετο· ὁ δὲ βασιλεὺς δείσας, μὴ καὶ ζημιωθῇ καθάπαξ τὸν ἄνδρα, φυγῇ δηλαδὴ χρησάμενον, σπουδῇ πρὸς αὐτὸν ἐπιστρέφει, πίστεις ἀσφαλεῖς δοὺς καὶ τὴν εἰς τὸ μέλλον ἐλευθερίαν καθυποσχόμενος. Λαβόντες τοιγαροῦν ἐκεῖνον οἱ τῆς συγκλήτου τῷ βασιλεῖ μετὰ πολλῆς ἄγαν τῆς αἰδοῦς καὶ τῆς εὐλαβείας προσάγουσιν, οὐκ ἐπεμβαίνοντες ἔτι κατὰ τὸν προλαβόντα καὶ δεσμεῖν τὸν ἄληπτον δοκιμάζοντες, ἐκπληττόμενοι δὲ

13 Ψαλμ. μδ', 13.

Digitized by Google

μᾶλλον τοῦ μεγαλείου τῆς γνώμης καὶ τῆς στερρότητος, καὶ κρεῖττον ἢ κατ' ἄνθρωπον ἐκείνῳ προσέχειν πειθόμενοι· "Μόνος γάρ", ἔλεγον, "ὁ θαυμαστὸς Σάβας ἐν τοῖς νῦν οὖσιν ἀνθρώποις τὴν πνευματικὴν σοφίαν καὶ τὴν σύνεσιν ἀπαράμιλλος· μόνος τὸν πρὸς Θεὸν ἔρωτα καὶ τὴν ἔνστασιν ἀνυπέρβλητος, καὶ τῶν πάντων ὅλως οὐδὲν οὐμενοῦν τῆς ἀνδρείας ἐκείνης ψυχῆς περιγενέσθαι δύναται, οὐ μᾶλλον ἢ τῆς φλογός, εἴ τις γυμναῖς ταῖς χερσὶ δράττεσθαι βούλοιτο καὶ πνεῦμα δεσμεῖν καὶ ἡλιακῶν ἀκτίνων ἐν κατοχῇ γενέσθαι"· καὶ ταῦτα λέγοντες δῆλοι προφανῶς ἦσαν ἐκείνου τῆς ἀγάπης ἐξηρτημένοι καὶ μεῖζον ἢ κατὰ πατριάρχην πολλῷ τινι τῷ μέσῳ στέργοντες ὁμοῦ καὶ αἰδούμενοι. Ὁ μέντοι βασιλεὺς τὰς μὲν ἐλπίδας ἐκείνας ἀπέβαλεν, ἡττηθεὶς τοῦ ἀνδρὸς καὶ παραχωρήσας ἑκών, ἄκοντί γε θυμῷ, τῷ πατρὶ τῆς κοινῆς ταύτης νίκης καὶ ἀναρρήσεως· τῷ δὲ πρὸς ἐκεῖνον φίλτρῳ τε καὶ τῇ πίστει μᾶλλον προσέθηκε, καὶ τῆς ψυχῆς καὶ τῆς γνώμης ἀνηρτημένος ἦν ὅλος ἐκείνου καὶ οὐδ' ἀποστῆναι τῆς ὁμιλίας ἐβούλετο. Συχνῶς τοιγαροῦν πρὸς ἐκεῖνον φοιτῶν, ἡδέως τε τὴν ἀγγελικὴν ἐκείνην ἀναστροφὴν καὶ τὴν πολιτείαν ἑώρα καὶ τῶν λόγων τῶν ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ προϊόντων ἥδιον ἤκουε, καὶ "Εὔχου, πάτερ, ἀπὸ ψυχῆς· εὔχου, δέομαι", ἔλεγεν, "ὡς ἂν καὶ ἡμεῖς μικρόν τι, καθ' ὅσον οἷόν τε, τὰ τῆς προλαβούσης ἀνωμαλίας ἐξομαλίσαντες καὶ οἱονεί τινα σὺν Θεῷ δόντες ἀρχὴν καὶ τρίβον εὐθεῖαν τοῖς ἐν χεροῖν πράγμασιν, ἔπειτα πάντα καταλιπόντες, ἀθρόον ὅλοι τῶν πάλαι πρὸς σὲ συντεθειμένων γενώμεθα καὶ τὰς ὁμολογίας ἐπὶ τῶν ἔργων αὐτῶν ἐνδειξώμεθα· σκύβαλα καὶ γάρ μοι λογισθήσεται τὰ τῆς παρούσης ἀρχῆς τε καὶ περιφορᾶς πάντα, εἰ μόνον συνοικεῖν καὶ συμβιωτεύειν σοι γένοιτο καὶ υἱῷ γενέσθαι καὶ φοιτητῇ τοῦ τὸν Χριστὸν ὅλον ἐνδεδυμένου κἀκείνῳ ζῶντος μόνον καθάπαξ καὶ πρὸ τῆς λύσεως.

70. Ἀλλὰ γὰρ τὸ τὰ ἐκείνου πάντα λέγειν πειρᾶσθαι πρὸς τῷ ἀδυνάτῳ, καθάπερ ἔφθην εἰπών, καὶ ἀηδές πως διὰ τὴν ἀμε-

22 τρίβον εὐθεῖαν] Ψαλμ. κς', 11. Παροιμ. β', 19. Σοφ. ι', 10. — 27 *συμβιοτεύειν* B.

Digitized by Google

τρίαν, κόρον ἐμποιοῦσαν ὡς τὰ πολλὰ τοῖς ἀκούουσιν, εἰ καὶ κόρου παντὸς ἔξω τὰ κατ' ἐκεῖνον τοῖς γε νοῦν ἔχουσιν· ὅθεν καὶ αὐτὸς ἤδη τῶν κατὰ μέρος ἀφέμενος οὑτωσί πως κεφαλαιώσω τὸν λόγον. Ἄλλων ἄλλα τῆς ἀρετῆς εἴδη κατωρθωκότων ἢ κατορθούντων, ὅσα δηλαδὴ τὸν κατὰ Θεὸν ἀπαρτίζειν ἄνθρωπον πέφυκε, καὶ τῶν μὲν τούτοις, τῶν δ' ἐκείνοις μᾶλλον προστιθεμένων, ὅπως ἄν, οἶμαι, γνώμης ἕκαστος ἔχοι καὶ ἤθους, ἀγωγῆς τε καὶ ὁμιλίας καὶ προσέτι καὶ τρόπου καὶ φύσεως—οὐδὲ γὰρ ταῦτα παντάπασιν ἀπορρίψομεν—, τοῖς δὲ πᾶσιν οὐδέπω τῶν πάντων οὐδενὸς εἰς ἄκρον ἐπεξιόντος, πλὴν τῶν πάλαι τινῶν ὀλίγων, οἳ καὶ τῆς διὰ πάντων εὐαρμοστίας καὶ ἀκρότητος καθ' ὑπερβολὴν ἐθαυμάσθησαν, οἱονεί τινες εἰκόνες καταλειφθέντες ὑπερφυεῖς τοῖς τὰ τοιαῦτα φιλοσοφεῖν ἑλομένοις, πολλῷ τινι τῷ μέσῳ τοὺς νῦν ὑπερσχὼν πάντας ὁ νῦν εὐφημούμενος, ὡς μηδὲ παραβάλλειν ἐξεῖναι, καθάπερ τις ὑπόπτερος καὶ τοῖς πάλαι σπουδαίοις ἁμιλληθείς, ἔπειτα καὶ τὸν χορὸν τουτονὶ τῶν συναγωνιστῶν ὑπερφυῶς διακόψας ὅδε μετὰ πολλοῦ τοῦ περιόντος τοῖς ὀλίγοις ἐκείνοις συνέστη, πρὸς αὐτὴν τὴν ἀγγελικὴν φύσιν καὶ μόνην τὴν ἅμιλλαν ἔχουσιν, οὐ μᾶλλον "βραχύ τι παρ' Ἀγγέλους", ὅ φησιν ὁ θεῖος Δαυίδ, ἐλαττούμενος σὺν ἐκείνοις διὰ τὸ τῆς σαρκὸς πάχος, ὅσῳ δι' αὐτὸ τοῦτο καὶ πλέον τι δοξαζόμενος· οἷς ἔσχε μετὰ τῆς ὕλης ὑπερφυῶς τῆς φυσικῆς ἀυλίας ἐκείνης κοινωνῆσαι καὶ καθαρότητος καὶ μηδὲ τὸ παράπαν ἀπολειφθῆναι. Σκοπῶμεν δὲ οὕτω. Τοῦ πρακτικοῦ τῆς ἀρετῆς διχῇ τοῖς ταῦτα φιλοσοφοῦσι διῃρημένου καὶ τοῦ μὲν εἰς τὰς σωματικὰς ἀρετὰς ὥσπερ εἴς τινα στοιχειώδη καὶ εἰσαγωγικὴν ἀπονεμηθέντος μοῖραν (αἳ δὴ καὶ ἀρετῶν ὄργανα μᾶλλον, οὐκ ἀρεταὶ κυρίως, ἐκείνοις εἴρηνται), θατέρου δ' αὖθις εἰς τὰς ψυχικάς (αἳ καὶ κυρίως ἀρεταὶ καὶ πράξεις, ἅτε σὺν ἀλλήλαις καλῶς ἁρμόζουσαι τὴν ψυχὴν καὶ πρὸς καινὸν ἀποτέλεσμα φέρουσαι), ταπεινοφροσύνην τέ φημι τὴν βελτίστην καὶ τὸ μέγα τῆς ἀγάπης μυστήριον (ὃ δὴ καὶ ἀπάθειαν φίλον καλεῖν τοῖς τούτων τεχνίταις),

19 Ψαλμ. η', 6 «ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους· δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν».

Digitized by Google

καὶ τοῦ θεωρητικοῦ δ' ὡσαύτως εἴς τε τὴν θεωρίαν τῶν ὄντων, ἣν καί τινες ἀσκῆσαι τῶν ἔξωθεν φιλοσόφων ἐνόμισαν, ἀλλ' οὐ κατὰ τούτους δὴ τοὺς ἐμοὺς καὶ τὴν θείαν αὖθις, ἣ δὴ καὶ ἄμεσος θεωρία, μᾶλλον δὲ θεωρίας ἁπάσης ἀνάπαυσις, ἕνωσίς τε καὶ ἀκρότατον ἐφετὸν τοῖς αὐτοῖς προσηγόρευται· τούτων τοίνυν οὕτως ἐχόντων, φέρε, τὰ κατὰ τὸν μέγαν τουτονὶ παραθέντες, ὅσον ὑμῖν ἐφικτὸν θεωρήσωμεν, ἵνα μὴ πρὸς τοὺς ἀρετὴν ἐσπουδακότας οὑστινασοῦν, ἀλλὰ πρὸς αὐτὴν ἄντικρυς εἴη τὴν ἀρετὴν ἡ παράθεσις. Ἀλλὰ τὰ μὲν τῆς σωματικῆς ἀρετῆς τοῦ γίγαντος τούτου καὶ τῆς ἀσκήσεως τοσούτῳ καὶ τὴν ἐντολὴν ὑπερβαίνει καὶ τὴν φύσιν κατὰ πολὺ τοῦ πράγματος, ὅσῳ καὶ φθάσας ὁ λόγος ἐδήλωσεν, ὡς καὶ δεδοικέναι με μᾶλλον, μὴ τὴν ὑπερβολὴν ὁ ταῦτα φιλοκρινῶν μέμψαιτο, ἢ καὶ λογισμοῖς τισιν ἀπιστίας περιενεχθείη διὰ τὸ μέγεθος, γύμνωσιν ἐννοῶν ἐκείνην καὶ τὸ ἄτροφον οἱονεὶ καὶ ἀσώματον, τὴν ἄκραν τε σιωπὴν ἐπὶ τοσαύταις ἐνιαυτῶν περιόδοις καὶ τὴν ἐπὶ τούτοις ἅπασι καρτερίαν, μαρτυρικῶν ἀγώνων τὸ παράπαν οὐδὲν ἀποδέουσαν, ἐκεῖνό γε πλέον ἔχουσαν πάντως, τὴν τοῦ χρόνου παράτασιν ἐπὶ πολὺ μὴ καμφθεῖσαν, ὡς καὶ συναμιλλᾶσθαί πως δοκεῖν τῇ τῶν κινδύνων ἀκμῇ, τοῦτο δὴ τὸ καινὸν καὶ δυσεύρετον· τὰ δὲ τῆς θεωρίας τί χρὴ καὶ λέγειν, ὅπου γε πᾶν ὕψωμα γνώσεως ὑπερβὰς καὶ τῆς τῶν ὄντων ὑπερκύψας θεωρίας, κατὰ τὸν μέγαν Μωσῆν ἐκεῖνον, πολλῷ μείζονος ἠξιώθη τῆς αἴγλης, οὐ τὰς νομικὰς σκιὰς καὶ τοὺς τύπους, ἀλλ' αὐτὴν ὑπερφυῶς ἀξιωθεὶς ἰδεῖν μετὰ Πέτρου τε καὶ Παύλου καὶ τῶν υἱῶν τῆς βροντῆς τὴν τῶν πραγμάτων ἀλήθειαν; τὸ δὲ φρικωδέστατον, ὅτι καὶ τεσσαράκοντα τὰς ὅλας ἡμέρας ἐκστὰς Ἀγγέλους ἔσχε, καθάπερ ἠκούσαμεν, ἤδη διδάσκοντας τὸ μυστήριον. Ἡ μέντοι μέση καὶ ψυχικὴ τῶν ἀρετῶν τάξις, ἣ δὴ καὶ κυρίως ἀρετή τε καὶ πρᾶξις, καθάπερ εἴπομεν, εἴρηται, μάλιστα μὲν ἤδη· καὶ ὅπως ὁ μέγας καὶ τὰ κατὰ ταύτην ἐπολιτεύσατο, λέλεκταί πως ἡμῖν ἐν τοῖς φθάσασιν· οὐδὲ γάρ ἐστιν, ὅλως οὐκ ἔστι τῶν μυ-

13 *φυλοκρινῶν* B. — 23 σκιὰς καὶ τύπους] Κολασ. β', 17. Ἑβρ. η', 5. ι, 1. — 25 υἱῶν τῆς βροντῆς] Μάρκου γ', 17. — 26 *ὅλας* B, *πάσας* M. — 28 *μέντι* B.

Digitized by Google

στηρίων ἐκείνων ἀξιωθῆναι καὶ τῆς ὑπερφυοῦς χάριτος, μὴ τούτοις προκαθαρθέντα, μηδὲ τὸν ναὸν τοῦ πνεύματος, καθάπερ ἐκείνῳ δηλαδὴ φίλον, φιλοκαλήσαντα· οὐδὲ γὰρ ἡμῖν τις ἀγγείῳ σαπρῷ καὶ ὀδωδότι μύρον πιστεύσειεν ἄν ποτε.

71. Πλὴν ἀλλὰ κἀκεῖνα προστιθέσθω, τῶν πολλῶν ὀλίγα καὶ ἀντὶ πολλῶν, ὡς ἐγώ φημι· τίς γὰρ οὐκ οἶδε τὸ τῆς μετριότητος ἄκρον ἐκείνου, τὸ καθ' ὑπερβολὴν εἰρηνικὸν καὶ πρᾶον καὶ πρὸς πάντας κοινωνικόν τε καὶ χάριεν; οὗ καὶ ἡ ἔντευξις ἡδεῖα καὶ ὁ λόγος οἷος ἡμερῶσαι πολεμουμένην ὁτῳδήποτε τρόπῳ ψυχὴν καὶ καταστῆσαι πρὸς ἃ δεῖ μετὰ παντὸς τοῦ βελτίονος· τίς οὕτω τῶν πλησίον ἑαυτοῦ πολλῷ τινι τῷ μέσῳ προέθηκεν, ὡς ἐπὶ μὲν τῶν δοκούντων τάξει τινὶ προέχειν ἢ παντελῆ σιγὴν ἀσκεῖν, ἢ νηπιότητά τινα καὶ ἀφέλειαν ὑποκρίνασθαι, ῥήμασί τε καὶ σχήμασι καὶ παντὶ τῷ φαινομένῳ ψελλίζειν ὡσανεὶ δοκῶν ὁ σοφώτατος, τοῖς δὲ τῶν πολλῶν καὶ κατωτέρῳ πολιτείᾳ τέ φημι καὶ χρόνῳ καὶ τάγματι τοῖς μὲν ὡς ἀδελφός, τοῖς δ' ὡς υἱὸς ὁ κοινὸς τῶν ἀμφοτέρων πατὴρ θαυμασίως προσφέρεσθαι, πατέρας ἑαυτοῦ καὶ δεσπότας ἀποκαλῶν καὶ πάντων προκαλινδούμενος τοῖς ποσὶ μετὰ πολλῆς τῆς ἐπιφαινομένης ἡδονῆς τῷ προσώπῳ καὶ τοῦ σεβάσματος; ἃ δὴ καὶ τοῖς πολλοῖς ἄλογον ὑποψίαν παρέσχε φυσικῆς μαλακότητος δῆθεν καὶ ἀμαθίας τοῦ τὰ πάντα στερροῦ τε καὶ σοφωτάτου, μαλακῶς τῳόντι καὶ ἀμαθῶς τῷ κατ' ἐκεῖνον ἐπιβάλλουσι πράγματι. Καὶ πολλοὺς ἂν ἴδοις μέχρι τοῦ νῦν τὰ αὐτὰ περὶ ἐκείνου ψηφιζομένους, ἀνέμους καὶ καπνὸν ἀντὶ τοῦ φωτὸς τῆς ἀληθείας πειρωμένους κατέχειν· τοσοῦτο καὶ γὰρ ἀγνοεῖν ἀπεῖχεν ἐκεῖνος τοὺς ταῦτα νομίσαντας, μᾶλλον δὲ τοσοῦτον ἀκριβῶς ἐκείνους ἐγίνωσκεν, ὡς καὶ τῶν ἀφανῶν τῆς καρδίας διορατικῶς ἅπτεσθαι, καὶ λογισμοὺς ἐκείνων ἐπιτηρεῖν, καὶ ὁποίῳ τινὶ πάθει τῆς ψυχῆς κατεχόμενος ἦν ἕκαστος, καὶ κατὰ ταῦτα δὴ καὶ ταῖς ὁμιλίαις κεχρῆσθαι, τοῖς μὲν αὐτὸ τοῦτο νήπιός τις καὶ ἀφελής, τοῖς δὲ καὶ σιωπῶν παντελῶς καὶ τὸ μηδὲν ὡς εἰπεῖν καθάπαξ φαινόμενος. Ἀλλ' ᾔδει καλῶς ἐκεῖνος καὶ τίσιν ἐνδείξασθαι τὴν ὑποι-

2 ναὸν τοῦ πνεύματος] πρβλ. Κορινθ. 1, ϛ', 19. — 21 στερροτάτου καὶ B.

Digitized by Google

κουροῦσαν τοῦ πνεύματος ἔδει σοφίαν καὶ τὸν κεκρυμμένον παρ' ἑαυτῷ θησαυρὸν τῆς χάριτος, καὶ τούτοις αὐτοῖς οὐκ ἐξίσου πάντως, ἀλλὰ κατὰ τὸ ἑκάστου μέτρον, καθὸ δηλαδὴ Θεὸς αὐτῷ διὰ τῆς ἐν ἐκείνῳ σοφίας ἐμέρισεν· οἷς δὴ καὶ μιμήσασθαί τινα τούτων ἐπῆλθε καὶ τοῖς ἁπλῶς τε καὶ παρέργως ὑπ' ἐκείνου λεγομένοις ἢ πραττομένοις πολλάκις ἐγκαλλωπίσασθαι, ὡς καὶ τούτων ἀρκούντων μόνων εἰς εὐδοξίαν καὶ οἷον ἀμυδρὰν εἰκόνα καλοῦ καὶ τῆς μεγάλης ἐκείνης ψυχῆς, μᾶλλον δὲ τῆς ἐνούσης ἐκείνῃ μεγαλοφυΐας ἔσχατον, ὅ φασιν, ἀπήχημα. Τοῖς δ' ἄλλοις οὕτω σχεδὸν ἀπόρρητα τὰ κατ' ἐκεῖνον ἦν καὶ τῷόντι μυστήρια, ὡς μηδὲ δοκεῖν εἶναί τι τὸ παράπαν ἐν ἐκείνῳ τῶν ἀποκρύφων, μηδέ τινα πολιτείαν τῶν ὑψηλοτέρων μετέρχεσθαι τὸν σοφώτατον, μηδὲ γὰρ ἐμφαίνειν τοῦτο μὴ στολῇ, μὴ καθέδρᾳ, μὴ σχήματι σκίμποδος, μή τινι τῶν πάντων ὁπωστιοῦν· ὅπου γε καὶ τοῖς ἔξω καὶ προχείροις ὑπὲρ πάντας τοὺς ἀγωνιστὰς ὑπερφυέστατα χρώμενος βραχύ τι παραλλάττειν τῶν ἄλλων ἐδόκει τοῖς πλείοσιν, ἔστι δ' οὗ καὶ τῶν πολλῶν εἷς παρ' οἱστισινοῦν ἐνομίζετο τῷ κοινωνικῷ τε καὶ φιλαλλήλῳ καὶ καθ' ὑπερβολὴν ταπεινόφρονι· καὶ τὸ μεῖζον τῆς ἐν τούτοις φιλοσοφίας καὶ ἀκριβῶς ὑπεράνθρωπον, ὅτι τὰ μέγιστα καὶ ὑπερφυέστατα κατορθῶν ἐν πάσῃ πολιτείᾳ καὶ παντὶ πράγματι, πλὴν ὀλίγων, τοὺς πάντας ἐλάνθανε διὰ τὸ φύσιν αὐτῷ καθαπερεὶ χρηματίσαι ταῦτα καὶ ῥᾷστα καὶ ὁμαλῶς αἰειδήποτε χρῆσθαι κατὰ ταῦτα, κἀντεῦθεν μηδαμῶς καινοτομῶν μηδὲ ξενίζων νομίζεσθαι· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ τοῦτ' αὐτὸ τὸ λανθάνειν τι τῶν ὑψηλῶν ἐργαζόμενος ἀπεριέργως εἰσάπαν ἐλάνθανεν, ὡς μὴ μόνον τὸν θησαυρὸν ἐν ἀσφαλεῖ κρύπτειν εὐχερῶς δύνασθαι, ἀλλὰ μηδ' αὐτὸ τοῦτο διδόναι τισὶν αἴσθησιν, ὅτι καὶ ὁπωσοῦν ἔστι τι τῶν τιμίων παρ' ἐκείνῳ κρυπτόμενον. Οὕτως εἰς ἄκρον ἐληλάκει ταπεινοφροσύνης τῆς ὑψηλῆς, καὶ οὕτως αὐτῷ τὰ τῆς μοναδικῆς καὶ φιλοσόφου ταύτης πολιτείας ὑπερφυῶς ἤσκητο.

71. Ἀγάπης δὲ περὶ τῆς βασιλίδος τῶν ἀρετῶν τί ἄν τις εἰπὼν

3/4 Κορινθ. 2, ι', 13 «ὑμεῖς δὲ οὐχὶ εἰς τὰ ἄμετρα καυχησόμεθα, ἀλλὰ κατὰ το μέτρον τοῦ κανόνος οὗ ἐμέρισεν ἡμῖν ὁ Θεὸς μέτρου, ἐφικέσθαι ἄχρι καὶ ὑμῶν».

Digitized by Google

ἀποχρώντως εἴποι τοῖς πράγμασι· πρὸς μὲν γὰρ τὸν Θεὸν οὕτως ἐρωτικῶς ἔσχεν ὑπὲρ τοὺς πώποτε, ὡς καὶ μαρτυρικῶν ἄθλων κατ' οὐδὲν ἐλαττοῦσθαι τὴν ἐν σαρκὶ ζωὴν ἐκείνου, καθὰ δὴ καὶ φθάσαντες εἴπομεν· ὥστε καὶ αὐτὸν ἐναργῶς μετὰ Παύλου δύνασθαι λέγειν "καθ' ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν"· ὁ δ' οὐδὲ τούτοις ἠρκεῖτο, ἀλλὰ καὶ τὸ δι' αἵματος ἐξελθεῖν ἂν τὸν βίον ἐκτόπως πως ἂν εἴποι τις ἐδίψα καὶ ηὔχετο. Τῆς δὲ πρὸς τὸν πλησίον παρίτωσαν οἱ καὶ ταύτης ἀπολελαυκότες καὶ τὰ κατ' αὐτὸν διηγείσθωσαν ἡλίκος μὲν ἦν τοῖς ἀσθενέσιν, ἡλίκος δὲ τοῖς ἄλλως γεγηρακόσι καὶ πεπηρωμένοις τὰ σώματα, ὡς μηδὲ τῆς φιλανθρωποτάτης ἰατρικῆς ἀποσχέσθαι, ἀλλὰ καὶ ταύτης δι' ἀγάπης ὑπερβολὴν οὐκ ἐλάχιστον ἐκπονῆσαι μέρος· ᾧ δὴ καὶ μάλιστα προφάσει χρώμενος ὁ σοφώτατος ἡμέρας ὅλας καὶ νύκτας ἑαυτὸν τοῖς νοσοῦσιν ἐδίδου, λόγοις ἅμα καὶ ἔργοις καὶ τῷ πεφυκότι παντὶ συνδιαφέρων τὸ πάθος καὶ τοῦ λυποῦντος εὐφυῶς ὑποκλέπτων τὴν αἴσθησιν. Ὅθεν καί ποτε τῶν νοσούντων τις, ἐπεὶ δυσχερῶς πάντῃ καὶ ἀνωμάλως πρός τε τροφὴν καὶ πόσιν καὶ πᾶν ὁτιοῦν διακείμενος ἓν ἀντὶ πάντων ᾔτησε φάρμακον, τὴν τοῦ μεγάλου προσεδρείαν, ἐκεῖνος αὐτίκα τὸ "μηδεὶς τὸ ἑαυτοῦ ζητείτω" μετὰ Παύλου δηλαδὴ τοῦ μεγάλου εἰπών, "ἀλλὰ καὶ τὸ τοῦ ἑτέρου ἕκαστος", πάντων ἀφέμενος, ὅλῳ θυμῷ τοῦ πάσχοντος ὅλος ἐκείνου γίνεται, μηδαμῶς τὸ παράπαν ἀποστὰς ἐξ ἐκείνου, μὴ νύκτα, μὴ ἡμέραν, μηδ' αὐτὸ τὸ βραχύτατον ἐφ' ὅλοις οἶμαί που μησὶ τέσσαρσι θαυμαστῶς ἐξυπηρετούμενος καὶ συμπάσχων, ἄχρις οὗ φημι τὴν ζωὴν ὁ νοσῶν ἐξεμέτρησεν· ἢ γὰρ ἂν οὐδ' ἀπέστη πάντως, εἰ περιῆν, ἄχρις ἂν ἐκεῖνος ἐβούλετο. "Καὶ τί καινόν", ἔλεγε πρὸς ἐμέ, "φίλος; τίς δ' ἐργασία ταύτης ἀμείνων; ἢ ποῖον τῆς εἰς τὸν Θεὸν ἀγάπης τούτου σύμβολον ἐναργέστερον; διὸ καὶ τὸν θαυμαστὸν ἐκεῖνον ἐγώ", φησί, "καθ' ὑπερβολὴν θαυμάζω πρεσβύτην, ὃς ἀγαπᾶν ἔλεγεν, εἴπερ ἠδύνατο, καὶ αὐτὸ

5 Κορινθ. 1, ιε', 31. — 7 Τῆς] ἐξαρτᾶται ἐκ τοῦ *ἀγάπης*. — 20 Κορινθ. 1, ι', 24. — 30 πρεσβύτην] ἐν τῇ ᾤᾳ τοῦ Μ διὰ γραμμάτων ἐρυθρῶν ἀναγινώσκεται τόδε τὸ «Σχ(όλι)ον. Τὸν ἀββᾶν Ἀγάθωνα λέγει, τὸν ἐν τῷ Γεροντικῷ».

Digitized by Google

τὸ οἰκεῖον σῶμα καθάπερ ἱμάτιον ἀποβαλὼν ἀποδόσθαι τινὶ τῶν ὑπὸ τῆς ἱερᾶς βεβρωμένων νόσου καὶ τὸ ἐκείνου λαβὼν αὖθις αὐτὸς μετενδύσασθαι· καὶ ταῦτά γε καὶ αὐτός", φησί, "βουλοίμην ἂν σὺν ἐκείνῳ καὶ εὐχόμην, εἴπερ οἷόν τε καὶ τὸ πεφυκὸς ἐδίδου καὶ εἰς ἔργον ἀγαγεῖν τοῦτο δὴ τὸ ποθούμενον". Ὅθεν οὕτω τῆς μεγάλης ἐκείνης ψυχῆς ὀργὴ πᾶσα καὶ μῆνις καὶ θυμὸς ἀπελήλατο, ὡς μηδέποτε τὸ παράπαν ὀφθῆναι καὶ ὁπηοῦν ὀργιζόμενος, εἴγε καὶ ὑπὲρ αὐτῆς ἔτυχεν ὢν ὁ λόγος τῆς πίστεως· "τί γάρ μοι διαφέρει", φησίν, "εἰ πετάλοις χρυσοῖς, ἢ καὶ τοῖς ἐκ πηλοῦ τισι προκαλύμμασιν ἐπισκοτεῖ μοί τις τὴν ὁρατικὴν δύναμιν; ὁμοίως γὰρ ἔγωγε τυφλὸς ἔσομαι, κἂν ὁποιασοῦν τύχῃ τῆς ὕλης ὂν τὸ προκάλυμμα. Διὰ πάντων οὖν", φησίν, "ἀπεῖναι δεῖ τῆς ψυχῆς τὴν πικρίαν καὶ τὴν ὀργήν, τὰ δὲ καλὰ καὶ ἄλλως ἐπεκδικεῖν ἔξεστιν". Οὕτω τοιγαροῦν ὁ μέγας τοῦ πάθους ἀπήλλακτο, ὡς μηδὲ τῆς προσβολῆς αὐτῆς τὸ παράπαν αἰσθάνεσθαι καὶ ἀγνοεῖν μέντοι σχεδὸν καὶ αὐτὸ τὸ πεφυκὸς ἤδη καθάπαξ τοῦ πράγματος· ὃ δὴ καὶ μᾶλλον τῆς ὑψηλοτάτης ἀγάπης πεφυκέναι σύμβολον οἱ τεχνῖται τούτων ἄριστα πεφιλοσοφήκασι. Τοὺς δέ γε ψυχικῶς ἀρρωστοῦντας τίς ἐκείνου μᾶλλον ἢ σοφώτερον ἐπεσκέψατο, ἢ διαγνοὺς οὕτω φιλοπόνως ἄγαν καὶ τεχνικῶς τὰ φάρμακα συνεκέρασεν, εἶτα καὶ τὴν θεραπείαν ἔργοις τε καὶ λόγοις ἐπήνεγκεν ἄριστα; μᾶλλον δὲ τῶν παρ' ἄλλοις ἔργων ὁ λόγος ἐκείνου πολλῷ τινι τῷ μέσῳ καθάπαξ ἀνυσιμώτερος, ὡς τὰ μὲν τῶν Σειρήνων λῆρον εἶναι πρὸς ταῦτα παραβαλλόμενα, χρησμοὺς δὲ θείους καὶ οἷον ἐπῳδάς τινας ἱερὰς ταῦτα δοκεῖν μάλιστα, μηδοπωσοῦν ἐν τῷ τῆς χρείας ἱσταμένῳ παντὶ τοῦ σκοποῦ διαπίπτοντα.

71. Ἐπεὶ δὲ λόγων ἐμνήσθην καὶ τῆς ἐπὶ τούτοις τοῦ διδασκάλου περιφανοῦς χάριτος, ἐκεῖνο τοῖς εἰρημένοις ἀναγκαίως προσθήσω. Τοσαύτη τις ἐπήνθει ταῖς ὁμιλίαις ἐκείνου χάρις καὶ δύναμις θαυμαστὴ καὶ ἀπόρρητος, οἵαν ἐπ' οὐδενὶ τῶν ἐπ' ἀρετῇ θαυμαζομένων ἰδεῖν ἡμῖν ἐξεγένετο, καίτοι γε πολλῶν τινων καὶ μεγάλων ἀκροαταῖς γενομένοις ὡς μάλιστα· ἀλλὰ τὸ κατ' ἐκεῖνον ἱερόν τι χρῆμα καὶ θεσπέσιον ἄντικρυς ἦν, μηδενί τινι τῶν πάν-

Digitized by Google

των παραβαλλόμενον, ὡς δοκεῖν αὐτῆς ἅπτεσθαι τῆς ψυχῆς καὶ τῶν ὤτων ὅλην ὑπερφυῶς ἐξαρτᾶν, καθάπερ τινὸς νέκταρος ἡσυχῇ τοῦ ῥεύματος εἰσδυομένου διὰ τῶν ἔξω πρὸς ἐκεῖνα δὴ τὰ βαθύτατα, ὥστε καὶ πάσχειν μᾶλλον ἀλλ' οὐκ ἀκούειν ἐκεῖνα δοκεῖν τὸν τοῦ λόγου μετέχοντα· καὶ τὸ μεῖζόν τε καὶ καινότερον, ὅτι τὰ συνήθη καὶ διωμιλημένα τοῖς λόγοις κατὰ καιρὸν αὐτὸς παρεμβάλλων, τούτοις αὐτοῖς τὸν ἀκροατὴν ἐνθουσιᾶν ἐποίει καὶ θαυμαστήν τινα πάσχειν ἀλλοίωσιν, ὡς ἄρτι πρώτως καινῶν τινων καὶ ἀπορρήτων ἀκούοντα κἀντεῦθεν γνωρίζεσθαι μᾶλλον τὴν πηγήν, ἧς ἐκεῖνο τὸ διειδὲς καὶ πότιμον ἐξέβλυζε ῥεῖθρον, τοῦ ἀγαθοῦ φημι πνεύματος τὴν ἐνέργειαν.

72. Ἐπεὶ δὲ τὸν δρόμον τελέσας καὶ τὸν ἀγῶνα τὸν καλὸν εἴπερ τις ἀγωνισάμενος εἰς οὐρανοὺς ἔβλεπεν ἤδη καὶ τὸν ἀποκείμενον στέφανον, θαυματουργεῖ κἀνταῦθα τῶν προρρηθέντων οὐκ ἔλαττον· δέκα γὰρ πρότερον ἡμέραις τῆς πρὸς Θεὸν ἐκδημίας, τῷ μαθητῇ συνεργῷ χρώμενος, "Δεῦρο", φησίν, "ὦ φίλος, παρὰ τούσδε τοὺς ἱεροὺς οἴκους ἀπίωμεν προσευξόμενοι· πόρρωθεν γὰρ ἔχω τὴν εὐχὴν ταύτην ἐπαγγειλάμενος. Ἵν' οὖν μὴ καὶ τὸ τῆς ζωῆς ἐπελθὸν τέλος τὸν σκοπὸν διακόψῃ, σπουδῇ τὴν ὀφειλὴν ἀποτίσωμεν". Τοῦ δ' εὐθὺς ἑπομένου, κατὰ τὸ πρόσταγμα, περιήει δυσὶν ὅλαις ἡμέραις ὁ μέγας προσευχόμενός τε καὶ προσφέρων ἐπὶ πᾶσι Θεῷ τὸν εὐχαριστήριον ἅμα καὶ ἐξιτήριον, προθυόμενός τε καὶ τελεσιουργῶν σὺν ἡδονῇ μεγίστῃ καὶ καρδίας σκιρτήμασι τὸν κοινὸν ὑπὲρ ἡμῶν καὶ τῆς κοινῆς πάντων ἀσφαλείας καὶ σωτηρίας ἱκέσιον. Εἶτ' ἐκεῖθεν ὑποστρέψας δύο μὲν ἑξῆς ἡσυχάζει καθ' ἑαυτὸν ἡμέρας, τῇ δ' ὑστεραίᾳ τὸν συνοικοῦντα καλέσας αὖθις καὶ παρακαθισάμενος τὴν ἐκδημίαν προλέγει σαφέστατα καὶ φέρειν ἀξιοῖ μακροθύμως καὶ μὴ λύπης ἀμετρίᾳ δοῦναι τὸν λογισμόν, εἰ καὶ φορτικὸν ἄλλως τῷ φίλῳ τὸ ἐπιὸν καὶ δυσβάστακτον· εἶναι γὰρ καὶ μετὰ τελευτὴν αὐτὸς τοῖς φιλοῦσι καὶ καλῶς μεμνημένοις καὶ φίλος καὶ πρεσβευτὴς τὰ πρὸς τὸν Θεὸν ἑτοιμότατος· τὰ

12/14 δρόμον - στέφανον] Τιμοθ. 2, δ', 7.

Digitized by Google

δὲ ἑξῆς ἑτέροις μᾶλλον, ἀλλ' οὐκ ἐμοὶ προσῆκεν· οὐδὲ γὰρ φέρω τῆς κοινῆς μεμνημένος ζημίας καὶ τῆς συμφορᾶς, ἣν ἡμεῖς οἱ μᾶλλον εἰδότες καὶ φιλοῦντες ἐκεῖνον ὑπέστημεν. Ἔκειτο μὲν ὁ μέγας τὰ τελευταῖα πνέων καὶ ὑπὸ τῶν συνήθων Ἀγγέλων μεθ' ἡδονῆς τινος ἀπορρήτου πρὸς τὴν μακαρίαν ζωὴν ἐπειγόμενος, παρίστατο δ' αὖθις ὁ φίλος καὶ μαθητής, πάντων δ' ἐκχωρησάντων, ῥήματά τινα ζητῶν ἐξιτήρια· ὃ δὲ τὰ χείλη βραχύ τι διάρας καὶ περὶ ταπεινοφροσύνης μικρὸν ὑποψιθυρίσας καὶ τῆς ἑαυτοῦ τελειότητος ἐνὶ λόγῳ παρασχὼν ἐναργὲς σύμβολον, ταῖς χερσὶ τοῦ φιλουμένου δεσπότου διὰ τῶν συνόντων φωτεινῶν Ἀγγέλων τὴν τιμίαν καὶ ἄσπιλον παρακαταθήκην, τὴν ἑαυτοῦ δηλαδὴ ψυχήν, ὅπερ ἐκείνῳ διὰ βίου παντὸς λέγειν σύνηθες, ἡδέως ἄγαν καὶ ἱλαρῶς ἀποδίδωσιν, οὔπω τῆς πρεσβυτικῆς ἐπιβὰς ἡλικίας, ὡς αὐτὸς ἐκεῖνος πρὸς ἡμᾶς ἔλεγε. Καὶ νῦν σὺ μὲν ἐν οὐρανοῖς συγχορεύεις ἐκείνοις, τῷ φωτὶ τῆς μακαρίας θεότητος ἀμέσως καταστραπτόμενος, ἧς τὰς αὐγὰς οὐκ ἀμυδρῶς τὸ πρότερον δέδεξο· νεκρὸς δὲ τῷ πλείστῳ μέρει καὶ τὸ παράπαν ἀπειρηκὼς ὁ Φιλόθεος, τῆς μεγάλης προστασίας καὶ τῶν ἐλπίδων ἀφαιρεθεὶς καὶ ζωὴν ἀνύων σοῦ χάριν ἀηδῆ καὶ κατώδυνον, οὐκ οἶδ' ὅπῃ τελευτήσουσαν μετὰ τὴν σὴν ἐκδημίαν καὶ πρὸς Θεὸν φιλτάτην ἀνάλυσιν· ὃς καὶ διὰ νυκτερινῶν εἰσέτι καταρτίζεις ἡμᾶς ὄψεων, πατρικῶς τε καὶ φιλανθρώπως ἑκάστοτε χειραγωγῶν πρὸς τὰ βέλτιστα.

73. Φέρε δὴ καὶ τὰ μετὰ τὴν ἐκείνου πρὸς Θεὸν ἐκδημίαν ἐπισκεψάμενοι κἀκεῖνο τοῖς ῥηθεῖσιν ἀναγκαίως συνάψωμεν, οὐ συνᾷδον ἐκείνοις μόνον καὶ ἰσοστάσιον, ἀλλὰ καὶ πιστούμενον — πῶς ἂν εἴποις; — θαυμασίως ἐκεῖνα καὶ τὴν τινῶν ἐπὶ τούτοις ἀμφιβολίαν μετὰ πολλοῦ τοῦ περιόντος πόρρω ποιούμενον· διόπερ ἄρα καὶ τῷ μεγάλῳ θαυμαστῶς εἴργασται, ὡς αὐτίκα δὴ καὶ ῥηθήσεται. Πολὺς μέν τις καὶ ἄρρητος εἶχέ μου τὴν ψυχὴν ἔρως περὶ τὴν συγγραφὴν ταύτης τῆς ἱστορίας, καὶ οὐδ' ἠρεμεῖν εἶχον τὸν λογισμὸν οὐδ' ἐπὶ μικρόν, κάτοχος ἤδη γεγενημένος τῷ καλῷ

1 τὸ *προσῆκεν* ἐν τῷ Μ κεῖται μετὰ τὸ *μᾶλλον*. — 8 *ὑποψιθηρίσας* Β. — 16 *ἀμιδρῶς* Β.

τούτῳ πάθει· προσῆν γέ τι καὶ δέους οὐ μικρόν, ὃ δὴ καὶ ἀρχόμενος εἶπον τοῦ λόγου, τό τε μέγεθος ἐννοοῦντι τοῦ πράγματος καὶ τὴν ἐμαυτοῦ περὶ λόγους ἰσχὺν τούτῳ παρεξετάζοντι, καὶ μάλιστα τοῖς ἐν μέσῳ θορύβοις καὶ ταῖς μακραῖς ταύταις καὶ ἀνενδότοις ἀσχολίαις ὅσαι ὧραι κατὰ ταὐτὰ προσκειμένῳ. Ἐπεὶ δ' ὁ περὶ τὸν μέγαν περιφανὴς πόθος ἔσχε τὸ κράτος καὶ οὐκ ἦν ἀντιλέγειν, τἆλλα παρ' οὐδὲν θέμενος, ἐπιβάλλω τῷ πράγματι, τὰς ἐκείνου πρεσβείας τῆς ὑποθέσεως προστησάμενος καὶ τὴν ἐκεῖθεν καθ' ἑκάστην θερμῶς ἐπικεκλημένος ἐπικουρίαν, ὥστε καὶ πρὸς τέλος τὴν ἱστορίαν ἐλθεῖν, μή τινι τῶν μεταξὺ θορυβούντων διακοπεῖσαν, καὶ εἰ κατὰ γνώμην τῆς μεγάλης ἐκείνης ψυχῆς προβαίνοι, καὶ μὴ τοῦ σκοποῦ διαπίπτομεν ἀμωσγέπως καθυποδεῖξαι. Καὶ ταῦτ' ἦν, ὡς εἰπεῖν, αἰειδήποτε τὰ προοίμια καὶ ὡσπερεί τις ἀφετηρία τῶν γραφομένων· ἐπεὶ δὲ τὰ τῆς συγγραφῆς διὰ λείας ἡμῖν πάνυ καὶ εὐπόρου τῆς ὁδοῦ καὶ ὡσπερεί τινος ἀφανῶς ὑπαγορεύοντος ἐν μεσημβρίᾳ τῶν μεγίστων ἐκείνων προΐει θορύβων, ὡς καὶ τοὺς συνόντας ἐξαισίως ἐκπλήττειν ταυτηνὶ τὴν καινοτομίαν, καὶ τὸ τέλος ἔβλεπεν ἤδη, θαυματουργεῖ τι κἀνταῦθα τῶν συνήθων ὁ μέγας, ὁμοῦ μὲν τὸ τῆς ἱστορίας ὀρθόν τε καὶ ἀπλανὲς διαμαρτυρόμενος πᾶσιν, ὁμοῦ δὲ καὶ ταῖς ἡμετέραις αἰτήσεσι πατρικῶς τε καὶ φιλανθρώπως συγκατιών, οἷος ἐκεῖνος. Ἀλλὰ προσεκτέον τῷ λόγῳ. Νὺξ μὲν ἦν, ὁ δὲ τῶν λόγων μοι τούτων ὑπογραφεύς, τῶν ἐν τῷ κλήρῳ κατειλεγμένων εἷς καὶ τοῦ τῶν ἀναγνωστῶν προϊστάμενος τάγματος, «Ἐπεί», φησί, «τοῦ περὶ τὸ γράφειν πόνου καὶ τῆς σπουδῆς ἐμαυτὸν ἀνεὶς ὕπνῳ συνήθως ἐδίδουν, ὄψις ἐφίσταταί μοι τοιάδε. Ἐδόκουν ἑστάναι συνήθως», φησίν, «ἐν τῷ καθ' ἡμᾶς μεγάλῳ ναῷ, τῆς μυστικῆς τελουμένης θυσίας, συνεστώτων ὡς ἐν ἑορτῇ δηλαδὴ καὶ τῶν ἄλλων καὶ φαιδρῶς πάντων ἡμῶν κοινῇ συνᾳδόντων τὰ θεῖα· ἐδόκει μοι δὲ ἄρα τὸν κοινὸν τῆς ἡμῶν ἐκκλησίας ποιμένα τελοῦντα τότε τὰ μυστικὰ συνιερουργεῖν τῷ μεγάλῳ δηλαδὴ Σάβᾳ. Ἐπεὶ δ' ὁ τῶν Εὐαγγελίων ἐνειστήκει καιρὸς καὶ πάντες περὶ τὴν θείαν ἐκείνην ἀκρόασιν ὡς εἰκὸς ἦμεν ἀνηρτημένοι, ἦσαν μὲν τῶν ἀδύτων ἐντὸς συν-

Digitized by Google

εστῶτε καὶ ἄμφω, ὥς γε τὰ τῆς φωνῆς ὑπεδήλου, ἐπεὶ μὴ καὶ προσορᾶν αὐτοὺς εἶχον· τοῦ δὲ θαυμαστοῦ Σάβα τῆς ἀναγνώσεως ἀρξαμένου, τὰς αὐτὰς ὁ ποιμὴν διαδεχόμενος ῥήσεις, ἀντιφωνῶν κατὰ μέρος ἦν καὶ τὸ θεῖον ἐκεῖνο κήρυγμα σαφέστερόν πως τῷ διαπλασιασμῷ καὶ ἡμῖν παραπέμπων τοῖς ἔξω. Καὶ ἦσαν οὕτω καὶ ἄμφω κατακερματίζοντες καὶ κατὰ διαδοχὴν ἀλλήλοις παραχωροῦντες τοῦ λόγου, τοῦ μὲν ὑπαγορεύοντος, ὅπερ ἔφην, τοῦ δὲ προεστῶτος κατὰ τάξιν ἐφεπομένου καὶ τὴν αὐτὴν ἀπλανῶς ἰόντος ἐκείνῳ, μέχρι καὶ αὐτοῦ φημι τοῦ τῆς ἀναγνώσεως τέλους. Ἦν δὲ ἄρα τὸ παρ' αὐτῶν εὐαγγελιζόμενον τὸ τῷ θεσπεσίῳ δηλαδὴ Λουκᾷ μόνῳ κατ' ἐξαίρετον εἰρημένον, ὅπως τὰς ἐν γῇ φημι διατριβὰς ὡς ἄνθρωπος ὁ κοινὸς ποιούμενος δεσπότης ἔλθοι μὲν εἰς τὴν θρεψαμένην Ναζαρέτ, εἰσέλθοι δὲ καὶ τὴν τῶν Ἰουδαίων συναγωγὴν τῇ τοῦ Σαββάτου ἡμέρᾳ· καὶ δοθείσης αὐτῷ τῆς βίβλου τοῦ Ἡσαΐου, ὥστε καὶ ἀναγνῶναι, ἐκείνοις δήπου κατ' οἰκείαν βουλὴν ἐντυχεῖν καὶ διδάξαι τοῖς προρρηθεῖσι περὶ αὐτοῦ τῷ προφήτῃ· "πνεῦμα Κυρίου", φησίν, "ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με· εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τῇ καρδίᾳ" καὶ τὰ ἑξῆς. Τῆς ἀναγνώσεως δέ», φησὶν ὁ βλέπων, «συντελεσθείσης, ἱεράν τινα πρόοδον ἐδόκουν μοι καὶ ἄμφω ποιεῖσθαι, ἐξιόντες δηλαδὴ τῶν ἀδύτων καὶ τοὺς κοινωνοὺς τῶν μυστηρίων ἔχοντες ἑπομένους, ὡς ἔθος· ἡμῶν δὲ τῶν ἔξω τοῦ θείου βήματος κατὰ χώραν ἑστώτων, ἐπειδὴ παριόντες ἔγγιστά μου γεγόνασιν, ὁ μέγας ἱλαρῶς με προσιδὼν Σάβας, Τὰ παρὰ τοῦ τῆς ἐκκλησίας καθηγεμόνος διδόμενά σοι", φησί, "μηδαμῶς ἐνδοιάζων γράφε, πάνυ καλῶς ἔχοντα καὶ ἠκριβωμένως· ἐγώ σοι τούτων ἀξιόπιστος μάρτυς· πλὴν ἀλλὰ καὶ παιδός, φησίν, ἄρρενος ἔσῃ πατήρ, ὅσον οὐκ ἤδη κατὰ τὸ ἐφετόν, καὶ τοῦθ' ὥσπερ ἐνέχυρον ἀσφαλὲς ἔστω σοι τῆς ἀληθείας τῶν λόγων». Ὁ μὲν οὖν ταῦτα παραδόξως ἰδὼν καὶ ἀκούσας, μετὰ τρίτην ἐξ ἐκείνου ἡμέραν ἔμφοβος ἅμα καὶ περιχαρὴς κἀμοὶ κοινοῦται τὰ ὁραθέντα, τέλος κατ' αὐτὴν ἐπιτιθέντι τῷ λόγῳ, μᾶλλον δὲ τὰς ὑστάτας

12/19 Λουκᾶ δ', 14-19.

Digitized by Google

στηρίων ἐκείνων ἀξιωθῆναι καὶ τῆς ὑπερφυοῦς χάριτος, μὴ τούτοις προκαθαρθέντα, μηδὲ τὸν ναὸν τοῦ πνεύματος, καθάπερ ἐκείνῳ δηλαδὴ φίλον, φιλοκαλήσαντα· οὐδὲ γὰρ ἡμῖν τις ἀγγείῳ σαπρῷ καὶ ὀδωδότι μύρον πιστεύσειεν ἄν ποτε.

71. Πλὴν ἀλλὰ κἀκεῖνα προστιθέσθω, τῶν πολλῶν ὀλίγα καὶ ἀντὶ πολλῶν, ὡς ἐγώ φημι· τίς γὰρ οὐκ οἶδε τὸ τῆς μετριότητος ἄκρον ἐκείνου, τὸ καθ' ὑπερβολὴν εἰρηνικὸν καὶ πρᾶον καὶ πρὸς πάντας κοινωνικόν τε καὶ χάριεν; οὗ καὶ ἡ ἔντευξις ἡδεῖα καὶ ὁ λόγος οἷος ἡμερῶσαι πολεμουμένην ὁτῳδήποτε τρόπῳ ψυχὴν καὶ καταστῆσαι πρὸς ἃ δεῖ μετὰ παντὸς τοῦ βελτίονος· τίς οὕτω τῶν πλησίον ἑαυτοῦ πολλῷ τινι τῷ μέσῳ προέθηκεν, ὡς ἐπὶ μὲν τῶν δοκούντων τάξει τινὶ προέχειν ἢ παντελῆ σιγὴν ἀσκεῖν, ἢ νηπιότητά τινα καὶ ἀφέλειαν ὑποκρίνασθαι, ῥήμασί τε καὶ σχήμασι καὶ παντὶ τῷ φαινομένῳ ψελλίζειν ὡσανεὶ δοκῶν ὁ σοφώτατος, τοῖς δὲ τῶν πολλῶν καὶ κατωτέρῳ πολιτείᾳ τέ φημι καὶ χρόνῳ καὶ τάγματι τοῖς μὲν ὡς ἀδελφός, τοῖς δ' ὡς υἱὸς ὁ κοινὸς τῶν ἀμφοτέρων πατὴρ θαυμασίως προσφέρεσθαι, πατέρας ἑαυτοῦ καὶ δεσπότας ἀποκαλῶν καὶ πάντων προκαλινδούμενος τοῖς ποσὶ μετὰ πολλῆς τῆς ἐπιφαινομένης ἡδονῆς τῷ προσώπῳ καὶ τοῦ σεβάσματος; ἃ δὴ καὶ τοῖς πολλοῖς ἄλογον ὑποψίαν παρέσχε φυσικῆς μαλακότητος δῆθεν καὶ ἀμαθίας τοῦ τὰ πάντα στερροῦ τε καὶ σοφωτάτου, μαλακῶς τῷόντι καὶ ἀμαθῶς τῷ κατ' ἐκεῖνον ἐπιβάλλουσι πράγματι. Καὶ πολλοὺς ἂν ἴδοις μέχρι τοῦ νῦν τὰ αὐτὰ περὶ ἐκείνου ψηφιζομένους, ἀνέμους καὶ καπνὸν ἀντὶ τοῦ φωτὸς τῆς ἀληθείας πειρωμένους κατέχειν· τοσοῦτο καὶ γὰρ ἀγνοεῖν ἀπεῖχεν ἐκεῖνος τοὺς ταῦτα νομίσαντας, μᾶλλον δὲ τοσοῦτον ἀκριβῶς ἐκείνους ἐγίνωσκεν, ὡς καὶ τῶν ἀφανῶν τῆς καρδίας διορατικῶς ἅπτεσθαι, καὶ λογισμοὺς ἐκείνων ἐπιτηρεῖν, καὶ ὁποίῳ τινὶ πάθει τῆς ψυχῆς κατεχόμενος ἦν ἕκαστος, καὶ κατὰ ταῦτα δὴ καὶ ταῖς ὁμιλίαις κεχρῆσθαι, τοῖς μὲν αὐτὸ τοῦτο νήπιός τις καὶ ἀφελής, τοῖς δὲ καὶ σιωπῶν παντελῶς καὶ τὸ μηδὲν ὡς εἰπεῖν καθάπαξ φαινόμενος. Ἀλλ' ᾔδει καλῶς ἐκεῖνος καὶ τίσιν ἐνδείξασθαι τὴν ὑποι-

2 ναὸν τοῦ πνεύματος] πρβλ. Κορινθ. 1, ς΄, 19. — 21 *στερροτάτου καὶ* Β.

Digitized by Google

κουροῦσαν τοῦ πνεύματος ἔδει σοφίαν καὶ τὸν κεκρυμμένον παρ' ἑαυτῷ θησαυρὸν τῆς χάριτος, καὶ τούτοις αὐτοῖς οὐκ ἐξίσου πάντως, ἀλλὰ κατὰ τὸ ἑκάστου μέτρον, καθὸ δηλαδὴ Θεὸς αὐτῷ διὰ τῆς ἐν ἐκείνῳ σοφίας ἐμέρισεν· οἷς δὴ καὶ μιμήσασθαί τινα τούτων ἐπῆλθε καὶ τοῖς ἁπλῶς τε καὶ παρέργως ὑπ' ἐκείνου λεγομένοις ἢ πραττομένοις πολλάκις ἐγκαλλωπίσασθαι, ὡς καὶ τούτων ἀρκούντων μόνων εἰς εὐδοξίαν καὶ οἷον ἀμυδρὰν εἰκόνα καλοῦ καὶ τῆς μεγάλης ἐκείνης ψυχῆς, μᾶλλον δὲ τῆς ἐνούσης ἐκείνῃ μεγαλοφυΐας ἔσχατον, ὅ φασιν, ἀπήχημα. Τοῖς δ' ἄλλοις οὕτω σχεδὸν ἀπόρρητα τὰ κατ' ἐκεῖνον ἦν καὶ τῷόντι μυστήρια, ὡς μηδὲ δοκεῖν εἶναί τι τὸ παράπαν ἐν ἐκείνῳ τῶν ἀποκρύφων, μηδέ τινα πολιτείαν τῶν ὑψηλοτέρων μετέρχεσθαι τὸν σοφώτατον, μηδὲ γὰρ ἐμφαίνειν τοῦτο μὴ στολῇ, μὴ καθέδρᾳ, μὴ σχήματι σκίμποδος, μή τινι τῶν πάντων ὁπωστιοῦν· ὅπου γε καὶ τοῖς ἔξω καὶ προχείροις ὑπὲρ πάντας τοὺς ἀγωνιστὰς ὑπερφυέστατα χρώμενος βραχύ τι παραλλάττειν τῶν ἄλλων ἐδόκει τοῖς πλείοσιν, ἔστι δ' οὗ καὶ τῶν πολλῶν εἷς παρ' οἱστισινοῦν ἐνομίζετο τῷ κοινωνικῷ τε καὶ φιλαλλήλῳ καὶ καθ' ὑπερβολὴν ταπεινόφρονι· καὶ τὸ μεῖζον τῆς ἐν τούτοις φιλοσοφίας καὶ ἀκριβῶς ὑπεράνθρωπον, ὅτι τὰ μέγιστα καὶ ὑπερφυέστατα κατορθῶν ἐν πάσῃ πολιτείᾳ καὶ παντὶ πράγματι, πλὴν ὀλίγων, τοὺς πάντας ἐλάνθανε διὰ τὸ φύσιν αὐτῷ καθαπερεὶ χρηματίσαι ταῦτα καὶ ῥᾷστα καὶ ὁμαλῶς αἰειδήποτε χρῆσθαι κατὰ ταῦτα, κἀντεῦθεν μηδαμῶς καινοτομῶν μηδὲ ξενίζων νομίζεσθαι· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ τοῦτ' αὐτὸ τὸ λανθάνειν τι τῶν ὑψηλῶν ἐργαζόμενος ἀπεριέργως εἰσάπαν ἐλάνθανεν, ὡς μὴ μόνον τὸν θησαυρὸν ἐν ἀσφαλεῖ κρύπτειν εὐχερῶς δύνασθαι, ἀλλὰ μηδ' αὐτὸ τοῦτο διδόναι τισὶν αἴσθησιν, ὅτι καὶ ὁπωσοῦν ἔστι τι τῶν τιμίων παρ' ἐκείνῳ κρυπτόμενον. Οὕτως εἰς ἄκρον ἐληλάκει ταπεινοφροσύνης τῆς ὑψηλῆς, καὶ οὕτως αὐτῷ τὰ τῆς μοναδικῆς καὶ φιλοσόφου ταύτης πολιτείας ὑπερφυῶς ἤσκητο.

71. Ἀγάπης δὲ περὶ τῆς βασιλίδος τῶν ἀρετῶν τί ἄν τις εἰπὼν

3/4 Κορινθ. 2, ι', 13 «ὑμεῖς δὲ οὐχὶ εἰς τὰ ἄμετρα καυχησόμεθα, ἀλλὰ κατὰ τὸ μέτρον τοῦ κανόνος οὗ ἐμέρισεν ἡμῖν ὁ Θεὸς μέτρου, ἐφικέσθαι ἄχρι καὶ ὑμῶν».

Digitized by Google

ἀποχρώντως εἴποι τοῖς πράγμασι; πρὸς μὲν γὰρ τὸν Θεὸν οὕτως ἐρωτικῶς ἔσχεν ὑπὲρ τοὺς πώποτε, ὡς καὶ μαρτυρικῶν ἄθλων κατ' οὐδὲν ἐλαττοῦσθαι τὴν ἐν σαρκὶ ζωὴν ἐκείνου, καθὰ δὴ καὶ φθάσαντες εἴπομεν· ὥστε καὶ αὐτὸν ἐναργῶς μετὰ Παύλου δύνασθαι λέγειν "καθ' ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν"· ὁ δ' οὐδὲ τούτοις ἠρκεῖτο, ἀλλὰ καὶ τὸ δι' αἵματος ἐξελθεῖν ἂν τὸν βίον ἐκτόπως πως ἂν εἴποι τις ἐδίψα καὶ ηὔχετο. Τῆς δὲ πρὸς τὸν πλησίον παρίτωσαν οἱ καὶ ταύτης ἀπολελαυκότες καὶ τὰ κατ' αὐτὸν διηγείσθωσαν ἡλίκος μὲν ἦν τοῖς ἀσθενέσιν, ἡλίκος δὲ τοῖς ἄλλως γεγηρακόσι καὶ πεπηρωμένοις τὰ σώματα, ὡς μηδὲ τῆς φιλανθρωποτάτης ἰατρικῆς ἀποσχέσθαι, ἀλλὰ καὶ ταύτης δι' ἀγάπης ὑπερβολὴν οὐκ ἐλάχιστον ἐκπονῆσαι μέρος· ᾧ δὴ καὶ μάλιστα προφάσει χρώμενος ὁ σοφώτατος ἡμέρας ὅλας καὶ νύκτας ἑαυτὸν τοῖς νοσοῦσιν ἐδίδου, λόγοις ἅμα καὶ ἔργοις καὶ τῷ πεφυκότι παντὶ συνδιαφέρων τὸ πάθος καὶ τοῦ λυποῦντος εὐφυῶς ὑποκλέπτων τὴν αἴσθησιν. Ὅθεν καί ποτε τῶν νοσούντων τις, ἐπεὶ δυσχερῶς πάντη καὶ ἀνωμάλως πρός τε τροφὴν καὶ πόσιν καὶ πᾶν ὁτιοῦν διακείμενος ἓν ἀντὶ πάντων ᾔτησε φάρμακον, τὴν τοῦ μεγάλου προσεδρείαν, ἐκεῖνος αὐτίκα τὸ "μηδεὶς τὸ ἑαυτοῦ ζητείτω" μετὰ Παύλου δηλαδὴ τοῦ μεγάλου εἰπών, "ἀλλὰ καὶ τὸ τοῦ ἑτέρου ἕκαστος", πάντων ἀφέμενος, ὅλῳ θυμῷ τοῦ πάσχοντος ὅλος ἐκείνου γίνεται, μηδαμῶς τὸ παράπαν ἀποστὰς ἐξ ἐκείνου, μὴ νύκτα, μὴ ἡμέραν, μηδ' αὐτὸ τὸ βραχύτατον ἐφ' ὅλοις οἶμαί που μησὶ τέσσαρσι θαυμαστῶς ἐξυπηρετούμενος καὶ συμπάσχων, ἄχρις οὗ φημι τὴν ζωὴν ὁ νοσῶν ἐξεμέτρησεν· ἢ γὰρ ἂν οὐδ' ἀπέστη πάντως, εἰ περιῆν, ἄχρις ἂν ἐκεῖνος ἐβούλετο. "Καὶ τί καινόν", ἔλεγε πρὸς ἐμέ, "φίλος; τίς δ' ἐργασία ταύτης ἀμείνων; ἢ ποῖον τῆς εἰς τὸν Θεὸν ἀγάπης τούτου σύμβολον ἐναργέστερον; διὸ καὶ τὸν θαυμαστὸν ἐκεῖνον ἐγώ", φησί, "καθ' ὑπερβολὴν θαυμάζω πρεσβύτην, ὃς ἀγαπᾶν ἔλεγεν, εἴπερ ἠδύνατο, καὶ αὐτὸ

5 Κορινθ. 1, ιε', 31. — 7 Τῆς] ἐξαρτᾶται ἐκ τοῦ *ἀγάπης*. — 20 Κορινθ. 1, ι', 24. — 30 πρεσβύτην] ἐν τῇ ᾤᾳ τοῦ M διὰ γραμμάτων ἐρυθρῶν ἀναγινώσκεται τόδε τὸ «Σχ(όλι)ον. Τὸν ἀββᾶν 'Αγάθωνα λέγει, τὸν ἐν τῷ Γεροντικῷ».

Digitized by Google

τὸ οἰκεῖον σῶμα καθάπερ ἱμάτιον ἀποβαλὼν ἀποδόσθαι τινὶ τῶν ὑπὸ τῆς ἱερᾶς βεβρωμένων νόσου καὶ τὸ ἐκείνου λαβὼν αὖθις αὐτὸς μετενδύσασθαι· καὶ ταῦτά γε καὶ αὐτός", φησί, "βουλοίμην ἂν σὺν ἐκείνῳ καὶ εὐχόμην, εἴπερ οἷόν τε καὶ τὸ πεφυκὸς ἐδίδου καὶ εἰς ἔργον ἀγαγεῖν τοῦτο δὴ τὸ ποθούμενον". Ὅθεν οὕτω τῆς μεγάλης ἐκείνης ψυχῆς ὀργὴ πᾶσα καὶ μῆνις καὶ θυμὸς ἀπελήλατο, ὡς μηδέποτε τὸ παράπαν ὀφθῆναι καὶ ὁπηοῦν ὀργιζόμενος, εἴγε καὶ ὑπὲρ αὐτῆς ἔτυχεν ὢν ὁ λόγος τῆς πίστεως· "τί γάρ μοι διαφέρει", φησίν, "εἰ πετάλοις χρυσοῖς, ἢ καὶ τοῖς ἐκ πηλοῦ τισι προκαλύμμασιν ἐπισκοτεῖ μοί τις τὴν ὁρατικὴν δύναμιν; ὁμοίως γὰρ ἔγωγε τυφλὸς ἔσομαι, κἂν ὁποιασοῦν τύχῃ τῆς ὕλης ὂν τὸ προκάλυμμα. Διὰ πάντων οὖν", φησίν, "ἀπεῖναι δεῖ τῆς ψυχῆς τὴν πικρίαν καὶ τὴν ὀργήν, τὰ δὲ καλὰ καὶ ἄλλως ἐπεκδικεῖν ἔξεστιν". Οὕτω τοιγαροῦν ὁ μέγας τοῦ πάθους ἀπήλλακτο, ὡς μηδὲ τῆς προσβολῆς αὐτῆς τὸ παράπαν αἰσθάνεσθαι καὶ ἀγνοεῖν μέντοι σχεδὸν καὶ αὐτὸ τὸ πεφυκὸς ἤδη καθάπαξ τοῦ πράγματος· ὃ δὴ καὶ μᾶλλον τῆς ὑψηλοτάτης ἀγάπης πεφυκέναι σύμβολον οἱ τεχνῖται τούτων ἄριστα πεφιλοσοφήκασι. Τοὺς δέ γε ψυχικῶς ἀρρωστοῦντας τίς ἐκείνου μᾶλλον ἢ σοφώτερον ἐπεσκέψατο, ἢ διαγνοὺς οὕτω φιλοπόνως ἄγαν καὶ τεχνικῶς τὰ φάρμακα συνεκέρασεν, εἶτα καὶ τὴν θεραπείαν ἔργοις τε καὶ λόγοις ἐπήνεγκεν ἄριστα; μᾶλλον δὲ τῶν παρ' ἄλλοις ἔργων ὁ λόγος ἐκείνου πολλῷ τινι τῷ μέσῳ καθάπαξ ἀνυσιμώτερος, ὡς τὰ μὲν τῶν Σειρήνων λῆρον εἶναι πρὸς ταῦτα παραβαλλόμενα, χρησμοὺς δὲ θείους καὶ οἷον ἐπῳδάς τινας ἱερὰς ταῦτα δοκεῖν μάλιστα, μηδοπωσοῦν ἐν τῷ τῆς χρείας ἱσταμένῳ παντὶ τοῦ σκοποῦ διαπίπτοντα.

71. Ἐπεὶ δὲ λόγων ἐμνήσθην καὶ τῆς ἐπὶ τούτοις τοῦ διδασκάλου περιφανοῦς χάριτος, ἐκεῖνο τοῖς εἰρημένοις ἀναγκαίως προσθήσω. Τοσαύτη τις ἐπήνθει ταῖς ὁμιλίαις ἐκείνου χάρις καὶ δύναμις θαυμαστὴ καὶ ἀπόρρητος, οἵαν ἐπ' οὐδενὶ τῶν ἐπ' ἀρετῇ θαυμαζομένων ἰδεῖν ἡμῖν ἐξεγένετο, καίτοι γε πολλῶν τινων καὶ μεγάλων ἀκροαταῖς γενομένοις ὡς μάλιστα· ἀλλὰ τὸ κατ' ἐκεῖνον ἱερόν τι χρῆμα καὶ θεσπέσιον ἄντικρυς ἦν, μηδενί τινι τῶν πάν-

Digitized by Google

των παραβαλλόμενον, ὡς δοκεῖν αὐτῆς ἅπτεσθαι τῆς ψυχῆς καὶ τῶν ὤτων ὅλην ὑπερφυῶς ἐξαρτᾶν, καθάπερ τινὸς νέκταρος ἡσυχῇ τοῦ ῥεύματος εἰσδυομένου διὰ τῶν ἔξω πρὸς ἐκεῖνα δὴ τὰ βαθύτατα, ὥστε καὶ πάσχειν μᾶλλον ἀλλ' οὐκ ἀκούειν ἐκεῖνα δοκεῖν τὸν τοῦ λόγου μετέχοντα· καὶ τὸ μεῖζόν τε καὶ καινότερον, ὅτι τὰ συνήθη καὶ διωμιλημένα τοῖς λόγοις κατὰ καιρὸν αὐτὸς παρεμβάλλων, τούτοις αὐτοῖς τὸν ἀκροατὴν ἐνθουσιᾶν ἐποίει καὶ θαυμαστήν τινα πάσχειν ἀλλοίωσιν, ὡς ἄρτι πρώτως καινῶν τινων καὶ ἀπορρήτων ἀκούοντα κἀντεῦθεν γνωρίζεσθαι μᾶλλον τὴν πηγήν, ἧς ἐκεῖνο τὸ διειδὲς καὶ πότιμον ἐξέβλυζε ῥεῖθρον, τοῦ ἀγαθοῦ φημι πνεύματος τὴν ἐνέργειαν.

72. Ἐπεὶ δὲ τὸν δρόμον τελέσας καὶ τὸν ἀγῶνα τὸν καλὸν εἴπερ τις ἀγωνισάμενος εἰς οὐρανοὺς ἔβλεπεν ἤδη καὶ τὸν ἀποκείμενον στέφανον, θαυματουργεῖ κἀνταῦθα τῶν προρρηθέντων οὐκ ἔλαττον· δέκα γὰρ πρότερον ἡμέραις τῆς πρὸς Θεὸν ἐκδημίας, τῷ μαθητῇ συνεργῷ χρώμενος, "Δεῦρο", φησίν, "ὦ φίλος, παρὰ τούσδε τοὺς ἱεροὺς οἴκους ἀπίωμεν προσευξόμενοι· πόρρωθεν γὰρ ἔχω τὴν εὐχὴν ταύτην ἐπαγγειλάμενος. Ἵν' οὖν μὴ καὶ τὸ τῆς ζωῆς ἐπελθὸν τέλος τὸν σκοπὸν διακόψῃ, σπουδῇ τὴν ὀφειλὴν ἀποτίσωμεν". Τοῦ δ' εὐθὺς ἑπομένου, κατὰ τὸ πρόσταγμα, περιήει δυσὶν ὅλαις ἡμέραις ὁ μέγας προσευχόμενός τε καὶ προσφέρων ἐπὶ πᾶσι Θεῷ τὸν εὐχαριστήριον ἅμα καὶ ἐξιτήριον, προθυόμενός τε καὶ τελεσιουργῶν σὺν ἡδονῇ μεγίστῃ καὶ καρδίας σκιρτήμασι τὸν κοινὸν ὑπὲρ ἡμῶν καὶ τῆς κοινῆς πάντων ἀσφαλείας καὶ σωτηρίας ἱκέσιον. Εἶτ' ἐκεῖθεν ὑποστρέψας δύο μὲν ἑξῆς ἡσυχάζει καθ' ἑαυτὸν ἡμέρας, τῇ δ' ὑστεραίᾳ τὸν συνοικοῦντα καλέσας αὖθις καὶ παρακαθισάμενος τὴν ἐκδημίαν προλέγει σαφέστατα καὶ φέρειν ἀξιοῖ μακροθύμως καὶ μὴ λύπης ἀμετρίᾳ δοῦναι τὸν λογισμόν, εἰ καὶ φορτικὸν ἄλλως τῷ φίλῳ τὸ ἐπιὸν καὶ δυσβάστακτον· εἶναι γὰρ καὶ μετὰ τελευτὴν αὐτὸς τοῖς φιλοῦσι καὶ καλῶς μεμνημένοις καὶ φίλος καὶ πρεσβευτὴς τὰ πρὸς τὸν Θεὸν ἑτοιμότατος· τὰ

12/14 δρόμον - στέφανον] Τιμοθ. 2, δ', 7.

Digitized by Google

δὲ ἑξῆς ἑτέροις μᾶλλον, ἀλλ' οὐκ ἐμοὶ προσῆκεν· οὐδὲ γὰρ φέρω τῆς κοινῆς μεμνημένος ζημίας καὶ τῆς συμφορᾶς, ἣν ἡμεῖς οἱ μᾶλλον εἰδότες καὶ φιλοῦντες ἐκεῖνον ὑπέστημεν. Ἔκειτο μὲν ὁ μέγας τὰ τελευταῖα πνέων καὶ ὑπὸ τῶν συνήθων Ἀγγέλων μεθ' ἡδονῆς τινος ἀπορρήτου πρὸς τὴν μακαρίαν ζωὴν ἐπειγόμενος, παρίστατο δ' αὖθις ὁ φίλος καὶ μαθητής, πάντων δ' ἐκχωρησάντων, ῥήματά τινα ζητῶν ἐξιτήρια· ὁ δὲ τὰ χείλη βραχύ τι διάρας καὶ περὶ ταπεινοφροσύνης μικρὸν ὑποψιθυρίσας καὶ τῆς ἑαυτοῦ τελειότητος ἐνὶ λόγῳ παρασχὼν ἐναργὲς σύμβολον, ταῖς χερσὶ τοῦ φιλουμένου δεσπότου διὰ τῶν συνόντων φωτεινῶν Ἀγγέλων τὴν τιμίαν καὶ ἄσπιλον παρακαταθήκην, τὴν ἑαυτοῦ δηλαδὴ ψυχήν, ὅπερ ἐκείνῳ διὰ βίου παντὸς λέγειν σύνηθες, ἡδέως ἄγαν καὶ ἱλαρῶς ἀποδίδωσιν, οὔπω τῆς πρεσβυτικῆς ἐπιβὰς ἡλικίας, ὡς αὐτὸς ἐκεῖνος πρὸς ἡμᾶς ἔλεγε. Καὶ νῦν σὺ μὲν ἐν οὐρανοῖς συγχορεύεις ἐκείνοις, τῷ φωτὶ τῆς μακαρίας θεότητος ἀμέσως καταστραπτόμενος, ἧς τὰς αὐγὰς οὐκ ἀμυδρῶς τὸ πρότερον δέδεξο· νεκρὸς δὲ τῷ πλείστῳ μέρει καὶ τὸ παράπαν ἀπειρηκὼς ὁ Φιλόθεος, τῆς μεγάλης προστασίας καὶ τῶν ἐλπίδων ἀφαιρεθεὶς καὶ ζωὴν ἀνύων σοῦ χάριν ἀηδῆ καὶ κατώδυνον, οὐκ οἶδ' ὅπῃ τελευτήσουσαν μετὰ τὴν σὴν ἐκδημίαν καὶ πρὸς Θεὸν φιλτάτην ἀνάλυσιν· ὃς καὶ διὰ νυκτερινῶν εἰσέτι καταρτίζεις ἡμᾶς ὄψεων, πατρικῶς τε καὶ φιλανθρώπως ἑκάστοτε χειραγωγῶν πρὸς τὰ βέλτιστα.

73. Φέρε δὴ καὶ τὰ μετὰ τὴν ἐκείνου πρὸς Θεὸν ἐκδημίαν ἐπισκεψάμενοι κἀκεῖνο τοῖς ῥηθεῖσιν ἀναγκαίως συνάψωμεν, οὐ συνᾷδον ἐκείνοις μόνον καὶ ἰσοστάσιον, ἀλλὰ καὶ πιστούμενον — πῶς ἂν εἴποις; — θαυμασίως ἐκεῖνα καὶ τὴν τινῶν ἐπὶ τούτοις ἀμφιβολίαν μετὰ πολλοῦ τοῦ περιόντος πόρρω ποιούμενον· διόπερ ἄρα καὶ τῷ μεγάλῳ θαυμαστῶς εἴργασται, ὡς αὐτίκα δὴ καὶ ῥηθήσεται. Πολύς μέν τις καὶ ἄρρητος εἶχέ μου τὴν ψυχὴν ἔρως περὶ τὴν συγγραφὴν ταύτης τῆς ἱστορίας, καὶ οὐδ' ἠρεμεῖν εἶχον τὸν λογισμὸν οὐδ' ἐπὶ μικρόν, κάτοχος ἤδη γεγενημένος τῷ καλῷ

1 τὸ *προσῆκεν* ἐν τῷ M κεῖται μετὰ τὸ *μᾶλλον*. — 8 *ὑποψιθιρίσας* B. — 16 *ἀμιδρᾶς* B.

Digitized by Google

τούτῳ πάθει· προσῆν γέ τι καὶ δέους οὐ μικρόν, ὃ δὴ καὶ ἀρχόμενος εἶπον τοῦ λόγου, τό τε μέγεθος ἐννοοῦντι τοῦ πράγματος καὶ τὴν ἐμαυτοῦ περὶ λόγους ἰσχὺν τούτῳ παρεξετάζοντι, καὶ μάλιστα τοῖς ἐν μέσῳ θορύβοις καὶ ταῖς μακραῖς ταύταις καὶ ἀνενδότοις ἀσχολίαις ὅσαι ὧραι κατὰ ταὐτὰ προσκειμένῳ. Ἐπεὶ δ' ὁ περὶ τὸν μέγαν περιφανὴς πόθος ἔσχε τὸ κράτος καὶ οὐκ ἦν ἀντιλέγειν, τἄλλα παρ' οὐδὲν θέμενος, ἐπιβάλλω τῷ πράγματι, τὰς ἐκείνου πρεσβείας τῆς ὑποθέσεως προστησάμενος καὶ τὴν ἐκεῖθεν καθ' ἑκάστην θερμῶς ἐπικεκλημένος ἐπικουρίαν, ὥστε καὶ πρὸς τέλος τὴν ἱστορίαν ἐλθεῖν, μή τινι τῶν μεταξὺ θορυβούντων διακοπεῖσαν, καὶ εἰ κατὰ γνώμην τῆς μεγάλης ἐκείνης ψυχῆς προβαίνοι, καὶ μὴ τοῦ σκοποῦ διαπίπτομεν ἀμωσγέπως καθυποδεῖξαι. Καὶ ταῦτ' ἦν, ὡς εἰπεῖν, αἰειδήποτε τὰ προοίμια καὶ ὡσπερεί τις ἀφετηρία τῶν γραφομένων· ἐπεὶ δὲ τὰ τῆς συγγραφῆς διὰ λείας ἡμῖν πάνυ καὶ εὐπόρου τῆς ὁδοῦ καὶ ὡσπερεί τινος ἀφανῶς ὑπαγορεύοντος ἐν μεσημβρίᾳ τῶν μεγίστων ἐκείνων προΐει θορύβων, ὡς καὶ τοὺς συνόντας ἐξαισίως ἐκπλήττειν ταυτηνὶ τὴν καινοτομίαν, καὶ τὸ τέλος ἔβλεπεν ἤδη, θαυματουργεῖ τι κἀνταῦθα τῶν συνήθων ὁ μέγας, ὁμοῦ μὲν τὸ τῆς ἱστορίας ὀρθόν τε καὶ ἀπλανὲς διαμαρτυρόμενος πᾶσιν, ὁμοῦ δὲ καὶ ταῖς ἡμετέραις αἰτήσεσι πατρικῶς τε καὶ φιλανθρώπως συγκατιών, οἷος ἐκεῖνος. Ἀλλὰ προσεκτέον τῷ λόγῳ. Νὺξ μὲν ἦν, ὁ δὲ τῶν λόγων μοι τούτων ὑπογραφεύς, τῶν ἐν τῷ κλήρῳ κατειλεγμένων εἷς καὶ τοῦ τῶν ἀναγνωστῶν προϊστάμενος τάγματος, «Ἐπεί», φησί, «τοῦ περὶ τὸ γράφειν πόνου καὶ τῆς σπουδῆς ἐμαυτὸν ἀνεὶς ὕπνῳ συνήθως ἐδίδουν, ὄψις ἐφίσταταί μοι τοιάδε. Ἐδόκουν ἑστάναι συνήθως», φησίν, «ἐν τῷ καθ' ἡμᾶς μεγάλῳ ναῷ, τῆς μυστικῆς τελουμένης θυσίας, συνεστώτων ὡς ἐν ἑορτῇ δηλαδὴ καὶ τῶν ἄλλων καὶ φαιδρῶς πάντων ἡμῶν κοινῇ συνᾳδόντων τὰ θεῖα· ἐδόκει μοι δὲ ἄρα τὸν κοινὸν τῆς ἡμῶν ἐκκλησίας ποιμένα τελοῦντα τότε τὰ μυστικὰ συνιερουργεῖν τῷ μεγάλῳ δηλαδὴ Σάβᾳ. Ἐπεὶ δ' ὁ τῶν Εὐαγγελίων ἐνειστήκει καιρὸς καὶ πάντες περὶ τὴν θείαν ἐκείνην ἀκρόασιν ὡς εἰκὸς ἦμεν ἀνηρτημένοι, ἦσαν μὲν τῶν ἀδύτων ἐντὸς συν-

Digitized by Google

εστῶτε καὶ ἄμφω, ὥς γε τὰ τῆς φωνῆς ὑπεδήλου, ἐπεὶ μὴ καὶ προσορᾶν αὐτοὺς εἶχον· τοῦ δὲ θαυμαστοῦ Σάβα τῆς ἀναγνώσεως ἀρξαμένου, τὰς αὐτὰς ὁ ποιμὴν διαδεχόμενος ῥήσεις, ἀντιφωνῶν κατὰ μέρος ἦν καὶ τὸ θεῖον ἐκεῖνο κήρυγμα σαφέστερόν πως τῷ διαπλασιασμῷ καὶ ἡμῖν παραπέμπων τοῖς ἔξω. Καὶ ἦσαν οὕτω καὶ ἄμφω κατακερματίζοντες καὶ κατὰ διαδοχὴν ἀλλήλοις παραχωροῦντες τοῦ λόγου, τοῦ μὲν ὑπαγορεύοντος, ὅπερ ἔφην, τοῦ δὲ προεστῶτος κατὰ τάξιν ἐφεπομένου καὶ τὴν αὐτὴν ἀπλανῶς ἰόντος ἐκείνῳ, μέχρι καὶ αὐτοῦ φημι τοῦ τῆς ἀναγνώσεως τέλους. Ἦν δὲ ἄρα τὸ παρ' αὐτῶν εὐαγγελιζόμενον τὸ τῷ θεσπεσίῳ δηλαδὴ Λουκᾷ μόνῳ κατ' ἐξαίρετον εἰρημένον, ὅπως τὰς ἐν γῇ φημι διατριβὰς ὡς ἄνθρωπος ὁ κοινὸς ποιούμενος δεσπότης ἔλθοι μὲν εἰς τὴν θρεψαμένην Ναζαρέτ, εἰσέλθοι δὲ καὶ τὴν τῶν Ἰουδαίων συναγωγὴν τῇ τοῦ Σαββάτου ἡμέρᾳ· καὶ δοθείσης αὐτῷ τῆς βίβλου τοῦ Ἡσαΐου, ὥστε καὶ ἀναγνῶναι, ἐκείνοις δήπου κατ' οἰκείαν βουλὴν ἐντυχεῖν καὶ διδάξαι τοῖς προρρηθεῖσι περὶ αὐτοῦ τῷ προφήτῃ· "πνεῦμα Κυρίου", φησίν, "ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με· εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τῇ καρδίᾳ" καὶ τὰ ἑξῆς. Τῆς ἀναγνώσεως δέ», φησὶν ὁ βλέπων, «συντελεσθείσης, ἱεράν τινα πρόοδον ἐδόκουν μοι καὶ ἄμφω ποιεῖσθαι, ἐξιόντες δηλαδὴ τῶν ἀδύτων καὶ τοὺς κοινωνοὺς τῶν μυστηρίων ἔχοντες ἑπομένους, ὡς ἔθος· ἡμῶν δὲ τῶν ἔξω τοῦ θείου βήματος κατὰ χώραν ἑστώτων, ἐπειδὴ παριόντες ἔγγιστά μου γεγόνασιν, ὁ μέγας ἱλαρῶς με προσιδὼν Σάβας, Τὰ παρὰ τοῦ τῆς ἐκκλησίας καθηγεμόνος διδόμενά σοι", φησί, "μηδαμῶς ἐνδοιάζων γράφε, πάνυ καλῶς ἔχοντα καὶ ἠκριβωμένως· ἐγώ σοι τούτων ἀξιόπιστος μάρτυς· πλὴν ἀλλὰ καὶ παιδός, φησίν, ἄρρενος ἔσῃ πατήρ, ὅσον οὐκ ἤδη κατὰ τὸ ἐφετόν, καὶ τοῦθ' ὥσπερ ἐνέχυρον ἀσφαλὲς ἔστω σοι τῆς ἀληθείας τῶν λόγων». Ὁ μὲν οὖν ταῦτα παραδόξως ἰδὼν καὶ ἀκούσας, μετὰ τρίτην ἐξ ἐκείνου ἡμέραν ἔμφοβος ἅμα καὶ περιχαρὴς κἀμοὶ κοινοῦται τὰ ὁραθέντα, τέλος κατ' αὐτὴν ἐπιτιθέντι τῷ λόγῳ, μᾶλλον δὲ τὰς ὑστάτας

12/19 Λουκᾶ δ', 14-19.

Digitized by Google

αὐτὸς προτιθέντι λέξεις σὺν ἱεραῖς τισιν ἐπικλήσεσιν, ὡς ἔθος, οὐδὲ τούτου πάντως εἰκῇ, κατὰ δὲ τὸν προσήκοντα μάλιστα λόγον προβάντος. Ἐγὼ μὲν οὖν, εἰ καὶ θαύματος πλήρη κατεφαίνετό μοι τὰ ὁραθέντα, ἀλλὰ καὶ τὰς πίστεις ἀπό γε τοῦ πράγματος ἐναργεστέρας δεῖ λαβεῖν εἶπον, ἵνα μὴ καὶ δόξαιμέν τισιν ἁπλῶς ὀνείροις προσέχειν· ὅθεν καὶ σιωπὴν ἄγειν δεῖν ἔγνων τὸ τηνικαῦτα· ἡ δ' ὁμόζυγος τοῦ τοὺς χρησμοὺς δεξαμένου καὶ κύει τὸ παραυτίκα, καὶ τοῦ νενομισμένου τῇ φύσει παρῳχηκότος χρόνου παιδὸς ἄρρενος δείκνυται μήτηρ, ὃς δὴ καὶ Στέφανος τὴν παιδικὴν τοῦ μεγάλου παρ' ἡμῶν προσηγορίαν καλεῖται, καὶ τὴν ἐκείνου προφητείαν ὁμοῦ καὶ τὸ τῆς ὁράσεως τοῦ πατρὸς ἀπλανὲς ὥσπερ τις ἔμψυχος σάλπιγξ τρανότατα διαγγέλλει· ὅθεν καὶ λόγου καὶ μνήμης ἄξιον καὶ ἡμῖν ἐνομίσθη τὸ πρᾶγμα, κατ' οὐδὲν ἀνάξιον ὂν τῶν προειρημένων.

74. Ταῦτά σοι, θαυμάσιε, παρ' ἡμῶν ἀπαρχαὶ τῶν φίλων σοι λόγων καὶ συγγραμμάτων, ἃ καὶ μηδὲν ὄντα διὰ τὸ φίλτρον αὐτός, οὐχ ὅσον ἄν εἴποι τις, ἀπεθαύμαζες· σοὶ γὰρ καὶ τῷ σῷ πόθῳ τεθαρρηκὼς τοῖς ὑπὲρ δύναμιν ἐγκεχείρηκα, καὶ νόσῳ καὶ ἀσχολίαις καὶ τοῖς ἐν τῷ μέσῳ τούτοις θορύβοις πάντοθεν ἑλκόμενός τε καὶ σπαραττόμενος, τολμηρῶς μέν, οἶδα, καὶ πολλῷ τῆς ἀξίας ἐλάχιστον, τοῦ δὲ πρὸς δύναμιν οὔμενουν ἐνδεέστερον. Καὶ μὴν καὶ τὰ πρὸς τοὺς πατέρας κοινῶς ὑπεσχημένα μοι πάλαι διὰ σοῦ καὶ τῆς σῆς ταύτης εὐφημίας ἱκανῶς ἀποδέδοται· ἤρκεσας καὶ γὰρ ἀντὶ πάντων εἷς προτεθεὶς εἰς ὑπόθεσιν· σὺ δὲ ἡμᾶς ἐποπτεύοις εὐμενῶς ἄνωθεν καὶ διεξάγοις τὸν βίον, κατά γε τὰς σὰς ἐξιτηρίους ἐπαγγελίας, πρὸς τὸ φίλον Θεῷ καὶ λυσιτελέστερον, καὶ ποιμαίνοις ἢ συμποιμαίνοις, εἴ γε λυσιτελὲς καὶ ἀκίνδυνον· εἰ δ' οὖν ἀλλὰ τῶν δεσμῶν καὶ τῆς ταραχώδους λύσαις ταυτησὶ ζωῆς καὶ τῆς ἕξεως, καθὰ δὴ καὶ πρότερον, οὐκ οἶδ' οἷς τισι λόγοις χρησάμενος, ἔδησας, καὶ διὰ τῆς εἰρηνικῆς ἐνταῦθα ζωῆς πρὸς τὴν ἐκεῖ μετενέγκοις εἰρήνην τὴν μόνιμον τε καὶ ἀστασίαστον ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, τῇ ἀληθινῇ τῶν σῳζομένων εἰρήνῃ τε καὶ χρηστότητι· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ

Digitized by Google

πατρὶ καὶ τῷ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

† Πᾶς ὁ τὸν λόγον τοῦτον ἀναγινώσκων, ἀξιῶ, προσανάγνωθι καὶ ταῦτα τὰ ἑξῆς φύλλα· πάνυ γάρ εἰσιν ἀναγκαῖα καὶ ὠφέλιμα.

[Ἕπονται τεμάχη τρία τῆς φιλοθέου ἱστορίας τοῦ Θεοδωρήτου, ἕτερα πέντε τοῦ Λαυσαϊκοῦ, ἓν τέμαχος τοῦ Παραδείσου καὶ ἓν αὖθις Ἰωάννου τοῦ Χρυσοστόμου ἐκ τοῦ κα' ἠθικοῦ τῆς εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἑρμηνείας· πάντα δὲ ταῦτα τὰ τεμάχη σχέσιν ἔχουσι πρὸς τὸ σχόλιον, ὅπερ ἐσημειώθη ἐν τῇ 288-ῃ σελίδι].

Digitized by Google

XII.

ΜΗΝΙ ΙΟΥΛΙΩΙ ΙΗ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

ΑΘΑΝΑΣΙΟΥ

ΤΟΥ ΕΝ ΤΩΙ ΚΑΥΣΜΑΤΙ ΤΗΣ ΕΡΥΘΡΑΣ ΘΑΛΑΣΣΗΣ.

(Cod. Coislin. 303, f. 182a-187b).

1. Βασιλευόντων τῶν ἀσεβεστάτων καὶ παρανόμων Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, πολλῇ κατείχετο πλάνῃ τὸ τῶν ἀνθρώπων γένος· ἄνθρωποι γὰρ ταῖς τούτων ἐπινοίαις ξύλοις προσεκύνουν, καὶ ἔθυον καὶ τῶν μιαρῶν ἀπεγεύοντο θυσιῶν· ἐμιαίνετο δὲ τὸ καθαρὸν τοῦ ἀέρος ἐκ τῆς τῶν βωμῶν κνίσης καὶ σκότος εἰδωλικῆς πλάνης πολιτεία ἐνομίζετο εἶναι τοῖς ἀνθρώποις· οἱ δὲ μὴ βουλόμενοι τοῦτο ποιεῖν στρέβλαις καὶ βασάνοις αἰκιζόμενοι τῇ τοῦ ξίφους τιμωρίᾳ παρεδίδοντο. Τότε δὴ τότε Ἀθανάσιος ὥσπερ ἐπίγειος φωστὴρ φαιδρᾷ τῇ περὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστει ἐξέλαμψεν· ὁ γὰρ τρισμακάριος οὗτος εὐγενὴς τῆς μεγάλης τῶν Ῥωμαίων συγκλήτου ὑπάρχων, τιμώμενος ἐν τῷ παλατίῳ, ἐν τῇ τοῦ ἐξκουβίτορος καὶ σκρίβωνος μεγάλῃ ἀξίᾳ ἀνεφέρετο, ἐγγύτατος ὢν καὶ φίλος τοῦ βασιλέως, ἀγαπώμενός τε

Ἐπιγραφή. Ἀνέγνων ἐγὼ ἐν τῷ κώδικι «*ἰουλίῳ ιη'*»· οἱ δὲ ἐκδόται τοῦ Catal. cod. hagiogr. bibliothecae Nationalis Parisiensis (σ. 311) ἀνέγνωσαν «ἰουλίω κη'»· ἀλλ' ἡ ἀκρίβεια τῆς ἡμετέρας ἀναγνώσεως κυροῦται ὑπὸ τοῦ Montfaucon [Bibliotheca Coisliniana, σ. 417]· ὅρα δὲ καὶ ὧδε σελ. 367, 27.

1 κῶδ. *διοκλιτιανοῦ*. -- 5 κῶδ. *κνήσης*. — 12 κῶδ. *ἐξκουβήτορος*.

Digitized by Google

ὑπὸ πάσης τῆς συγκλήτου, διὰ τὸ εὐδοκίμως αὐτὸν ἀναστρέφεσθαι ἐν ταῖς βασιλικαῖς αὐλαῖς, ὡς τάχιστα ἐπινεύειν τὸν βασιλέα ταῖς αὐτοῦ αἰτήσεσι, διὰ τὸ εἶναι αὐτὸν ἀμφοτεροδέξιον ἔν τε τοῖς πολέμοις καὶ ἐν τῷ παλατίῳ. Εἶχεν δὲ ὁμόφρονας καὶ ἀδελφοὺς τῇ περὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστει Σέργιον καὶ Βάκχον, τοὺς ἐν τῇ σχολῇ τῶν Γεντιλίων ἀναφερομένους, οἵτινες τὸ μαρτύριον τῆς καλῆς ὁμολογίας καὶ αὐτοὶ πληρώσαντες καὶ ἐν τῇ Αὐγούστῃ Εὐφρατησίων ἐπαρχίᾳ τὸν τῆς ἀφθαρσίας ἀνεδήσαντο στέφανον.

2. Μαξιμιανὸς οὖν ὁ ἀναιδέστατος τύραννος ἐμμανὴς ὢν περὶ τὰ εἴδωλα, διατάγματα κατέμπεμψε κατὰ πᾶσαν πόλιν καὶ χώραν κλείεσθαι τὰς ἐκκλησίας τοῖς χριστιανοῖς, ἀνοίγεσθαι δὲ τοὺς ναοὺς τῶν εἰδώλων τοῖς Ἕλλησι μετὰ προθυμίας. Μαξιμιανὸς δὲ ὁ βασιλεὺς θαρρήσας τῇ παρρησίᾳ καὶ τῇ φιλίᾳ, ἥπερ ἐκέκτητο πρὸς τὸν μακάριον Ἀθανάσιον, εὐσεβεστέρως αὐτὸν διακεῖσθαι πρὸς τοὺς μιαροὺς αὐτοῦ θεοὺς ὑπὲρ πάντας τοὺς ἐν τῷ παλατίῳ αὐτοῦ ὑπολαβών, ζώννυσι μὲν αὐτὸν ἔπαρχον πάσης τῆς Αἰγύπτου ἕως τῶν Ἄνω Θηβαίων, ἐκπέμπει δὲ μετὰ πάσης ὑπεροχῆς. Ὁ δὲ μακάριος Ἀθανάσιος προσκαλεσάμενος τοὺς ἐν Χριστῷ ἀδελφοὺς αὐτοῦ Σέργιον καὶ Βάκχον λέγει αὐτοῖς μετὰ δακρύων· "Προσέχετε ἑαυτοῖς, ἀδελφοί μου ἀγαπητοί· ἀπὸ γὰρ τῆς σήμερον ἡμέρας οὐκ ἔτι ὄψεσθέ με ἐν σαρκί, ἀλλ' ἐν τῷ μέλλοντι αἰῶνι, ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ· ἐγὼ γὰρ οἶδα καὶ πέπεισμαι ἐν Κυρίῳ, ὅτι τὸν τοῦ μαρτυρίου ἀναδήσασθαι μέλλω στέφανον". Κλίναντες οὖν τὰ γόνατα ὁμοθυμαδὸν καὶ προσευξάμενοι τῷ Κυρίῳ, καὶ ἀσπασάμενοι ἀλλήλους, κατέπλευσεν ὁ μακάριος Ἀθανάσιος ἐν τῇ Ἀλεξανδρέων πόλει· εἰσελθὼν δὲ πρὸς τὸν ἁγιώτατον ἐπίσκοπον Πέτρον καὶ μάρτυρα τοῦ Χριστοῦ ἠσπάσατο αὐτόν, ἐμπλήσας πάσας τὰς ἐκκλησίας χαρᾶς καὶ εὐφροσύνης· ἀναπλεύσας δὲ ἐπ' Αἴγυπτον τῷ αὐτῷ σχήματι παραπλησίως ἐποίησεν. Καὶ δὴ φή-

4 πολέμους] οὕτως ἀνέγνων τὴν ἐν τῷ κώδικι γραφήν πολ.[ε]. — 6 κῶδ. *γεντιλίων*. — 8 κῶδ. *αὐγούστω*· ἀναγνωστέον ἴσως *Αὐγουστοευφρατησίων*. — 24,26 Κλίναντες - - κατέπλευσεν] σημείωσαι τὸ σχῆμα τῆς συντάξεως.

Digitized by Google

μης τοιαύτης διαδραμούσης περὶ αὐτοῦ εἰς πᾶσαν Αἴγυπτον, φθόνῳ τοῦ μισοκάλου καὶ σκαιοῦ Δαίμονος, ἐνσκήψαντος εἰς τὰς καρδίας τινῶν κακοθελῶν ἀνθρώπων, οὐ δυναμένων ἄλλως τὰ τῆς βασκανίας ἐπίχειρα διαπράξασθαι εἰς αὐτόν, διαβάλλουσι τὸν μακάριον δι' ἀναφορᾶς πρὸς τὸν βασιλέα Μαξιμιανόν, ὡς χριστιανὸν αὐτὸν ὄντα καὶ ὑπέρμαχον τῶν χριστιανῶν.

3. Ὁ οὖν βασιλεὺς δεξάμενος τὴν ἀναφορὰν καὶ ἀναγνούς, καὶ ἐκπλαγεὶς ἐπὶ τῇ τοῦ ἁγίου κατηγορίᾳ, ἔφη πρὸς τοὺς παρεστῶτας αὐτῷ συγκλητικούς· "Οὐκ οἶμαι ἀληθῆ εἶναι τὰ περὶ Ἀθανασίου λεγόμενα, ἐμοῦ τὴν πρὸς αὐτὸν φιλίαν ἀκηλίδωτον ἔχοντος, ἧς οὐκ ἂν κατηξιώθη, εἰ μὴ περὶ τοὺς σεβασμίους θεοὺς σπουδῇ τε καὶ εὐνοίᾳ διέκειτο γνησίως". Καὶ παραχρῆμα μετὰ στρατιωτικῆς χειρὸς ἀναζητηθῆναι τὰ περὶ τοῦ ἁγίου λεχθέντα ἐκέλευσεν. Αὐτῶν δὴ οὕτω πραττομένων, οὐ πολλῶν ἡμερῶν διαδραμουσῶν καὶ τῆς φήμης περὶ αὐτοῦ πλατυνομένης, γράφει ὁ βασιλεὺς πρὸς τὸν ἀνθύπατον διὰ Μαγιστριανοῦ ἐπιστολήν, περιέχουσαν τὸν τύπον τοῦτον· "Μαξιμιανὸς βασιλεύς, τροπαιοῦχος αὐτοκράτωρ, τοῖς τὴν Αἰγυπτιακὴν ἀρχὴν διέπουσι χαίρειν. Πάντας μὲν ἀνθρώπους, μάλιστα δὲ τοὺς τῆς ἐμῆς βασιλείας ὑπασπιστάς τε καὶ δορυφόρους, οἱ σεβάσμιοι θεοὶ ξένους καὶ ἀλλοτρίους εἶναι οὐ βούλονται· διόπερ τὸν μιαρώτατον Ἀθανάσιον ἀγνωμοσύνῃ οἰκείᾳ ἐλεγχθέντα, ὡς τῆς τῶν χριστιανῶν ὄντα θρησκείας καὶ ὡς ἐπὶ πολὺ τούτου περὶ αὐτοῦ φημιζομένου, κελεύομεν ταῖς τῶν νόμων δικαιοτάταις καὶ αὐστηροτάταις ἐρωτήσεσιν ὑποβαλεῖν· καὶ εἰ μὲν μεταμεληθῇ, ἐφ' οἷς ἀφρόνως τετόλμηκε, συγγνώμης ἀξιούσθω, ἐμοῦ τῆς πρὸς αὐτὸν ἐμφύτου παρρησίας καὶ ἀγαπήσεως νῦν ἢ πρότερον ἀκηλιδώτως ἀντεχομένου· ἀπολήψεται γὰρ τὸν τῆς στρατείας καὶ στρατηγικῆς ἀξίας βαθμόν, καὶ τῆς τῶν βασιλικῶν θείων ἡμῶν καὶ ἀξιομνημονεύτων περιβόλων τοῦ παλατίου τιμῆς ἀξιωθήσεται· εἰ δὲ ἐπιμένοι ἐν τῇ αὐτῇ ἀφρονεστάτῃ θρησκείᾳ, τῇ τοῦ ξίφους ἀκμῇ τὰς πρὸς τὸ ζῆν αὐτοῦ ἐλπίδας ἐκκόψατε. Ἔρρωσθε".

27 κῶδ. ἀκιλιδώτως.

Digitized by Google

4. Ὁ δὲ ἀνθύπατος δεξάμενος τοῦ βασιλέως τὰ γράμματα καὶ ἐμφανίσας τῷ ἁγίῳ λέγει αὐτῷ· "Τί σοι ἔδοξε, κύριέ μου Ἀθανάσιε, τοσαύτην τιμὴν καὶ παρρησίαν ἔχοντι πρὸς τὸν καλλίνικον ἡμῶν βασιλέα, ἀποστῆναι ἀπ' αὐτοῦ καὶ γενέσθαι χριστιανὸν καὶ ἀλλότριον τῆς τῶν Ῥωμαίων πολιτείας, ἀπολέσαι δὲ καὶ τὴν τοσαύτην δόξαν καὶ τιμήν"; Ἀποκριθεὶς δὲ ὁ μακάριος Ἀθανάσιος λέγει αὐτῷ· "Ἡ δόξα αὕτη, ἀνθύπατε, πρόσκαιρός ἐστι καὶ παρερχομένη". Ὁ οὖν ἀνθύπατος αἰσχυνόμενος τὸν μακάριον, καὶ θέλων ἐπιστρέψαι τὸν λογισμὸν αὐτοῦ, λέγει αὐτῷ· "Δεῦρο, κύριέ μου Ἀθανάσιε· κάτελθε ἐν τῷ Κλύσματι — ἀκούω γὰρ πολλοὺς χριστιανοὺς εἶναι ἐκεῖ — καὶ κλεῖσον τὰς ἐκκλησίας τὰς ἐν τῇ πόλει ἐκείνῃ· καὶ ἐὰν τοῦτο ἀκουστὸν γένηται πρὸς τὸν βασιλέα, πλείονος τιμῆς τῆς προτέρας σε ἀξιώσει". Ὁ δὲ ἅγιος ἀποκριθεὶς λέγει αὐτῷ· "Ἐγὼ κατέρχομαι καὶ ἐλπίζω εἰς τὸν δεσπότην μου Χριστόν, ὅτι ἡ ἐπιθυμία μου πληροῦται". Καὶ παραυτίκα εἴχετο τῆς ὁδοῦ τῆς ἐπὶ τὸ Κλύσμα διὰ τῆς ἐρήμου ὁ μακάριος· προσεγγίσας δὲ τῷ κάστρῳ τοῦ Κλύσματος ὡς ἀπὸ σημείων ὀλίγων, καὶ στὰς ἐν τόπῳ τινί, ἐν ᾧ νῦν ἵδρυται ὁ τίμιος τύπος τοῦ Σταυροῦ, προσηύξατο ἐκτενῶς μετὰ δακρύων, λέγων οὕτως· "Δέσποτα θεὲ παντοκράτορ, ὁ φῶς οἰκῶν ἀπρόσιτον, ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται, ὃν τρέμει τὰ σύμπαντα, ὁ τεχθεὶς ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, ὁ διαγαγὼν τὸν λαὸν τῶν Ἑβραίων διὰ τῆς Ἐρυθρᾶς ταύτης θαλάσσης, ἐλέησον τὴν ταπεινήν μου ψυχὴν καὶ συγχώρησον τὰ πλημμελήματά μου, καὶ τελείωσόν μου τὸν δρόμον ἐν τῷ κάστρῳ τούτῳ· στήριξον δὲ τὰς ἁγίας σου ἐκκλησίας ἐν τῇ ἁγίᾳ καθολικῇ καὶ ἀποστολικῇ καὶ ὀρθοδόξῳ πίστει, ὅτι ηὐλόγηταί σου τὸ πανάγιον ὄνομα, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, εἰς τοὺς αἰῶνας. Ἀμήν". Εἰσῆλθεν εἰς τὸ Κλύσμα καὶ εὐθέως τὴν γενέθλιον ἑορτὴν ἐπετέλεσε τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν πολλῇ χαρᾷ τὰς ἐκκλησίας τοῦ Χριστοῦ ἐφαίδρυνε.

20 κῶδ. *ἀπρόσητον* || φῶς οἰκῶν ἀπρόσιτον] Τιμόθ. 1, ς', 16. — 21 ὃν - - ἀνθρώπων] Ἰωάν. α', 18 || τρέμει τὰ σύμπαντα] Ἐσδρ. δ', 36.

5. Καὶ φήμης περὶ αὐτοῦ δραμούσης, ὡς ὅτι περ ὁ ἔνδοξος Ἀθανάσιος τὰ τῶν χριστιανῶν αὔξει, φοβηθεὶς ὁ ἀνθύπατος παρεγένετο καὶ αὐτὸς ἐν τῷ Κλύσματι· παραχρῆμα δὲ δημοσίᾳ προέθηκε τὰ διατάγματα τοῦ βασιλέως. Πολὺς οὖν γέγονε θόρυβος, μάλιστα τῶν ἐκκλησιῶν κλεισθεισῶν· ὁ δὲ ἀνθύπατος ἤρξατο κολακεύειν τὸν μακάριον, καὶ λέγει αὐτῷ· "Διατί, κύριέ μου Ἀθανάσιε, εἰς τοσαύτην αἰσχύνην καὶ ἐξαγωγὴν ἔδωκας σεαυτόν"; Ὁ δὲ μακάριος Ἀθανάσιος λέγει πρὸς αὐτόν· "Ἤδη σοι εἶπον καὶ πάλιν λέγω, ὅτι ἡ αἰσχύνη αὕτη πρόξενός μοι ζωῆς αἰωνίου γίνεται. Ποίει οὖν, ὃ θέλεις· ἐγὼ Δαίμοσιν οὐ θύω, οὔτε μὴ προσκυνῶ· διὰ τοῦτο γὰρ πάντα κατέλιπον καὶ πᾶσαν τὴν δόξαν τοῦ ματαίου τούτου βίου, ἵνα Χριστοῦ συγκληρονόμος γένωμαι. Αἴθε δὲ καὶ σὺ ἤκουσάς μου σήμερον, καὶ προενόησα ἄν σοι ταύτην τὴν αἰώνιον ζωὴν πρὸς τὸν δεσπότην μου καὶ βασιλέα Χριστόν". Ὁ δὲ ἀνθύπατος λέγει· "Πείσθητί μοι καὶ θῦσον τοῖς θεοῖς, πειθήνιος γενόμενος τῷ δόγματι τοῦ αὐτοκράτορος ἡμῶν βασιλέως, ἐπεὶ ἀναγκάζεις με, ἥξαντα τοῖς προστάγμασιν αὐτοῦ, ἐπιλαθόμενον πάσης ἐνδόξου σου ὑπεροχῆς, ἄρξασθαι τῶν κατὰ σοῦ τιμωριῶν". Ὁ δὲ μακάριος Ἀθανάσιος ἔφη πρὸς αὐτόν· "Διαφόρως σοι εἶπον καὶ ὃ ἔχω πάλιν λέγω· ἐγὼ Δαίμοσιν οὐ θύω, οὐδὲ τῷ πατρὶ ὑμῶν τῷ Διαβόλῳ προσκυνῶ, οὔτε τοῖς προστάγμασι πείθομαι τοῦ ἀλαζόνος ὑμῶν βασιλέως Μαξιμιανοῦ, ἀλλὰ τῷ ἐμῷ βασιλεῖ Χριστῷ θυσίαν αἰνέσεως μετὰ πάσης σπουδῆς ἀναπέμπω καθ' ἑκάστην ἡμέραν".

6. Τότε ὁ ἀνθύπατος πλησθεὶς θυμοῦ λέγει πρὸς αὐτόν· "Θῦσον τὸ λοιπὸν καὶ ἀπαλλάγηθι τῶν μενουσῶν σε βασάνων". Ὁ δὲ ἅγιος λέγει πρὸς αὐτόν· "Ὃ βούλει, ποίει". Ὁ δὲ ἀνθύπατος λέγει· "Οὐδὲ τὸ πρὸς τοὺς γονεῖς σου φίλτρον κάμπτει σε"; Ὁ δὲ μακάριος Ἀθανάσιος λέγει· "Οὐχί, διότι ἡ πρὸς τὸν Θεὸν φιλία μείζων ἐστί· λέγει γὰρ ἡ θεία Γραφή· ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης ἰσχύος σου".

11 κῶδ. κατέλειπον. — 12 Χρ. συγκληρονόμος] Ῥωμ. η', 17. — 23 θυσίαν αἰνέσεως] Ἑβρ. ιγ', 15. — 30 31 Δευτερ. ϛ', 5.

Digitized by Google

Ὁ οὖν ἀνθύπατος λέγει· "Ποῖον θεὸν ἔχεις ἢ λέγεις"; Τότε ὁ ἅγιος Ἀθανάσιος ἀνατείνας τὰς χεῖρας εἰς τὸν οὐρανὸν καὶ τοὺς ὀφθαλμοὺς εἶπεν· "Τοῦτον τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, τὸν μόνον ὄντα καὶ διαμένοντα εἰς τοὺς αἰῶνας". Οἱ οὖν δικολόγοι ἐκώλυον αὐτὸν λέγοντες· "Τί ἀντιτάσσῃ τῷ ἀνθυπάτῳ"; Ὁ δὲ μακάριος Ἀθανάσιος λέγει· "Πρὸς ἃ ἐπερωτᾷ με, ἀποκρίνομαι αὐτῷ· οὐ γὰρ φρονεῖ τὰ τοῦ Θεοῦ, οὔτε δὲ τὰ τῶν ἀνθρώπων, ἀλλὰ τὰ τῶν Δαιμόνων". Τότε ὀργισθεὶς ὁ ἀνθύπατος λέγει πρὸς αὐτόν· "Ὅσα ἠθέλησας, ὕβρισας, μὴ ὑβρισθεὶς παρ' ἐμοῦ· ἀλλ' ἀνέχομαί σου, μόνον θῦσον τοῖς ἡμετέροις θεοῖς". Ὁ δὲ μακάριος Ἀθανάσιος λέγει· "Μὴ φρεναπάτα σεαυτόν· οὐδεὶς γὰρ ἀνθρώπων, λογισμοῦ κύριος ὤν, θύει Δαίμοσιν, οὔτε μὴν προσκυνεῖ, καθὼς σὺ κελεύεις ἐμὲ ποιεῖν· ἐὰν γὰρ μαστιχθῶ ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ, καύχημά μοί ἐστιν· ἐν τούτῳ γὰρ μακαριοῦμαι". Λέγει αὐτῷ ὁ ἀνθύπατος· "Ὁρῶ σε ὅτι κατὰ τὴν προσοῦσάν σοι πρώην τῆς ὑπεροχῆς ἀξίαν καὶ τιμὴν δικαιώματα θέλοντα λέγειν καὶ μὴ βουλόμενον θῦσαι". Ὁ δὲ ἅγιος Ἀθανάσιος λέγει "Ἤκουσα τοῦ μακαρίου Παύλου λέγοντος τοῦ ἀποστόλου, ὅτι ἡ σοφία τοῦ κόσμου τούτου μωρία ἐστὶ παρὰ τῷ Θεῷ· γέγραπται γάρ· Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω". Ὁ δὲ ἀνθύπατος λέγει· "Οὐ γέγραπται ἐν τοῖς βίβλοις ὑμῶν Ἀπόδοτε τὰ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ"; Ὁ δὲ μακάριος Ἀθανάσιος λέγει· "Καλῶς καὶ ὀρθῶς εἶπας ταῦτα" ⟨εἶπεν⟩, "διότι μακροθυμεῖ ἐφ' ὑμᾶς καὶ ἀνέχεται ὑμῶν". Λέγει αὐτῷ ὁ ἀνθύπατος· "Ἕως πότε ἐπιμένεις τῇ ἀπειθείᾳ; ἀνάνηψον ὀψέ ποτε, τρισάθλιε, καὶ θῦσον τοῖς θεοῖς, καὶ ἀπαλλάγηθι τῶν μενουσῶν σε βασάνων". Ὁ ἅγιος Ἀθανάσιος λέγει· "Οὐ θύω, ἀνθύπατε, διότι τῆς ψυχῆς μου φείδομαι· ὅτι δὲ οὐ μόνον οἱ Χριστιανοὶ τῶν ψυχῶν αὐτῶν φείδονται, ἀλλὰ καὶ οἱ Ἕλληνες, οὐκ ἀγνοεῖς· πόσοι γὰρ ἐκ τῶν Ἑλλήνων καταφρονήσαντες τῆς ματαίας εἰδωλομανίας ἠξιώθησαν τοῦ αἰωνίου χαρίσματος, οὗ ἐγὼ ἐπιθυμῶ ἀξιωθῆναι καὶ ἑτοίμως ἔχω

19/21 Κορινθ. 1, α', 18-20. — 22/23 Ματθ. κβ', 22.

διὰ τῶν σῶν κολάσεων". Ὁ ἀνθύπατος λέγει· "Οὐκοῦν ἄνευ βασάνων οὐ θέλεις θῦσαι καὶ ἀπαλλαγῆναι, ἢ σκέψιν ἐπιζητεῖς"; Ὁ δὲ μακάριος Ἀθανάσιος λέγει· "Ἐσκεψάμην διαφόρως καὶ τοῦτο εἱλάμην, Χριστῷ συγκληρονόμος γενέσθαι· ἔχομεν γὰρ τὴν παράκλησιν ἀπὸ τοῦ Θεοῦ τοῦ εἰπόντος· Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ τοῦ πυρός. Καὶ πάλιν λέγει· Ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος· διὰ τοῦτο οὔτε σὲ φοβοῦμαι, οὔτε τὰς βασάνους σου". Ὁ ἀνθύπατος λέγει· "Οὐκ οἶδας, ὅτι ὁ ἀντιτασσόμενος τοῖς προστάγμασι τῶν αὐτοκρατόρων μεγάλαις τιμωρίαις ὑποβληθήσεται"; Ὁ ἅγιος Ἀθανάσιος λέγει· "Τιμωρηθήσῃ σὺ μετὰ τοῦ βασιλέως σου Μαξιμιανοῦ τοῦ ἀλάστορος καὶ τοῦ πατρός σου τοῦ Διαβόλου, ἐχθρὲ τοῦ Θεοῦ καὶ πάσης δικαιοσύνης".

7. Τότε ὁ ἀνθύπατος φοβηθείς, ὅτι ἐβλασφήμησε κατὰ τῶν θεῶν καὶ τοῦ βασιλέως, ἐκέλευσε ξίφει τὴν κεφαλὴν αὐτοῦ τμηθῆναι· ὁ δὲ ἅγιος ἀκούσας τὴν ἀπόφασιν παρεκάλεσε τὸν ἀνθύπατον ἐνδοῦναι αὐτῷ, ὅπως προσεύξηται. Καὶ στὰς κατὰ ἀνατολάς, ἀναβλέψας εἰς τὸν οὐρανόν, εἶπεν· "Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς δεήσεώς μου. Εὐχαριστῶ σοι, Κύριε ὁ Θεός, ὅτι κατηξίωσάς με εἰς τὸ στάδιον τοῦτο ὁμολογῆσαι τὸ ὄνομά σου τὸ ἅγιον ἐνώπιον Ἀγγέλων καὶ ἀνθρώπων. Σὺ οὖν ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς, ὧν ἐν ἀγνωσίᾳ ἔπραξα, ἀλλὰ συγχώρησόν μοι καὶ ἀνάπαυσον τὴν ψυχήν μου μετὰ τῶν ἁγίων, τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων σοι· σοὶ γὰρ παρατίθημι τὸ πνεῦμά μου. Ἐλυτρώσω με, Κύριε ὁ Θεὸς τῆς ἀληθείας· δὸς εἰρήνην τῷ κόσμῳ καὶ παῦσον τὸν χειμῶνα τὸν κατὰ τῶν ἐκκλησιῶν τῶν ἁγίων σου, δέσποτα Θεὲ παντοκράτορ· σὺ γὰρ εἶπας, Κύριε· Ἐπὶ τῇ πέτρᾳ

5/8 Ματθ. ι', 28. — 8/9 Ματθ. ι', 38. — 20/21 Ψαλμ. λθ', 1. — 23 ὁμολογῆσαι - - Ἀγγέλων] Ἀποκαλ. γ', 5. — 24 ἁμαρτίας - μνησθῇς] Ψαλμ. κδ', 7. — 27 παρατίθημι - ἀληθείας] Ψαλμ. λ', 6.

Digitized by Google

ταύτη τῆς ὁμολογίας οἰκοδομήσω μου τὴν ἐκκλησίαν καὶ πύλαι Ἅδου οὐ κατισχύσουσιν αὐτῆς. Δός, Κύριε, ὑπομονὴν καὶ ἀνδρίαν τοῖς διὰ τὸ ὄνομά σου διωκομένοις· ἀνάστησον δέ, κύριε Ἰησοῦ Χριστέ, τὰ σκῆπτρα τῶν χριστιανῶν βασιλέων ἔν τε τῇ Ῥωμαίων πόλει καὶ Αἰθιοπίᾳ, εἰς δόξαν τοῦ σοῦ ὀνόματος· δώρησαι δὲ τὴν ἀκλινῆ πίστιν καὶ ὀρθόδοξον τῷ τόπῳ τούτῳ ἕως τοῦ αἰῶνος, ἐνοικίσας ἱεροὺς ἄνδρας ἐν τῇ ἐρήμῳ ταύτῃ, οἵτινες νυκτὸς καὶ ἡμέρας δοξάσουσι τὸ ὄνομά σου τὸ ἅγιον. Χάρισαι, κύριε Ἰησοῦ Χριστέ, ὁ καλέσας με εἰς τὸν κλῆρον τῶν μαρτύρων, παντὶ ἀνθρώπῳ ἐπιτελοῦντι εἰς μνήμην τὴν ἡμέραν τῆς τελειώσεώς μου τῶν αἰωνίων ἀγαθῶν τὴν ἀπόλαυσιν· ἔμπλησον τοὺς οἴκους αὐτῶν τῆς παρὰ σοῦ εὐλογίας· χαρᾶς καὶ εὐφροσύνης πνευματικῆς τὰς καρδίας αὐτῶν πλήρωσον· τοῖς νοσηλευομένοις αὐτῶν ὑγείας ἀξίωσον, τοῖς δὲ πλέουσιν, ἢ ὁδοιποροῦσιν, ἢ ἐν ἀνάγκαις καὶ περιστάσεσι περιπίπτουσι καὶ ἐπικαλουμένοις τοῦ σοῦ θεράποντος τὸ ὄνομα, λυτρωτὴς καὶ σκεπαστὴς γενοῦ· σὺ γὰρ εἶπας, Κύριε, Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν· φιλάνθρωπος γὰρ ὢν φιλανθρωπίᾳ πάντας ἀνθρώπους ἐλεεῖς τῇ χάριτί σου. Εὐχαριστῶ σοι, Κύριε ὁ Θεός, ὁ πληρώσας μου τὸν δρόμον καὶ συγκαταριθμήσας τῷ χορῷ τῶν ἁγίων μαρτύρων. Εὐλογῶ καὶ ὑπερυψῶ καὶ δοξάζω σὲ τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα, πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν".

8. Μετὰ δὲ τὸ πληρῶσαι αὐτὸν τὴν εὐχήν, κατασφραγίσας ἑαυτόν, καὶ ὑποστρωθείσης σινδόνος ἐπιβάς, θείς τε τὰ γόνατα, ἀπετμήθη τὴν κεφαλὴν ξίφει, παραδοὺς τὴν ψυχὴν τοῖς ἁγίοις Ἀγγέλοις. Ἐτελειώθη δὲ ὁ ἅγιος τοῦ Χριστοῦ μάρτυς Ἀθανάσιος μηνὶ ἰουλίῳ ὀκτωκαιδεκάτῃ, κατὰ δὲ Αἰγυπτίους μηνὶ Ἐπιφὶ κδ', ἐν τῷ Κλύσματι, πρὸς τῇ Ἐρυθρᾷ Θαλάσσῃ, βασιλεύοντος τῆς Ῥωμαίων πολιτείας Μαξιμιανοῦ, κατὰ δὲ ἡμᾶς βασιλεύοντος τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1/2 Ἐπὶ τῇ πέτρα - - αὐτῆς] Ματθ. ις', 18. — 6/7 κῶδ. *ἐνοικήσας*. — 13 κῶδ. *νοσιλευομένοις*. — 17 Ματθ. ζ', 7. Λουκᾶ ια', 9. — 20 κῶδ. *χωρῷ*. — 27 κωδ. *ἐπιφῇ*.

XIII.

ΙΟΥΛΙΩΙ Λ'.

Βίος καὶ πολιτεία τῶν ὁσίων πατέρων

ΠΑΥΛΟΥ ΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΑΙ ΙΩΑΝΝΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ.

(Cod. Coislin. 303, f. 206-217).

1. Δεῦτε, ἀδελφοί, δοξάσωμεν Χριστὸν τὸν Θεὸν ἡμῶν, τὸν τῇ πολλῇ αὐτοῦ εὐσπλαγχνίᾳ ἐλευθερώσαντα "ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου" καὶ τῇ ἐνσάρκῳ αὐτοῦ οἰκονομίᾳ ἐπιστρέψαντα ἡμᾶς εἰς τὸν Παράδεισον, ἀφ' οὗ ἡμᾶς ἐξήγαγον οἱ προπάτορες ἡμῶν, παρακούσαντες τῆς ἐντολῆς αὐτοῦ, καὶ τῷ ζωοποιῷ αὐτοῦ σταυρῷ καταλύσαντα "τὸ μεσότοιχον τοῦ φραγμοῦ", ὅπερ ἐξ ἀρχῆς ὁ ἐχθρὸς ἀπετείχισεν ἔμπροσθεν ἡμῶν, καὶ τῇ εἰς Ἅδου αὐτοῦ καταβάσει ἐλευθερώσαντα ἡμᾶς ἐκ τῆς αἰχμαλωσίας τοῦ πονηροῦ, καὶ τῇ αὐτοῦ ἐκ νεκρῶν ἀναστάσει πιστωσάμενον τὴν ἀνάστασιν καὶ τὸν θάνατον πατήσαντα καὶ συναναστήσαντα Ἀδὰμ τὸν πρωτόπλαστον, καὶ τῇ εἰς οὐρανοὺς αὐτοῦ ἀνόδῳ συνανυψώσαντα ἐν ἑαυτῷ τὴν ἡμετέραν φύσιν καὶ συγκαθίσαντα ἐκ δεξιῶν τοῦ πατρός, ᾧ παρίστανται τὰ ἄπειρα πλήθη τῶν Ἀγγέλων καὶ τὰ Χερουβὶμ καὶ τὰ

Ἐπιγραφή. Τὸ «ἰουλίῳ λ'» προσέθηκεν ἐν τῷ κώδικι χεὶρ ἑτέρα, οὐχ ἡ τοῦ καλλιγράφου. Σημειωτέον, ὅτι τοῦτο τὸ κείμενον οὐχ εὑρέθη τέλειον ἐν τῷ κώδικι· οὐδὲ πάλιν ἕτερον αὐτοῦ ἰσότυπον εὑρέθη μέχρι τοῦδε ἐν ἄλλῳ τινὶ κώδικι· σώζεται μέντοι συριστὶ τέλειος ὁ βίος τῶν ὁσίων Παύλου καὶ Ἰωάννου ἔν τισι κώδιξι τοῦ Βρεττανικοῦ Μουσείου, περὶ ὧν ὅρα W. Wright, Catalogue of syriac manuscripts in the British Museum. London 1870-1872, σ. 650, 1087, 1090.

2/3 Γαλάτ. γ', 13. — 6 Ἐφεσ. β', 14 || κωδ. *μεσότυχον*.

Digitized by Google

Σεραφίμ, μετὰ φόβου καὶ τρόμου ἀσιγήτως δοξολογοῦντα· αὐτὸς γάρ ἐστιν ὁ πάντων Θεὸς καὶ αὐτῷ πᾶν γόνυ κάμπτει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ αὐτῷ ἐξομολογεῖται πᾶσα γλῶσσα. Αὐτὸς τῇ πολλῇ αὐτοῦ εὐσπλαγχνίᾳ ἀνελθὼν εἰς οὐρανὸν ἐξαπέστειλεν ἡμῖν τὴν χάριν τοῦ παναγίου πνεύματος, δι' ἧς ἠξιώθημεν "τέκνα Θεοῦ γενέσθαι" καὶ πατέρα καλεῖν τὸν τῶν ὅλων Θεόν· αὐτὸς ἡμᾶς ἠλευθέρωσεν ἐκ τῆς πλάνης τῶν εἰδώλων καὶ πρὸς θεογνωσίαν ὡδήγησεν, καὶ εἰς προσκύνησιν τοῦ τιμίου αὐτοῦ σταυροῦ ἀνεκαλέσατο, στήλας ἡμῖν θεοφεγγεῖς συστησάμενος, ἄνδρας θεοφόρους καὶ δυνατοὺς ἐν Θεῷ, κατὰ τὸ αὐτοῦ θέλημα πορευομένους καὶ τῇ ἀρίστῃ αὐτῶν πολιτείᾳ τὸ σκότος τῆς πλάνης ἀπελαύνοντας καὶ φωτίζοντας ἡμῶν τὰ κατὰ Θεὸν διαβήματα, ὅπως γενώμεθα ἐκ σαρκικῶν πνευματικοὶ καὶ ἐκ χοϊκῶν οὐράνιοι καὶ ἐξ ἀνθρώπων θεοί· ὧν εἷς ὑπῆρχε καὶ ὁ μακάριος Παῦλος ὁ ἐπίσκοπος, οὗτινος τὸν βίον ἐκθέσθαι ὑμῖν δίκαιον ἐκρίναμεν καὶ τὰς αὐτοῦ ἀρετὰς διηγήσασθαι, πρὸς ὠφέλειαν τῶν ἐντυγχανόντων· ἔλαμψε γὰρ ὡς ἀληθῶς καὶ αὐτὸς ὥσπερ ἥλιος ἐν κόσμῳ καὶ πολλοὺς ἐφωταγώγησεν.

2. Οὗτος ὁ θεοφόρος ἀνὴρ ὥρμητο μὲν ἐκ τοῦ Πόντου, ἐκ πόλεως Ἀτταλείας λεγομένης· ἐκ παιδικῆς δὲ ἡλικίας τῷ φόβῳ τοῦ Θεοῦ προσηλώσας αὐτοῦ τὸν νοῦν καὶ τῇ ἡσυχίᾳ καὶ ἠρεμίᾳ σχολάζων προέκοπτεν ἐν πάσῃ ἀρετῇ· καὶ τοσοῦτον διέλαμψεν ἐν πᾶσι τοῖς κατὰ Θεὸν πλεονεκτήμασιν, ὥστε αὐτὸν καὶ πρὸς ποίμανσιν λαοῦ κληθῆναι καὶ ἐπίσκοπον χειροτονηθῆναι βίᾳ τῆς ἰδίας πόλεως. Πεντεκαίδεκα μόνας ἡμέρας δὲ ποιήσας ἐν τῷ τῆς ἐπισκοπῆς θρόνῳ, ὡς εἶδεν τὴν πολλὴν σύγχυσιν καὶ ταραχὴν τὴν ἐν τῇ πόλει, ἐλυπήθη λίαν. Ῥίψας οὖν ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ ἐδέετο μετὰ δακρύων λέγων· "Κύριε Ἰησοῦ Χριστέ, ὁ μόνος φιλάνθρωπος, ὁ ὑψωθεὶς ἐπὶ σταυροῦ, ἵνα ἡμᾶς ὑψώσῃς ἐκ τῶν χαμαιζήλων παθῶν, φώτισον τὴν ἐσκοτισμένην μου ψυχὴν καὶ δεῖξόν μοι σωτηρίας ὁδόν, δι' ἧς τὴν πρὸς σὲ πορείαν ποιήσομαι.

2,4 πᾶν γόνυ - - γλῶσσα] Ἠσαΐου με', 23, 24. — 6 Ἰωάν. α', 12. — 20 κώδ. *ἀταλίας*. — 31 σωτηρίας ὁδὸν] Πράξ. ις', 17.

σὺ γάρ εἶ ὁ Θεός μου καὶ σὲ ποθῶ, καὶ σὲ ζητῶν ἐξελήλυθα, ὅπως τύχω τῆς ἐκ δεξιῶν σου στάσεως". Καὶ ταῦτα καὶ τούτων ὅμοια εἰπὼν καὶ προσευξάμενος ἀφύπνωσεν, καὶ ἦλθεν αὐτῷ φωνὴ λέγουσα· "Παῦλε, Παῦλε, εἰ δύνασαι γενέσθαι ὡς ὁ στῦλος τοῦ πυρός, ὅστις προεπορεύετο τῆς παρεμβολῆς τῶν υἱῶν Ἰσραήλ, δούλευσον τῇ ἱερωσύνῃ· διὰ γὰρ τῆς ἱερωσύνης ἐξαλείφονται αἱ ἁμαρτίαι τοῦ κόσμου". Τούτων ἀκούσας ἐξανέστη ἔμφοβος λίαν, καὶ αὐτῇ τῇ ὥρᾳ ἐπιθεὶς τὸ ἴδιον ἱμάτιον ἐπὶ τὸν ὦμον ἐξῆλθε λάθρᾳ τῆς πόλεως, καὶ διελογίζετο ἐν ἑαυτῷ λέγων· "Δεῖ με ἀπελθεῖν εἰς χώραν μακράν, ἔνθα οὐδείς με γινώσκει".

3. Καὶ τῇ χάριτι τοῦ Θεοῦ ὁδηγούμενος, τῇ συνοδευούσῃ πάντοτε τοῖς αὐτὸν ἀγαπῶσιν, ἦλθεν εἰς Ἔδεσσαν· εἶχε γὰρ τότε ἡ Ἔδεσσα ἐπίσκοπον ἅγιον, καλούμενον Ῥαββουλᾶν. Μὴ ἐπιστάμενος δὲ ὁ Παῦλος ἐργόχειρόν τι ἐργάσασθαι, ἐργατείας ἔκαμνεν καὶ ἐμίσθου ἑαυτὸν καθ' ἡμέραν εἰς ἑκατὸν φόλλεις καὶ ἓν κολλύριον ἄρτου· καὶ τὸν μὲν ἄρτον ἤσθιεν, τὸ δὲ κέρμα συνῆγεν καὶ κατὰ Παρασκευὴν ἠγόραζεν ἄρτους καὶ ἄλλα τινὰ βρώσιμα, καὶ ἐξήρχετο πρὸς τοὺς μοναχοὺς τοὺς οἰκοῦντας ἐν τῇ ἐρήμῳ καὶ ἐν τοῖς ὄρεσι, καὶ ἐμέριζεν αὐτοῖς καὶ ἔλεγεν ἐν ἑαυτῷ· "Ἐξέρχομαι ἰδεῖν τὸν Θεὸν ἐν τοῖς μοναχοῖς τοῖς ἰδιάζουσιν ἐν ταῖς ἐρήμοις καὶ ἐν τοῖς ὄρεσιν· ἐν αὐτοῖς γὰρ κατοικεῖ ὁ Θεός". Κατὰ δὲ Κυριακὴν ἠγόραζεν ὀπώρας καὶ ἀπῄει εἰς τὸ νοσοκομεῖον καὶ διεμέριζε τοῖς νοσοῦσι καὶ τοῖς ξένοις· ἔλεγε γάρ, ὅτι "Δεῖ με ποιεῖν τὸ θέλημα τοῦ ἐμὲ πλαστουργήσαντος, καὶ αὐτὸς πρόνοιαν πολλὴν ποιεῖται τῶν νοσούντων καὶ τῶν ξένων". Καὶ οὕτως ἐποίει διηνεκῶς. Ὁ δὲ φιλάνθρωπος Θεός, ὁ ἀντιλαμβανόμενος τῶν ἀγαπώντων αὐτὸν ἐν παντὶ τόπῳ, ἠθέλησε μικρόν τι ἀποκαλύψαι τῶν ἀρετῶν τοῦ δούλου αὐτοῦ. Ἦν δὲ ἐν αὐτῇ τῇ πόλει Ἐδέσσῃ

- -

2 τούτων] οὕτως ἐν τῷ κώδικι. — 3 κώδ. *φωνῇ*. — 4 στῦλος τοῦ πυρός] Ἐξόδ. ιγ', 21, 22. — 14 κώδ. *ἐργατίας*. — 16 κώδ. *εἴσθιεν*. — 28 Ἐδέσσῃ] ὧδε λήγει τὸ 207-ον φύλλον τοῦ κώδικος· μεθ' ὃ ὑπάρχει χάσμα· ἀλλά τις παλαιὸς τοῦ κώδικος ἀναγνώστης ἔγραψε τὸ «ζήτ(ει) φύλλον β'», ἐννοῶν τὸ 209-ον, ὁπόθεν τὸ κείμενον ἄρχεται ἀπὸ τῶν λέξεων « - - πληρώσας τὴν δέησιν» κτλ.

Digitized by Google

4. - - - - - πληρώσας τὴν δέησιν· καὶ λέγει τῷ Ἰωάννῃ “Τίνος χάριν, ἀδελφέ, ἐβόησας, θεασάμενος τὸν κοινὸν ἐχθρὸν τοῦ γένους ἡμῶν, καὶ τίς σε ἤγαγεν ἐνταῦθα; ἐν ἀληθείᾳ μαθητὴς ὑπάρχεις τοῦ Χριστοῦ· λέγω δέ σοι, ὅτι, ὁπηνίκα ἡ φωνή σου ἦλθεν εἰς τὰ ὦτά μου, εἶδον δύο ἄνδρας λευχειμονοῦντας καὶ σὲ ἐν τῷ μέσῳ αὐτῶν, οἵτινές σοι ἔλεγον, Ἐνδυναμοῦ, Ἰωάννη, καὶ μὴ φοβοῦ· τῇ γὰρ δυνάμει τοῦ Κυρίου σου πατήσεις ἐπὶ ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Καὶ νῦν δεῦρο, ἀδελφέ, κατατρυφήσωμεν τοῦ Κυρίου καὶ ἀνοίξωμεν τὸ στόμα ἡμῶν”. Καὶ αὐτῶν εὐχομένων καὶ τὴν εὐχὴν διατεινόντων ἐπὶ ἱκανὴν ὥραν, περιεκύκλωσεν αὐτοὺς φαντασία διαφόρων ἑρπετῶν, θηρίων, ὄφεων καὶ ἀσπίδων, καὶ σὺν τούτοις πᾶσι λεόντων καὶ λεοπάρδων, ὁρμώντων καὶ ἐπιπηδώντων εἰς τὰ πρόσωπα αὐτῶν. Τότε οἱ δοῦλοι τοῦ Χριστοῦ προσέσχον εἰς οὐρανόν, τὴν ἐκεῖθεν βοήθειαν ἐπικαλούμενοι· καὶ ὑψώσας ὁ θεοφόρος Παῦλος τὴν φωνὴν αὐτοῦ προσηύξατο λέγων· “Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῶν ἁγίων σου προφητῶν καὶ δικαίων ὑπερασπίσας, ὁ καθυποτάξας τοῖς ἁγίοις σου ἀποστόλοις πᾶσαν τὴν τῶν Δαιμόνων ἐνέργειαν, σὺ καὶ νῦν, Κύριε, τὴν φαντασίαν ταύτην κατάργησον καὶ ἀποδίωξον ἀφ' ἡμῶν τῶν δούλων σου πᾶσαν ἐπιβουλὴν τοῦ ἐχθροῦ”. Καὶ παραυτὰ τὰ μὲν ἑρπετὰ ἐξέλιπον, ἔμειναν δὲ τὰ θηρία ἱστάμενα εἰς τὴν θύραν τοῦ σπηλαίου, ὅπως ἐνεργήσῃ ἐν αὐτοῖς ἡ εὐχὴ τοῦ μακαρίου Ἰωάννου, ὅστις θεασάμενος τὴν ἀναίδειαν αὐτῶν καὶ τὴν ἐπιμονὴν ὕψωσεν αὐτοῦ τὸ ὄμμα εἰς οὐρανοὺς καὶ εἶπεν· “Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, τὸ τῶν χριστιανῶν καύχημα, σὺ εἶ ὁ περιβαλλόμενος τὸν οὐρανὸν νέφεσι· σὺ εἶ ὁ ἐνδεδυμένος φῶς ὡς ἱμάτιον καὶ γυμνὸς παγῆναι ἐν σταυρῷ καταδεξάμενος· σὺ καθυπέταξας τῷ προπάτορι Ἀδὰμ πᾶσαν αἰσθητὴν φύσιν· σὺ καὶ τανῦν, Κύριε, καθυπόταξον τοῖς δούλοις σου τὰ θηρία ταῦτα, ἐάν τε ἀληθῆ σώματά εἰσιν, ἐάν τε φαντασία”.

5 κώδ. *λευχιμονοῦντας*. — 7/8 Λουκᾶ ι', 19. — 13 κώδ. *ἐπιπιδόντων*. — 26 Ψαλμ. ρμς', 8 «τῷ περιβάλλοντι τὸν οὐρανὸν ἐν νεφέλαις». — 27 Ψαλμ. ργ', 2 «ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον».

*

Digitized by Google

Τότε ἦλθεν αὐτῷ φωνὴ λέγουσα· "Οὐκ ἀνέγνωτε τὸ γεγραμμένον, ὅτι Τὸ ἔλεός μου οὐ μὴ ἀποστήσω ἀπὸ σοῦ; Καὶ πάλιν· Παρεμβαλεῖ Ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐτούς; Μὴ οὖν τοῦ λοιποῦ φοβηθῆτε τὸν πονηρόν· ἐγὼ γάρ εἰμι μεθ' ὑμῶν". Καὶ ἐν αὐτῇ τῇ ὥρᾳ ἀφανῆ γεγόνασι τὰ θηρία.

5. Ταῦτα θεασάμενος ὁ θεσπέσιος Παῦλος προσέπεσε τῷ μακαρίτῃ Ἰωάννῃ λέγων· "Εὐχαριστῶ τῷ Κυρίῳ, τῷ καταξιώσαντί με εὐλογηθῆναι παρὰ τοῦ δούλου αὐτοῦ". Ἀποκριθεὶς δὲ ὁ Ἰωάννης λέγει αὐτῷ· "Τί ἀγαθὸν ἰδὼν εἰς ἐμέ, ἀδελφέ, λέγεις μοι ταῦτα"; Ἀπεκρίθη αὐτῷ ὁ Παῦλος· "Εἶδον, ὅτι ἔχεις ἐν σπηλαίῳ δώδεκα ἁγίους καὶ τρέφεις αὐτοὺς ἄρτῳ καὶ ὕδατι, ὅπως κοινωνὸς αὐτῶν γένῃ ἐν τοῖς ἀγῶσιν αὐτῶν. Ναὶ λέγω σοι, ἀδελφέ, ὅτι κοινωνὸς ὑπάρχεις ἐν τοῖς ἔργοις αὐτῶν καὶ τὰ ἔργα σου μείζονα τῶν ἔργων αὐτῶν εἰσι· πολλὰ γὰρ εἴδη ἀρετῶν ἐκτήσω ἐνώπιον τοῦ Χριστοῦ". Τούτων ἀκούσας ὁ ἐν ἁγίοις Ἰωάννης λίαν ἐθαύμασε, πῶς ἀποκαλύπτει τὸ πνεῦμα τὸ ἅγιον τὰ μυστήρια τοῖς ἀξίοις· καὶ εἶπεν τῷ θεσπεσίῳ Παύλῳ· "Τίνος χάριν ἐκφαίνεις τὰ κατ' ἐμέ, ἄνθρωπε; Θέλεις, ἵνα κἀγὼ τὰ κατὰ σὲ ἀναγγείλω; σὺ γὰρ ἐπίσκοπος εἶ τῆσδε τῆς πόλεως καὶ ἐν σοὶ πληροῦται ὁ λόγος ὁ γεγραμμένος· Ἔχομεν θησαυρὸν ἐν ὀστρακίνῳ σκεύει· ὅπερ δηλοῖ τὴν χάριν τοῦ θεοῦ τὴν κατοικοῦσαν ἐν τοῖς ἁγίοις". Λέγει αὐτῷ ὁ Παῦλος· "Τίς ἀνήγγειλέ σοι, ὅτι ἐπίσκοπός εἰμι; οὐκ ἔστι τοῦτο ἀληθές". Ἀπεκρίθη αὐτῷ ὁ Ἰωάννης· "Μὴ διὰ τὸ σπεύδειν σε, ἀδελφέ, καλύψαι τὰς σὰς ἀρετὰς ψευδοποιήσῃς τὴν τοῦ σωτῆρος ῥῆσιν, τὴν λέγουσαν· Οὐδέν ἐστι κεκαλυμμένον, ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτόν, ὃ οὐ γνωσθήσεται". Καὶ πάλιν ὁ Παῦλος λέγει τῷ Ἰωάννῃ· "Τίς σοι ἐγνώρισεν, ὅτι ἐπίσκοπός εἰμί"; Ἀπεκρίθη αὐτῷ ὁ μακάριος Ἰωάννης· "Ὁ γνωρίσας σοι, ὅτι ἔχω δώδεκα ἁγίους εἰς τὸ σπήλαιον, αὐτὸς κἀμοὶ ἐγνώρισεν, ὅτι ἐπί-

2 Βασιλ. 2, ζ', 15. — 3 Ψαλμ. λγ', 8. — 11 Παῦλος] ἐνταῦθα λήγει τὸ 209-ον φύλλον, οὗ τὸ πέρας συνάπτεται τῷ 208-ῳ φύλλῳ. — 25 κώδ. *ψευδοποιήσεις*. — 26/27 Ματθαίου ι', 26.

Digitized by Google

σκοπος εἶ". Τούτων ἀκούσας ὁ θεσπέσιος Παῦλος ἐδόξασεν τὸν Θεὸν καὶ ἐμνήσθη τοῦ γεγραμμένου λόγου· "Τὸ μυστήριόν μου ἐμοὶ καὶ τοῖς τοῦ οἴκου μου". Εὐχαριστήσαντες οὖν καὶ μεγαλύναντες τὸν Θεὸν κατῆλθον ἐκ τοῦ ὄρους, ὅρκοις πιστωσάμενοι ἀλλήλοις μηδενί τι τῶν συμβεβηκότων μεταξὺ αὐτῶν γνώριμον ποιῆσαι, ἄχρις ἂν ἀλλήλων διαζευχθῶσιν, εἴτε διὰ θανάτου, εἴτε διὰ μακρᾶς ξενιτείας. Παρεκάλεσε δὲ ὁ μακάριος Ἰωάννης τὸν Παῦλον συνοικῆσαι αὐτῷ καὶ οὐκ ἐπένευσεν, ἀλλ' εἶπεν αὐτῷ· "Παραχώρησόν μοι ἀπελθεῖν εἰς τὸ ἔργον μου καὶ γενήσομαί σοι ἀγαπητός". Εἶπεν δὲ αὐτῷ ὁ Ἰωάννης· "Πορεύου καὶ ἐργάζου τῇ ἡμέρᾳ, ὡς βούλει, καὶ καθ' ἑσπέραν ἔρχῃ καὶ ἀναπαύῃ ἐν τῷ οἴκῳ μου· εἰ δὲ θέλεις, ἀπερχόμεθα καὶ αὐλιζόμεθα νυκτὸς πρὸς τοὺς ἁγίους τοὺς ἐν τῷ σπηλαίῳ, ἢ ἀναπαυόμεθα ὁμοῦ ἐν τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ". Ὁ δὲ θεοφόρος Παῦλος ἔθηκεν ἑαυτῷ τοιοῦτον κανόνα, ὅπως ἐν μὲν τῷ χειμῶνι, ὅτε καὶ τὸ ἔργον αὐτοῦ ὡς ἐπὶ τὸ πολὺ οὐ πολιτεύεται, ἀνέλθῃ πρὸς τοὺς ἁγίους εἰς τὸ σπήλαιον κἀκεῖσε παραχειμάζειν· ἐν δὲ τῷ θέρει, ὁπηνίκα καὶ τὸ ἔργον κινεῖται, κατέλθῃ εἰς τὴν πόλιν καὶ ἐργάσηται. Ἤρεσε δὲ τοῦτο καὶ τῷ μακαρίτῃ Ἰωάννῃ, καὶ προσελθὼν τῷ ἐπισκόπῳ τῆς πόλεως Ῥαββουλᾷ παρεκάλει συγχωρῆσαι αὐτῷ εἰς πέρας ἀγαγεῖν τὴν ἐπιθυμίαν, ἣν ἐξ ἀρχῆς ἐκέκτητο.

6. - - - - - ὁ δὲ φιλάνθρωπος Θεὸς οὐκ ἐγκατέλιπεν τοὺς δούλους αὐτοῦ· περὶ γὰρ τὸ μεσονύκτιον νεωτέρα τις κόρη ἤρξατο βοᾶν ἐκ τῶν ἐνδοτέρων μερῶν τῆς σκηνῆς καὶ λέγειν· "Οὐαί μοι, οὐαί μοι! βολίδες πυρὸς ἐξέρχονται ἐκ τῶν ἀνθρώπων τούτων καὶ ἐπιπίπτουσι τῷ προσώπῳ μου". Ἐκ δὲ τῶν κραυγῶν αὐτῆς ἔξυπνοι γενόμενοι οἱ γονεῖς αὐτῆς ἠρώτων μαθεῖν τὴν αἰτίαν τῶν τοιούτων κραυγῶν· ἡ δὲ περισσότερον ἔκραζεν λέγουσα· "Πῦρ ἐξέρχεται ἐκ τῶν ἀνδρῶν τούτων καὶ κρούει τὴν ὄψιν μου". Εἶπεν δὲ αὐτῇ ὁ

2 Τὸ μυστήριον - - οἴκου μου] λόγιον τοῦ Ἰησοῦ, ἀριθ. 87 Ropes, σ. 94-96. — 6 ποιῆσαι] ἀντὶ τούτου ἐν τῷ ἀπογράφῳ μου γέγραπται τὸ *νοῆσαι*. — 7 κῶδ. *ξενητείας*. — 17 κῶδ. *ὅπη νίκα*. — 18 κῶδ. *ἐργάσεται*. — 21 μετὰ τὸ *ἐκέκτητο*, ἔνθα λήγει τὸ 208-ον φύλλον, ὑπάρχει πάλιν ἐν τῷ κειμένῳ χάσμα. — 22 φύλλον 210-ον τοῦ κώδικος || κῶδ. *ἐγκατέλειτεν*.

Digitized by Google

θεοφόρος Παῦλος· "Εἰ θέλεις ἐλευθερωθῆναι τοῦ πυρὸς τούτου, πίστευσον εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ ἕξεις ζωὴν αἰώνιον". Δραμοῦσα οὖν ἡ νεᾶνις ἔλυσε τοὺς ἁγίους ἐκ τῶν δεσμῶν καὶ εἶπεν· "Ναί, δέσποτα, πιστεύω εἰς τὸν Θεὸν τὸν λυτρούμενόν με ἐκ τῆς ἀνάγκης ταύτης". Ἐν αὐτῇ οὖν τῇ ὥρᾳ ἀναστὰς ὁ μακάριος Παῦλος ἔβαλεν ὕδωρ εἰς γηστέρναν καὶ προσηύξατο λέγων· "Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλθὼν εἰς τὸν κόσμον, ὅπως λύσῃς τὰ τέκνα τοῦ Ἀδὰμ ἐκ τῶν δεσμῶν τῆς ἁμαρτίας καὶ ἐκ τῆς κατάρας τῆς ἐπελθούσης τῇ γῇ διὰ τῆς τοῦ Ἀδὰμ παραβάσεως, δι' ἧς ὁ Διάβολος ἐφύτευσεν ἐν αὐτῇ ἀκάνθας καὶ ζιζάνια· σὺ τανῦν, Κύριε, δὸς τοῖς δούλοις σου χάριν καὶ δύναμιν γεωργῆσαι αὐτὴν καὶ καθαρίσαι, πρὸς τὸ καρποφορῆσαι καρποὺς πνευματικούς· σύ, Κύριε, ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι εὐδοκήσας καὶ ἁγιάσας τὰ ὕδατα, καὶ τὸ ἅγιον βάπτισμα νομοθετήσας εἰς ἄφεσιν ἁμαρτιῶν τοῦ γένους τῶν ἀνθρώπων, ἁγίασον τὸ ὕδωρ τοῦτο καὶ τοὺς ἐν αὐτῷ βαπτιζομένους, ὥστε ἀποθέσθαι τὸν παλαιὸν ἄνθρωπον, ἐνδύσασθαι δὲ τὸν καινόν, τὸν ἀνακαινούμενον δι' ὕδατος καὶ πνεύματος". Καὶ πληρώσας τὰς συνήθεις εὐχὰς τοῦ ἁγίου βαπτίσματος ἐβάπτισε τὴν κόρην ἐκείνην εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, καὶ παραυτὰ ὑγίανεν ἡ κόρη καὶ οὐδὲν τοῦ λοιποῦ κακὸν ἐθεάσατο· οἱ δὲ γονεῖς αὐτῆς καὶ πάντες οἱ εὑρεθέντες ἐκεῖσε, ἰδόντες τὸ γεγονὸς θαῦμα, ἐπίστευσαν καὶ αὐτοὶ εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ ἐβαπτίσθησαν, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν.

7. Μαθὼν δὲ ταῦτα ὁ βασιλεὺς αὐτῶν ἠγανάκτησε μεγάλως· καὶ πέμψας ἔλαβεν ἐκ τῶν πιστευσάντων ὡς ἑβδομήκοντα ψυχὰς ἀνδρῶν καὶ γυναικῶν, καὶ πέδας σιδηρᾶς αὐτοῖς ἐπιθέμενος καθεῖρξεν αὐτοὺς ἐν φυλακῇ· τοὺς δὲ ἁγίους πάλιν πεδήσας ἰσχυρῶς ἐξήγαγεν ἔξω τῆς παρεμβολῆς αὐτῶν, εἰς τόπον ἔχοντα φοινίκων πλῆθος, ἀφ' ὧν καὶ τὴν τροφὴν εἶχον οἱ τὸν τόπον οἰκοῦντες

3 κώδ. *νεάνις*. — 6 γηστέρναν] οὕτως ἐν τῷ κώδικι. — 10 Διάβολος] οὕτως ἀναγνωστέον ἀντὶ τοῦ ἐν τῷ τετραδίῳ μου γεγραμμένου *Χριστός*, ὅπερ ἐκ παραδρομῆς ἴσως οὕτως ἐγράφη, εἰ μὴ τῳόντι τοῦτ' αὐτὸ γέγραπται καὶ ἐν τῷ κώδικι. — 17/18 Ἐφεσ. δ', 23, 24.

Digitized by Google

Ἄραβες. Ἦν δὲ ἐν τῷ μέσῳ τῶν φοινίκων δένδρον ἓν ὑψηλὸν πάνυ καὶ ὡραῖον, οὗ ὑποκάτωθεν ἔθεντο τοὺς ἁγίους, βουλόμενοι σφαγιάσαι αὐτούς. Τότε ὁ μακάριος Ἰωάννης προσεφώνησε τῷ ἄρχοντι αὐτῶν λέγων· "Προσέγγισον ὧδε, ὅπως ἂν σοι λαλήσω". Προσεγγίσαντι δὲ λέγει αὐτῷ· "Τί ἐστιν ὑμῖν τὸ δένδρον τοῦτο"; Ὁ δὲ λέγει· "Θεός ἐστιν ἁπάσης τῆς παρεμβολῆς ταύτης". Λέγει αὐτῷ ὁ μακάριος Ἰωάννης· "Εἰ συνορᾷς οὖν, ἐπισύναξον τοὺς ἑταίρους σου καὶ ἐπικαλέσασθε τὸν θεὸν ὑμῶν, καὶ ἡμεῖς ἐπικαλούμεθα τὸν ἡμέτερον Θεόν, καὶ ὁ νικῶν αὐτός ἐστιν ἀληθινὸς Θεὸς καὶ αὐτῷ δεῖ ὑμᾶς ἀκολουθῆσαι". Καὶ ἀποκρίνεται αὐτῷ ὁ βασιλεύς· "Πάνυ σοφῶς ἔκρινας". Τότε ὁ μακάριος Ἰωάννης ἐκτείνας τὰς χεῖρας προσηύξατο λέγων· "Κύριε Ἰησοῦ Χριστέ, ὁ καρπὸς τοῦ ἐλέους καὶ τῆς ζωῆς, ὁ τῷ θελήματί σου τρέφων τὰς κέδρους τοῦ Λιβάνου, παρακλήθητι καὶ ἐξαπόστειλον τὴν ὀργήν σου ἐπὶ τὸ δένδρον τοῦτο, καὶ ἐκρίζωσον αὐτὸ ἐκ θεμελίων, ὅπως μὴ γένηται πλάνης αἴτιον πολλοῖς". Καὶ παραυτὰ νεύσας ἄνεμος βίαιος ἐξέσπασε τὸν φοίνικα ἐκεῖνον μετὰ τῶν ῥιζῶν καὶ κατέκαυσεν αὐτὸν ὡς πῦρ. Τότε πάντες οἱ εὑρεθέντες ἐκεῖ, θεασάμενοι τὸ γεγονὸς θαῦμα, ἐβόησαν λέγοντες· "Ἐπ' ἀληθείας ὁ Θεὸς τῶν ἔργων τούτων, αὐτός ἐστιν ὁ ἀληθὴς Θεός". Καὶ λέγει ὁ μακάριος Ἰωάννης τῷ βασιλεῖ· "Πιστεύεις ἄρτι, ἢ κατακαίονται καὶ οἱ λοιποὶ φοίνικες καὶ στερεῖσθε τῆς ἐξ αὐτῶν ζωῆς"; Εἶπεν δὲ ὁ βασιλεύς· "Πιστεύω, ὅτι ὁ Χριστὸς ἀληθής ἐστι Θεός, καὶ αὐτὸς ὑμᾶς ἀπέστειλεν ἐλευθερῶσαι ἡμᾶς ἐκ τοῦ σκοτασμοῦ τῆς πλάνης". Παραυτὰ οὖν ἀναστάντες οἱ ἅγιοι ἔκτισαν κολυμβήθραν καὶ ἡγίασαν αὐτήν, καὶ ἐβάπτισαν τὸν βασιλέα καὶ τοὺς μεγιστᾶνας αὐτοῦ καὶ ἅπαντα τὸν λαὸν αὐτοῦ. Καὶ πέμψας ὁ βασιλεὺς ἔλυσεν ἐκ τῶν δεσμῶν τοὺς πρότερον δεξαμένους τὴν πίστιν· δέδωκε δὲ τοῖς ἁγίοις σκηνήν, τοῦ ποιῆσαι αὐτὴν ἐκκλησίαν τῷ πλήθει τοῦ λαοῦ. Διέμειναν δὲ πρὸς αὐτοὺς οἱ ἅγιοι χρόνον ἱκανὸν καὶ ἐδίδαξαν αὐτοὺς τὴν πίστιν, καὶ ἐποίησαν αὐτοῖς πρεσβυτέρους καὶ διακόνους, καὶ οὕτως ἐπορεύθησαν εἰς τὸ ἅγιον ὄρος τοῦ Σινᾶ· ἐλυ-

8 κῶδ. ἐπικαλέσασθαι. — 10 κῶδ. ἡμᾶς. — 19 κῶδ. ἐπαληθείας.

Digitized by Google

πήθη δὲ ὁ βασιλεὺς καὶ οἱ ἑταῖροι αὐτοῦ πάντες ἐπὶ τῷ χωρισμῷ τῶν ἁγίων.

8. Παραγενόμενοι δὲ εἰς τὸ ἅγιον ὄρος ἀνῆλθον εἰς τὸν τόπον, ἐν ᾧ ὁ Θεὸς ἐφάνη, καὶ διαρκέσαντες ἐκεῖσε πέντε ἡμέρας καὶ πέντε νύκτας εὐχόμενοι, φωνῆς ἤκουσαν λεγούσης· "Εἰσήκουσεν ὁ Θεὸς τὴν προσευχὴν ὑμῶν καὶ προσεδέξατο τὸν κόπον ὑμῶν". Παρέμειναν δὲ ἐν τῷ ἁγίῳ τόπῳ ἡμέρας, περιερχόμενοι καὶ ἐπισκεπτόμενοι τοὺς αὐτόθι οἰκοῦντας μοναχούς· καὶ μετὰ ταῦτα λέγει ὁ Παῦλος τῷ Ἰωάννῃ· "Ἐπιστρέψωμεν, ἀδελφέ, εἰς τὴν εὐλογημένην πόλιν· λέγω γάρ σοι, ὅτι ἑπτὰ ὀνόματα τῶν ἀδελφῶν, τῶν ἐν τῷ σπηλαίῳ, πρὸς Κύριον ἐπορεύθησαν· εἶδον γὰρ ἐν ὁράματι δώδεκα κλάδη πεφυτευμένα ἐν αὐτῷ τῷ σπηλαίῳ, καὶ ἐλθόντες δύο ἄνδρες λευχείμονες ἀπέκοψαν ἐξ αὐτῶν ἑπτὰ κλάδη, καὶ ἀπελθόντες ἐφύτευσαν αὐτὰ εἰς τὸν Παράδεισον τοῦ Θεοῦ". Τότε λέγει αὐτῷ ἐκεῖνος· "Ναί, ἀδελφέ, ἀπέλθωμεν. Δοκῶ, ὅτι ἐμνήσθης τοῦ ἔργου σου καὶ τούτου χάριν σπεύδεις". Πορευομένων δὲ αὐτῶν κατήντησαν περὶ τὴν ἑσπέραν εἰς ὄρος, οὗ εἰς τὴν κορυφὴν δένδρον ὑπῆρχεν ὑψηλὸν καὶ ἐπάνω τοῦ δένδρου ἄνθρωπος· καὶ θεασάμενοι ἐβόησαν· "Εὐλόγησον, πάτερ". Αὐτοῦ δὲ μὴ ἀποκριθέντος, ὑπολαβὼν ὁ μακάριος Παῦλος εἶπεν· "Τὸν Χριστόν, ὃν ἀγαπῶσιν οἱ δίκαιοι, εἰ ἄνθρωπος ὑπάρχεις, λάλησον ἡμῖν· εἰ δὲ Δαίμων εἶ, πορεύου ἀπὸ ἔμπροσθεν ἡμῶν ὡσεὶ χνοῦς ἀπὸ προσώπου ἀνέμου". Ἀκούσας δὲ ὁ ἄνωθεν τοῦ δένδρου τὸ ὄνομα τοῦ Χριστοῦ ἐχάρη μεγάλως καὶ εἶπεν· "Καλῶς ἤλθετε, δοῦλοι Χριστοῦ· μὴ φοβηθῆτε· κἀγὼ ἄνθρωπός εἰμι, μαθητὴς τοῦ Χριστοῦ". Τότε λέγει αὐτῷ ὁ μακάριος Ἰωάννης· "Τίνος χάριν, ὦ πάτερ, ᾑρετίσω τὴν πολι[τείαν ταύτην ἔχειν] καὶ ἐπὶ τῆς κορυφῆς τοῦ [δένδρου οἰκεῖν; πόσους δὲ] χρόνους ἔχεις ἐν τῷ [τόπῳ

12 κλάδη πεφυτευμένα] οὕτως ἐν τῷ κώδικι. — 13 κῶδ. *λευχίμονες*. — 14 κλάδη] οὕτως ἔγραψα, κατὰ τὸ πρότερον παράδειγμα, ἀντὶ τοῦ ἐν τῷ τετραδίῳ μου *κλάδους*, ὅπερ οὐ συμφωνεῖ τῷ κατόπι *ταῦτα*. — 20 Τὸν Χριστὸν = Μὰ τὸν Χριστόν· ὅρα καὶ σελ. 13, 22. — 22/23 ὡσεὶ χνοῦς - ἀνέμου] Ψαλμ. ιζ', 43. λδ', 5. — 27 κῶδ. *ἡρετήσω*. — 27 καὶ ἐνταῦθα καὶ παραιτέρω ἀπεκόπη ἐκ παλαιοῦ τεμάχιόν τι τοῦ 211-ου φύλλου.

Digitized by Google

τούτῳ"; Ὁ δὲ ἐπὶ τοῦ δένδρου ἀπεκρίνατο] λέγων· "Πιστεύσατέ μοι, ἀδελφοί, ὅτι ἔχω ἐν τῷ τόπῳ τούτῳ τριάκοντα ε' χρόνους, καὶ οὐδεὶς ἔγνω τὰ περὶ ἐμέ, εἰ μὴ δύο ἄνδρες, οἵτινες ἀπὸ καιροῦ εἰς καιρὸν ἔρχονται φέροντές μοι ἄρτον καὶ ὕδωρ· καὶ γὰρ κἀγώ, ὡς ὑμεῖς, διοδεύων τὴν ὁδὸν ἦλθον εἰς τὸν τόπον τοῦτον καὶ εὗρον ἐνθάδε ἀναχωρητὴν μέγαν γέροντα, ὀνόματι Ἀβραάμιον, ἱστάμενον εἰς τὴν κορυφὴν τοῦ δένδρου τούτου· ὅς ἰδών με παρεκάλεσέ με προσμεῖναι αὐτῷ τρεῖς ἡμέρας καὶ διηγεῖτό μοι τοὺς πολέμους, οὓς ὑπέστη ἐν τῷ τόπῳ τούτῳ παρὰ τῶν ἀκαθάρτων πνευμάτων, καὶ τὴν χάριν τὴν δοθεῖσαν αὐτῷ μετὰ ταῦτα παρὰ τοῦ Θεοῦ, καὶ μετὰ τὰς τρεῖς ἡμέρας παρέδωκεν τὸ πνεῦμα τῷ Θεῷ· ἐγὼ δὲ καταγαγὼν αὐτὸν ἐκήδευσα καὶ ἔθαψα ἐνθάδε. Θαυμάσας δὲ τὴν πολιτείαν αὐτοῦ καὶ ποθήσας τὸν πλησιασμὸν αὐτοῦ ἀνῆλθον καὶ ἔστην εἰς τὸν τόπον τοῦτον, ἐκδεχόμενος τὴν τοῦ Θεοῦ ἐπισκοπήν· παρακαλῶ δὲ ὑμᾶς κἀγώ, ἀδελφοί, διὰ τὴν ἀγάπην τοῦ Θεοῦ, προσκαρτερήσατέ μοι τρεῖς ἡμέρας, ὅπως ἴδητε τὰ θαυμάσια αὐτοῦ· ὁ Θεὸς γὰρ ὁ ἀποστείλας με πρὸς τὸν ἐν ἁγίοις Ἀβραάμιον, αὐτὸς καὶ ὑμᾶς ἀπέστειλεν τανῦν πρός με". Καὶ μετὰ τὰς τρεῖς ἡμέρας παρέδωκε καὶ αὐτὸς τὸ πνεῦμα τῷ Κυρίῳ, πολλὰ προδιαλεχθεὶ[ς - - - - - - - -], ἀπαγγείλας περὶ π - - - - - - - - Ὅτε δὲ ἀνεπάη, [ἀνέβησαν εἰς τὴν κορυφὴν τοῦ δένδρου καὶ] εὗρον αὐτὸν ἐνδεδυμένον τρίχινον ἱμάτιον καὶ ἐπιρριπτάριον ὁμοίως τρίχινον· εὗρον δὲ καὶ σπυρίδα, ἔχουσαν ἄρτους ὀλίγους, καὶ φακὴν βρεκτὴν καὶ σκεῦος ὀστράκινον κρεμάμενον, ἔχον ὕδωρ. Καταγαγόντων δὲ αὐτῶν τὸ λείψανον τοῦ ἁγίου πρὸς τὸ κηδεῦσαι, εὑρέθη πλῆθος χριστιανῶν ἐρχόμενον, ἐχόντων ἐν ταῖς χερσὶ λαμπάδας πυρὸς καὶ θυμιατοὺς εὐωδιάζοντας· καὶ ἐπιστάντες τῷ τόπῳ ἠρώτων λέγοντες· "Ποῦ ἐστιν ὁ ἀθλητὴς τοῦ Χριστοῦ; ὀπτασίαν γὰρ ἑωράκαμεν, κελεύουσαν ἡμᾶς ἐξελθεῖν καὶ τιμῆσαι τὸν ἀθλητὴν τοῦ Χριστοῦ". Τούτων ἀκούσαντες οἱ περὶ τὸν Παῦλον ἔγνωσαν, ὅτι χάριν τοῦ ἀναπεπαυ-

19 κῶδ. *τὰ νῦν·* οὕτω καὶ σελ. 371, 29, 374, 11 καὶ 379, 21. — 23 ἐπιρριπτάριον] ἐν τῇ ᾤᾳ σχόλιον· «μαντίτζ(ιν) μικρόν». — 24 κῶδ. *φακὶν*.

Digitized by Google

μένου ἁγίου ἡ ὀπτασία γέγονεν· καὶ ἐκδύσαντες τὸν ἅγιον, ἀλείψαντες, πάλιν ἐνέδυσαν αὐτὸν τὸν σάκκον καὶ τὸ ἐπιρριπτάριν, καὶ ἔθηκαν αὐτὸν ἐν γλωσσοκόμῳ καὶ τὰ ὀστᾶ τοῦ πρὸ αὐτοῦ κοιμηθέντος ἐν Χριστῷ ἁγίου Ἀβραμίου, καὶ παρέδωκαν τοῖς κληρικοῖς, τοῖς παραγενομένοις μετὰ τοῦ πλήθους τῶν χριστιανῶν, καὶ οὕτως ἐπορεύθησαν αὐτοὶ τὴν ὁδὸν αὐτῶν ἐν εἰρήνῃ, λαβόντες τὴν σπυρίδα τοῦ ἁγίου καὶ τὸ σκεῦος τοῦ ὕδατος εἰς εὐλογίαν. Πολλαὶ δὲ ἰάσεις γεγόνασιν ἐκ τοῦ ὕδατος τοῦ ἐν τῷ σκεύει δι' εὐχῶν τοῦ θεράποντος τοῦ Χριστοῦ.

9. Ὁδοιπορήσαντες οὖν ἐν τῇ ἐρήμῳ ἡμέρας πέντε ἔφθασαν εἰς τόπον λεγόμενον Λίθος τοῦ Ἰακώβ· ἦν δὲ ἐν τῷ τόπῳ συνοδία ἀναχωρητῶν, μεγάλας ἀρετὰς ἐχόντων (εἶχον δὲ καὶ ἡγούμενον, πεπληρωμένον χάριτος θείας), οὓς θεασάμενοι οἱ περὶ τὸν Παῦλον προσέπεσον αὐτοῖς εὐχὴν αἰτούμενοι. Ἐκαλεῖτο δὲ ὁ ἡγούμενος αὐτῶν Στέφανος, ὅστις εὐμενῶς προσδεξάμενος τοὺς μακαρίους Παῦλον καὶ Ἰωάννην εἶπεν αὐτοῖς· "Καλῶς ἤλθετε πατέρες· ἐκ τοῦ ὄρους γὰρ Σινᾶ παραγεγόνατε, τὸ ὄρος τοῦ Θεοῦ". Καὶ λέγει αὐτῷ ὁ θεσπέσιος Παῦλος· "Πόθεν ἔγνως, πάτερ, ὅτι ἐκ τοῦ ἁγίου ὄρους κατελάβομεν"; Ἀπεκρίθη ὁ ἡγούμενος· "Πᾶσα ἡ ὁδὸς ὑμῶν ὡς ἐν εἰκόνι καθιστόρηται ἐνώπιόν μου, ἀφ' οὗ ἐξήλθετε ἀπὸ Ἐδέσσης μέχρι τοῦ νῦν". Φθασάσης δὲ τῆς ὥρας τῆς ἑσπερινῆς λειτουργίας ἀνέστησαν καὶ προσηύξαντο ὁμοθυμαδόν, καὶ οὕτως ἐκάθισαν δειπνῆσαι· λαβὼν δὲ ὁ ἡγούμενος τὸν ἄρτον τοῦ δοῦναι ἀνὰ ἑκάστῳ εὐλογίαν, κατὰ τὸ ἔθος, καὶ ἐνατενίσας πᾶσιν ἔθηκε τὸν ἄρτον εἰς τὰς χεῖρας τοῦ θεοφόρου Παύλου, λέγων· "Δέξαι, πάτερ, καὶ μέρισον ἡμῖν· παρὰ σοῦ γὰρ δεῖ ἡμᾶς εὐλογίαν λαβεῖν· ἐπίσκοπος γὰρ ὑπάρχεις". Τότε ὁ Παῦλος ἐπιλαβόμενος τῶν γονάτων τοῦ ἡγουμένου παρεκάλει λέγων· "Μὴ ἀνακαλύψῃς τὰ κατ' ἐμέ, ἵνα μὴ κἀγὼ τὰ κατὰ σὲ δημοσιεύσω". Τούτων ἀκούσας ὁ ἡγούμενος ἔδωκεν αὐτὸς τὴν εὐλογίαν· ἐσθιόντων δὲ αὐτῶν, λέγει ὁ ἡγούμενος τῷ θεσπεσίῳ Παύλῳ· "Τίνος

2 ἐπιρριπτάριν] οὕτως ἐνταῦθα· ὅρα σ. 377, 23. — 16 κῶδ. *ἰάννην*. — 21 κῶδ. *αἰδέσης*· οὕτω καὶ κατόπιν. — 24 κῶδ. *ἀναεκάστω*.

Digitized by Google

χάριν, ὦ πάτερ, ἀποκρύπτεις τὴν χάριν τοῦ Θεοῦ, τὴν δοθεῖσάν σοι, καὶ ἐπίσκοπος ὑπάρχων ποιεῖς σεαυτὸν ὡς ἕνα τῶν κοινῶν ἀνθρώπων"; Ἀπεκρίθη ὁ Παῦλος· "Τίνος χάριν κατέχεις σὺ γυναῖκα μεταξὺ τῶν ἀδελφῶν ἀπὸ δέκα ἓξ χρόνων"; Οἱ δὲ ἀδελφοὶ ἀκούσαντες ἐταράχθησαν καὶ εἶπον τῷ ἡγουμένῳ· "Τί ἐστι τὸ πρᾶγμα τοῦτο, πάτερ"; Ἰδὼν δὲ ὁ ἡγούμενος Στέφανος τὴν τῶν ἀδελφῶν ταραχήν, ἔστη εἰς τὸ μέσον τῆς συνοδίας ἐκείνης τῆς ἁγίας καὶ εἶπεν· "Ἐνωτίσασθε, ἀδελφοί μου, τοὺς λόγους μου· μαρτυρεῖ μοι γὰρ ὁ κυριεύων πάσης τῆς κτίσεως, ὅτι οὐ ψεύδομαι. Πρὸ δέκα καὶ ἓξ ἐνιαυτῶν ἤμην ἐν τῇ ἐρήμῳ καὶ συνήντησέ μοι κόρη ὡς ἐτῶν ἑπτά, πλανωμένη καὶ κλαίουσα, ἥτις θεασαμένη με προσέπεσε τοῖς ποσί μου λέγουσα· Ἐλέησόν με, δοῦλε τοῦ Θεοῦ, καὶ ἀντιλαβοῦ τῆς ὀρφανίας μου· οἱ γὰρ γονεῖς μου ἐκοιμήθησαν, καὶ μηδένα προστάτην ἔχουσα ἐξῆλθον πλανωμένη εἰς ταύτην τὴν ἔρημον. Τούτων ἀκούσας συνεπάθησα αὐτῇ, μήπως καὶ ὑπὸ θηρίων βρωθῇ, καὶ προσλαβόμενος αὐτὴν ἐφύλαξα μέχρι τῆς σήμερον· ἔστι δὲ ὁ ἀββᾶς Ματθίας, ὃν ὑμεῖς δοκεῖτε εὐνοῦχον εἶναι· οὐ διαλανθάνει δὲ ὑμᾶς ἡ ἐνάρετος αὐτῆς πολιτεία καὶ ἄσκησις". Τότε οἱ ἀδελφοὶ ἀπεκρίθησαν αὐτῷ λέγοντες· "Ὅτε μὲν ἠγνοοῦμεν, πάτερ, τὰ κατ' αὐτήν, ἀβλαβῶς συνῳκοῦμεν αὐτῇ, τανῦν δὲ οὐκ ἔστι τοῦτο δυνατόν". Λέγει αὐτοῖς ὁ ἡγούμενος· "Ἔχω, ἀδελφοί, δεκαὲξ ἐνιαυτοὺς φυλάσσων πάσῃ δυνάμει τὴν ἀμνάδα τοῦ Χριστοῦ, καὶ ἔστι τανῦν ἐν τῇ ἀκμῇ τῆς νεότητος αὐτῆς, καὶ φοβοῦμαι ἐᾶσαι αὐτήν, μήπως ὁ ἐχθρὸς εὕροι τρόπον τοῦ ἀπολέσαι αὐτήν. Εἰ οὖν ἀναδέχεσθέ μοι, ὅτι οὐ κρίνει με ὁ Χριστὸς ἐν ἡμέρᾳ κρίσεως χάριν αὐτῆς, ἐγὼ ἀπολύω αὐτήν". Ἰδὼν δὲ ὁ μακάριος Ἰωάννης τὴν ἔνστασιν καὶ τὴν ταραχὴν εἶπεν· "Δεῦτε ἀγρυπνήσωμεν, ἀδελφοί, καὶ δεηθῶμεν τοῦ Θεοῦ περὶ τούτου, καὶ τὸ θέλημα αὐτοῦ γενέσθω". Αὐτῶν δὲ ἀγρυπνούντων καὶ προσευχομένων, περὶ τὸ μεσονύκτιον παρέδωκεν ἡ κόρη τὸ πνεῦμα αὐτῆς τῷ Κυρίῳ, καὶ θαυμάσαντες ἅπαντες ἐδόξασαν τὸν Θεόν· εἱλίξαντες δὲ αὐτήν, καθώς ἐστιν, εἰς τὰ

8 κῶδ. *ἐνωτίσασθαι*. — 17 κῶδ. *δοκεῖται*. — 25 κῶδ. *ἀναδέχεσθαι*.

Digitized by Google

ἱμάτια αὐτῆς, καὶ πληρώσαντες ἐπ' αὐτῇ τὸν συνήθη κανόνα, κατέθεντο πλησίον τοῦ λίθου, ἐφ' οὗ ὁ πατριάρχης Ἰακὼβ τὴν κεφαλὴν ἀνέκλινεν, ἀπερχόμενος πρὸς Λάβαν, ὅτε καὶ τὴν κλίμακα ἐθεάσατο.

10. Καὶ μετὰ ταῦτα ἐξελθόντες οἱ μακάριοι Παῦλος καὶ Ἰωάννης ἐπορεύθησαν εἰς Ἱεροσόλυμα, καὶ προσκυνήσαντες τοὺς σεβασμίους τόπους ἀπῆλθον εἰς Ἔδεσσαν καὶ εὗρον ἑπτὰ ἀδελφοὺς τῶν ἁγίων, τῶν ὄντων ἐν τῷ σπηλαίῳ, κοιμηθέντας, καθὼς προεῖπεν ὁ θεσπέσιος Παῦλος. Τότε ὁ Ἰωάννης λέγει τῷ Παύλῳ· "Ἀπὸ τοῦ νῦν οὐ χωρίζομαί σου, ἀδελφέ, ἕως ἐσχάτης ἀναπνοῆς. Εἰ μὲν οὖν ἀρέσκει σοι, διαμένομεν ἐν τῷ οἴκῳ μου· εἰ δὲ μή, ἀνέλθωμεν πρὸς τοὺς ἁγίους εἰς τὸ σπήλαιον". Ἀπεκρίθη δὲ αὐτῷ ὁ θεοφόρος Παῦλος· "Εἰ μὲν ἀναπαῦσαί με βούλει, ἔασόν με ἐν ἡμέρᾳ ἐργάσασθαι συνήθως ἐν τῇ πόλει, καὶ νυκτὸς ἀνερχόμεθα πρὸς τοὺς ἁγίους". Οὕτως οὖν καὶ ἐποίουν διὰ παντός· ὁ δὲ φιλάνθρωπος Θεός, ὁ πάντοτε θαυματουργῶν ἐν τοῖς ἁγίοις αὐτοῦ, ᾠκονόμησέ τι τοιοῦτον γενέσθαι ἐν ταῖς ἡμέραις ἐκείναις. Πιστός τις ἀνὴρ ὑπῆρχεν ἐν Ἐδέσσῃ, περιφανὴς καὶ πρῶτος τῆς πόλεως, οὗ ἡ γυνὴ ἐξ ἐνεργείας τοῦ πονηροῦ περιέπεσεν ἀρρωστίᾳ δεινοτάτῃ ἐπὶ δεκατρεῖς χρόνους. Τούτῳ τῷ πιστῷ ἀνδρὶ ὀπτασία ἐφάνη λέγουσα· "Εἰ θέλεις τὴν γυναῖκά σου ὑγιᾶναι, ἄπελθε τῇ νυκτὶ πρὸ τῆς ὥρας τῆς ψαλμῳδίας, καὶ σταθεὶς εἰς τὴν θύραν τῆς ἐκκλησίας φώνησον· Παῦλε, Παῦλε. Καὶ τὸν ἐπακούοντά σου λαβὼν ἄπελθε εἰς τὸν οἶκόν σου καὶ πεῖσον αὐτὸν θεῖναι τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν γυναῖκά σου καὶ ὑγιασθήσεται". Ἡ δὲ τοῦ Θεοῦ οἰκονομία ἐποίησε τὸν ἐν ἁγίοις Παῦλον μὴ ἀνελθεῖν ἐν ταῖς ἡμέραις ἐκείναις πρὸς τοὺς ἁγίους, εἰς τὸ σπήλαιον, ἀλλ' ἐν τῇ ἐκκλησίᾳ μένειν. Ἀναστὰς οὖν ὁ ἄνθρωπος, καὶ λαβὼν σὺν αὐτῷ δύο παῖδας, κατῆλθε τῷ μεσονυκτίῳ, καὶ ἐλθὼν εἰς τὴν θύραν τῆς ἐκκλησίας ἔστη καὶ ἐφώνησε· "Παῦλε, Παῦλε". Ἐπήκουσε δὲ αὐτοῦ ὁ θεσπέσιος Παῦλος λέγων· "Τί θέλεις"; Ὁ δὲ φησίν· "Προσέγγισον ὧδε". Καὶ ἐλθόντι λέγει αὐτῷ· "Ἀκούω,

2/4 Γενέσ. κη', 18-22. κθ', 1 κέ. — 20 κώδ. *δεκατρὶς*.

ὅτι ἐργατείας κάμνεις καὶ σπεύδεις πληροφορεῖν τοὺς ἐκμισθουμένους σε· ἔχω δὲ μικρὸν ἔργον ἐν τῷ οἴκῳ μου· ἐλθὼν ἔργασαι αὐτὸ καὶ λάβε τὸν μισθόν". Ὁ δὲ λέγει αὐτῷ· "Ὅταν τὸ φῶς ἀνατείλῃ, πέμπεις καὶ ἔρχομαι". Ἀπεκρίθη αὐτῷ ὁ ἄνθρωπος· "Ἄρτι σε θέλω ἐλθεῖν σὺν ἐμοί". Καὶ λαβὼν αὐτὸν ἀπῆλθε, καὶ στήσας αὐτὸν πρὸ τῆς κλίνης τῆς γυναικὸς αὐτοῦ εἶπεν· "Ταύτην τὴν οἰκοδομὴν κατέλυσεν ὁ ἐχθρὸς ἀπὸ δεκατριῶν ἐτῶν, Χριστὸς δὲ ὁ Θεὸς ἡμῶν διὰ τῶν χειρῶν σου εὐδοκεῖ ἀνεγεῖραι αὐτήν. Ὡς σοφὸς οὖν οἰκοδόμος καὶ γνήσιος δοῦλος Χριστοῦ ἀνοικοδόμησον τὴν πεπτωκυῖαν οἰκίαν τοῦ Κυρίου σου". Τούτων ἀκούσας ὁ θεοφόρος Παῦλος λέγει· "Εἰ δι' ἐμοῦ εὐδοκεῖ ὁ δεσπότης μου Χριστὸς ἀναστῆσαι τὴν γυναῖκα ταύτην ἀπὸ κλίνης ὀδύνης αὐτῆς, φέρετέ μοι ἔλαιον". Καὶ λαβὼν τὸ ἔλαιον εἰς τὴν ἑαυτοῦ παλάμην ἥπλωσε τὰς χεῖρας εἰς οὐρανὸν καὶ προσηύξατο λέγων· "Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ὁ σωτὴρ ἡμῶν, ὁ ῥυόμενος τοὺς ἐπικαλουμένους σε ἐκ πάσης περιστάσεως, ὁ διὰ τὴν ἄφατόν σου πρὸς ἡμᾶς ἀγάπην σταυρῷ προσηλωθῆναι καταδεξάμενος, ὁ τὰς πληγὰς τοῦ προπάτορος Ἀδὰμ ἐλαίῳ ἀλείψας ἐν τῷ ἁγίῳ βαπτίσματι καὶ ἰασάμενος αὐτὸν ἐκ τῶν φθοροποιῶν τραυμάτων τοῦ ἐχθροῦ, αὐτὸς καὶ νῦν, δέσποτα, ἐπίσκεψαι τὴν γυναῖκα ταύτην, τὴν κειμένην ἐπὶ τῆς κλίνης ταύτης ὡς νεκράν· καὶ σοὶ ἐποφείλεται ἡ δόξα καὶ ἡ εὐχαριστία καὶ οὐχ ἡμῖν· ἡμεῖς γὰρ μεσίτου τόπον πληροῦμεν. Σὺ ὡς δυνατὸς ἐξαπόστειλον τὴν χάριν σου καὶ ἴασαι τὴν γυναῖκα ταύτην καὶ ἐμὲ ἐλέησον, ὡς μόνος ἐλεήμων καὶ φιλάνθρωπος". Καὶ ταῦτα εἰπόντος τοῦ θεσπεσίου Παύλου, ὁ Δαίμων, ὁ ἐμφωλεύων ἐν τῇ γυναικί, ἀνέκραξε λέγων· "Τί ἐμοὶ καὶ σοί, δοῦλε τοῦ Θεοῦ; ἦλθες ἐξαγαγεῖν με ἐκ τοῦ οἴκου μου, ἐν ᾧ κατοικῶ ἀπὸ χρόνου ἱκανοῦ"; Ἀκούσας δὲ ὁ μακάριος τῆς φωνῆς τοῦ Δαίμονος εἶπεν αὐτῷ· "Οὐκ ἐγὼ ἐκφέρω σε, ἀλλ' ὁ κύριος Ἰησοῦς ὁ Χριστὸς κελεύει σοι ἐξελθεῖν ἐκ τῆς γυναικὸς ταύτης". Ἀκούσας δὲ ὁ πονηρὸς τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ ἥρπασε τὴν γυναῖκα ἐκ τῆς κλίνης καὶ ἔρριψεν αὐτὴν ὡς ἀπὸ

3 κῶδ. ὅτ' ἂν. — 12 κῶδ. ἀποκλίνης. — 13 κῶδ. φέρεταί.

Digitized by Google

τριῶν πήχεων, καὶ ἐάσας αὐτὴν ἔφυγεν, μηδὲν τῶν μελῶν αὐτῆς ἀχρειώσας· ἔκειτο δὲ ὡς νεκρά. Ἀλείψας δὲ αὐτὴν ὁ θεσπέσιος Παῦλος ἐκ τοῦ ἐλαίου, οὗ κατεῖχεν ἐν τῇ παλάμῃ, προσήνεγκεν αὐτῇ βρῶμα φαγεῖν· καὶ ἔφαγεν καὶ ἰάθη ἀπὸ τῆς ὥρας ἐκείνης, καὶ παραυτὰ ἀπελθοῦσα γέγονε μοναχή· εἶπεν δὲ ὁ ἀνὴρ αὐτῆς τῷ μακαρίῳ Παύλῳ· "Τί κελεύεις μοι, πάτερ, ποιῆσαι τὰ τέκνα αὐτῆς"; Ἀπεκρίθη αὐτῷ ὁ Παῦλος· "Ἐάν μου τὴν βουλὴν δέχῃ, ἄπελθε, σκόρπισον πάντα τὰ ὑπάρχοντά σου τοῖς πτωχοῖς καὶ εἰσάγαγε τὰ τέκνα σου εἰς μοναστήρια, ἕκαστον κατὰ τὸ ἁρμόζον αὐτῷ, καὶ σὺ φρόντισον τῆς ψυχῆς σου, πρὶν ἐλθεῖν σοι τὸν θάνατον". Ἐδέξατο δὲ ὁ ἀνὴρ μετὰ χαρᾶς τὴν συμβουλὴν τοῦ θεσπεσίου Παύλου καὶ ἐποίησε, καθὼς ὑπέθετο αὐτῷ· ἐγένοντο δὲ τέλειοι μοναχοὶ αὐτὸς καὶ ἡ γυνὴ αὐτοῦ καὶ τὰ τέκνα αὐτῶν, καὶ ἀπέλαβον τὸν τῆς νίκης στέφανον παρὰ τοῦ ἀγωνοθέτου Θεοῦ ἡμῶν.

11. Ὁ μακαρίτης Παῦλος ἰδὼν ὅτι ἤρξαντο οἱ τῆς πόλεως γνωρίζειν τὰ κατ' αὐτόν, καὶ φοβηθεὶς τὸν δαίμονα τῆς ὑπερηφανίας, ἐξῆλθεν ἀπὸ Ἐδέσσης λάθρᾳ τοῦ ἐν ἁγίοις Ἰωάννου καὶ ἐπορεύθη εἰς πόλιν λεγομένην Νίσιβιν, ὅπως πληρωθῇ εἰς αὐτὸν ὁ λόγος τοῦ Κυρίου, ὃν εἶπεν· "Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει, ποῦ τὴν κεφαλὴν κλίνῃ". Διέμεινε δὲ ὁ μακαρίτης Ἰωάννης ζητῶν ἐπὶ ἡμέρας ἱκανάς, καὶ μὴ εὑρὼν αὐτὸν ἐξῆλθεν εἰς ζήτησιν αὐτοῦ, προθέμενος πᾶσαν τὴν οἰκουμένην διελθεῖν, ἕως ἂν εὕρῃ αὐτόν. Φθάσας οὖν τὴν Ἁγίαν Πόλιν καὶ πολλοὺς τόπους περιελθών, καὶ ἐπὶ ἑκατὸν ὀγδοήκοντα ἡμέρας ὁδοιπορήσας καὶ μηδὲν εὑρών, ὕστερον ἀπῆλθεν εἰς Νίσιβιν καὶ ἐγνώσθη αὐτῷ, ὅτι ἐκεῖσε ὑπάρχει· καὶ μαθὼν ποῦ κάμνει, ἐπορεύθη μετὰ σπουδῆς καὶ εὗρεν αὐτὸν βαστάζοντα πηλὸν καὶ ἀνερχόμενον εἰς κλίμακα, καὶ ἐκ τῆς πολλῆς χαρᾶς οὐχ ὑπέμεινεν, ἄχρις ἂν κατέλθῃ, ἀλλ' ἤρξατο κράζειν· "Παῦλε, Παῦλε". Ἐπιστραφεὶς δὲ ὁ θεσπέ-

19 κώδ. *νίσηβιν·* οὕτω καὶ κατόπιν. — 20/22 Ματθ. η', 20. - 22 κώδ. *κλίνει*.— 28 κώδ. *μετασπουδῆς*.

Digitized by Google

σιος Παῦλος, καὶ ἰδὼν αὐτὸν καὶ γνωρίσας, εἶπεν αὐτῷ· "Ἀνάμεινον, ἀδελφέ, ἕως ἂν κατέλθω". Καὶ ἀνελθὼν καὶ θεὶς τὸν πηλὸν ἐπὶ τὸν τοῖχον, δι' ἄλλης ὁδοῦ κατέβη καὶ ἔφυγεν, καὶ οὐδεὶς τοῦ λοιποῦ ἔγνω, ποῦ κατέδυ· ὁ δὲ μακάριος Ἰωάννης ἀναμείνας αὐτὸν ἐπὶ ἱκανὰς ὥρας, καὶ γνοὺς ὅτι δι' ἄλλης ἀνεχώρησεν, ἐξῆλθεν ἀναζητῶν αὐτὸν εἰς πᾶσαν τὴν πόλιν, καὶ μὴ εὑρὼν αὐτὸν εἰσῆλθεν εἰς τὸν ξενῶνα καὶ ἔρριψεν ἑαυτὸν ἐκεῖσε, μεγάλως ὀδυνώμενος καὶ θρηνῶν. Ἐν αὐτῇ οὖν τῇ νυκτὶ ἐπιφαίνεται αὐτῷ ὁ θεοφόρος Παῦλος καθ' ὕπνους λέγων· "Ἀδελφὲ Ἰωάννη, μὴ κοπιάσῃς ἀναζητῶν με· οὐ γὰρ εὑρήσεις με τοῦ λοιποῦ, οὐδ' οὐ μὴ θεάσῃ τὸ πρόσωπόν μου ἔτι ἐν τῷ βίῳ τούτῳ· οὐ γὰρ διὰ τὴν σὴν πληροφορίαν θέλω ἀπολέσαι, ὅπερ ζητῶν ἐξῆλθον ἐκ τῆς ἰδίας πατρίδος· ἀλλ' ἀναστὰς ὑπόστρεψον εἰς Ἔδεσσαν τὴν εὐλογημένην πόλιν, καὶ ἀνελθὼν παράμεινον τοῖς ἁγίοις ἐν τῷ σπηλαίῳ, κἀκεῖ ἔκδεξαι τὴν τοῦ Κυρίου ἐπισκοπήν· μετ' ὀλίγον γὰρ χρόνον ἐξερχόμεθα ἀμφότεροι τοῦ κατωδύνου βίου τούτου καὶ μέλλομεν ἐνώπιον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀπολαῦσαι ἀλλήλων εἰς αἰῶνας". Ταῦτα θεασάμενος ὁ μακάριος Ἰωάννης ἐχάρη λίαν καὶ παρεκλήθη, καὶ ἀναστὰς ὑπέστρεψε χαίρων εἰς Ἔδεσσαν, καὶ ἀνελθὼν πρὸς τοὺς ἁγίους, εἰς τὸ σπήλαιον, παρέμεινεν αὐτοῖς τὸν ἐπίλοιπον χρόνον τῆς ζωῆς αὐτοῦ, σὺν αὐτοῖς δουλεύων σπουδαίως τῷ Χριστῷ. Ἔζησε δὲ μετὰ ταῦτα ἐπὶ μῆνας η', καὶ οὕτως παρέδωκε τῷ Κυρίῳ τὸ πνεῦμα, στεφανωθεὶς τῷ ἀμαράντῳ στεφάνῳ τῆς νίκης. Γένοιτο δὲ δι' εὐχῶν αὐτῶν καὶ πάντων τῶν ἁγίων ἐλεηθῆναι τὸν κόσμον καὶ βραβευθῆναι εἰρήνην καὶ ὁμόνοιαν ταῖς ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις, καὶ πληθυνθῆναι ἐν τοῖς μοναστηρίοις τὴν ἀρετὴν καὶ τὴν ἄμεμπτον πολιτείαν, ὅπως ἐπὶ πλεῖον δοξασθῇ τὸ σεβάσμιον καὶ παντοδύναμον ὄνομα Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Digitized by Google

XIV.

ΜΗΝΙ ΙΟΥΛΙΩΙ Β'.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΚΟΝΩΝΟΣ.

(Cod. 79, s. X, monasterii Βατοπεδίου).

Κύριε, εὐλόγησον.

1. Πάλιν ὢ τῆς δυσσεβοῦς πίστεως! Μετὰ τὸ τελειωθῆναι τοὺς ἁγίους τοῦ Χριστοῦ μάρτυρας, Παπίαν, Διόδωρον καὶ Κλαυδιανόν, ἐπιβέβηκεν ὁ ἡγεμὼν τῇ πόλει Μαγυδῷ, καὶ καθίσας ἐν τῷ προαστείῳ τοῦ Διὸς ἐπειρᾶτο κἀκεῖσε τοὺς οἰκήτορας διὰ τοῦ κήρυκος προσκαλεῖσθαι· οἳ δέ, τῆς κηρυκῆς τοῦ βοῶντος ἐπακούσαντες, μᾶλλον σπουδαιοτέρως ὑπεχώρησαν ἐκ τῆς πόλεως, πάντα καταλείψαντες, ὥστε τὴν πόλιν μόνην ὑπολειφθῆναι μετὰ τοῦ μιαροῦ ἄρχοντος καὶ τῆς τάξεως αὐτοῦ· ὃ δὲ ἀπέστειλεν σιγγουλαρίους καί τινας ἄλλους κύκλῳ τῆς πόλεως ἀναζητεῖν πανταχοῦ καὶ κατ' οἶκον, εἴ τινας εὕροιεν. Ἦλθον οἱ ἀποσταλέντες καὶ ἀπήγγειλαν αὐτῷ μηδένα εὑρηκέναι ἐν τῇ πόλει, ἢ ἐν τοῖς ἀγροῖς.

Ἐπιγραφή: κῶδ. *κώνονος*. — Σημειωτέον ὧδε, ὅτι τὸν ἅγιον τοῦτον μάρτυρα Κόνωνα τὸν κηπουρὸν ἑορτάζουσι νῦν οἱ ὀρθόδοξοι τῇ 5-η μαρτίου μηνός· ἀλλ' ἐκ τοῦ τύποις ἀνεκδότου Συναξαρίου τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως, τοῦ γενομένου κατὰ πρόσταξιν τοῦ αὐτοκράτορος Κωνσταντίνου ζ' τοῦ Πορφυρογεννήτου, μανθάνομεν, ὅτι τὸν ἅγιον ἐκεῖνον μάρτυρα ἑώρταζε τὸ παλαιὸν ἡ Κωνσταντινουπόλεως Ἐκκλησία τῇ 6-η μαρτίου μηνός· ἀντίγραφον δὲ τοῦ αὐτοῦ μαρτυρίου εὑρίσκεται καὶ ἔν τινι κώδικι τῆς λαύρας τοῦ ὁσίου Ἀθανασίου τοῦ Ἀθωνίτου, καθά φησι Νικόδημος ὁ Νάξιος, συγχύσας τὸν κηπουρὸν Κόνωνα πρὸς τὸν ἕτερον ἐκ Ῥώμης Κόνωνα, οὗ ἡ μνήμη τῇ 5-η τελεῖται τοῦ ἰουνίου μηνός. Συναξαριστής, ἐκδ. Θ. Ν. Φιλαδελφέως, τ. 2, σ. 187.

2 ὢ] κῶδ. ὁ. — 4 Μαγυδῷ=Μαγεδῷ || κῶδ. *καθήσας*. — 5 *προαστίω*. — 7 *σπουδεοτέρωσϋπεχώρισαν*. — 14 *κατοικονειτινασὲυροιεν*.

2. Καί τις ὀνόματι Ναόδωρος ὁ καὶ Ἀπελλῆς, πατὴρ πόλεως, καὶ ἄλλος τις Νεωκόρος ὀνόματι, ἐμμαινόμενος καὶ αὐτὸς τῇ ἀσεβείᾳ τῶν εἰδώλων, ἠξίωσαν τὸν ἡγεμόνα δοθῆναι αὐτοῖς βοήθειαν, ὥστε ζητῆσαι ἐν οἷς ὑπώπτευον τόποις· καί τις βοηθὸς ὀνόματι Ὠριγένης, ἐπιβὰς καὶ αὐτὸς σὺν τῷ προειρημένῳ Ναοδώρῳ μετὰ καὶ εἰρηναρχικῆς τάξεως καὶ ἑτέρων τινῶν, ηὗρον τὸν μακάριον Κόνωνα ἐν τόπῳ τινὶ λεγομένῳ Καρμενᾶ, βασιλικὸν ἐπαρδεύοντα κῆπον. Καὶ ἐγγίσαντες τῷ τρισμακαρίῳ μάρτυρι ἐχαιρέτιζον αὐτὸν λέγοντες· "Χαῖρε, Κόνων"! Καὶ ὁ τοῦ Χριστοῦ δοῦλος, ἡ ἀκέραιος ψυχή, ὁ ἄκακος τῇ διανοίᾳ, λέγει πρὸς αὐτούς· "Χαίρετε καὶ ὑμεῖς, τέκνα"! Λέγει αὐτῷ ὁ Ὠριγένης· "Παππία, καλεῖ σε ὁ ἡγεμών". Ὁ ἅγιος Κόνων λέγει· "Καὶ ἐμοῦ ὁ ἡγεμὼν τί χρείαν ἔχει, ξένου ἀνθρώπου καὶ μάλιστα χριστιανοῦ; Ἐὰν ζητῇ τοὺς ὁμοίους ἑαυτοῦ, ζητείτω, καὶ οὐχὶ ἄνθρωπον γεηπόνον, μοχθοῦντα τὸ καθ' ἡμέραν". Καὶ ἐπαπορηθεὶς ὁ παράνομος Ναόδωρος ἐπὶ τῇ ἀντιλογίᾳ τοῦ ἁγίου Κόνωνος, κελεύει δεθῆναι αὐτὸν τῷ ἵππῳ αὐτοῦ καὶ οὕτως ἕλκεσθαι. Καὶ ὁ ἅγιος μάρτυς οὐδὲν ἀντεῖπεν τοῖς ἐφέλκουσιν αὐτόν, ἀλλὰ πράως καὶ ἐπιεικῶς ἐπηκολούθει τοῖς παρανόμοις.

3. Λέγει ὁ Ναόδωρος τῷ Ὠριγένει· "Ἡ θήρα ἡμῶν οὐ κενὴ ἐγενήθη· ὁ γὰρ ζητούμενος ηὑρέθη· οὗτος ὑπὲρ τῶν χριστιανῶν πάντων ἀπολογήσασθαι ἔχει". Καὶ προσαγαγόντων αὐτὸν τῷ ἡγεμόνι, Ναόδωρος λέγει· "Εὐμενείᾳ τῶν θεῶν καὶ προστάγματι τοῦ αὐτοκράτορος καὶ τῇ σῇ εὐτυχίᾳ, ἄρχον ἡμῶν ἐπίλεκτε, ηὑρέθη ὁ ζητούμενος φίλτατος τοῖς θεοῖς πᾶσιν πειθόμενος, καὶ τοῖς νόμοις καὶ τῷ μεγάλῳ βασιλεῖ". Καὶ ὁ ἅγιος Κόνων μεγάλῃ τῇ

2 κῶδ. *ἀλλοστίσ·* μετὰ τὸ *τίσ* ὑπάρχει χῶρος τριῶν ἐξεσμένων γραμμάτων || *νεοκόρος* || *ἐμμενόμενος*. — 4 *ἐνοῖσϋπώπτευον*. — 5 *ὀν. ὠριγένης. ἐπιβᾶς*. — 6 *μετακαὶ* || *ηὗρον·* ὁ τόπος οὗτος, ὃν ὧδε τηρῶ, ὑπάρχει καὶ κατόπι. — 7 *κώνωνα·* οὕτω καὶ ἑξῆς. — 9 *χαίρε κώνων*. — 10 *ἠἀκαίρεοσιψυχῆ*. — 11 *ὠρηγένης. παπία*. — 12 *οἡγεγεμῶν - - κῶνων - - οἡγεμὼν*. — 14 *ζητεῖ τ. ὁ. ἑαυτοῦ - - ὀυχιανον*. — 15 *καθημέραν*. — 17 *τῶΐππω*. — 18 *οὐδὲ*. — 19 *ἐπηκολούθη*. — 20 *τᾶωρηγένη* || *οὐκενῆ*. — 21 ἐγενήθη=ἐγένετο] *ἐγεννήθη* || *ηὑρέθηοῦτοσῦπερ*. — 22 *ἡγεμᾶνι*. — 24 *ημῶν ἐπ. ηὑρέθη*.

φωνῇ ἔφη· "Οὐχ ὥς ἐστιν λέγεις· ἐγὼ γὰρ πείθομαι τῷ μεγάλῳ βασιλεῖ Χριστῷ". Ὠριγένης λέγει· "Ἐπίλεκτε τῶν ἡγεμόνων, πολλὰ περιοδεύσαντες κύκλῳ τὰ περὶ τὴν πόλιν οὐδένα εὑρεῖν δεδυνήμεθα, εἰ μὴ τὸν γέροντα τοῦτον ἐν κήπῳ τινί".

4. Ὁ δὲ ἡγεμὼν λέγει τῷ μάρτυρι· "Εἰπέ μοι, ἄνθρωπε, πόθεν εἶ; ἢ ποίου γένους τυγχάνεις; ἢ τί τὸ ὄνομά σου"; Κόνων εἶπεν· "Πόλεως μέν εἰμι ἐγὼ Ναζαρὲθ τῆς Γαλιλαίας, συγγένεια δέ μοί ἐστιν πρὸς Χριστόν, ᾧ ἐκ προγόνων λατρεύω· ὃν ἔγνωκα ἐπὶ πάντων Θεόν". Ἔφη αὐτῷ ὁ τύραννος· "Εἰ ἔγνως τὸν Χριστόν, γνῶθι καὶ τοὺς ἡμετέρους θεούς. Ἐμοὶ πείσθητι, καὶ μὰ τοὺς θεοὺς ἅπαντας τιμὴν οὐ τὴν τυχοῦσαν περιποιεῖς σεαυτῷ, ἀλλὰ καὶ εὐγενῆ πίστιν καὶ δόξαν ἐν ὑπερβολῇ. Οὐ λέγω σοι θῦσον, ἀλλ' οὐδέ τι τῶν τοιούτων ποίησον· μόνον δὲ λάβε λίβανον βραχύν, καὶ οἶνον καὶ θαλλόν, καὶ εἰπέ· Δίε πανύψιστε, σῷζε τὸ πλῆθος τοῦτο. Τοῦτο εἰπὲ καὶ ἕτερον οὐδέν σε ἐπάγω· ἐμοῦ ἄκουσον παρακαλοῦντός σε καὶ φύγε τὴν ἀσεμνοτάτην θρησκείαν. Τί πλανᾶσθε, ἄνθρωπον Θεὸν λέγοντες, καὶ τοῦτον βιοθανῆ, ὡς ἔμαθον παρὰ Ἰουδαίων ἀκριβῶς, καὶ τί τὸ γένος αὐτοῦ καὶ ὅσα ἐνεδείξατο τῷ ἔθνει αὐτῶν, καὶ πῶς ἀπέθανεν σταυρωθείς; προκομίσαντες γὰρ αὐτοῦ τὰ ὑπομνήματα ἐπανέγνωσάν μοι. Παῦσαι οὖν τῆς τοιαύτης μωρίας καὶ ἔσο μεθ' ἡμῶν εὐφραινόμενος".

5. Ὁ δὲ μακάριος μάρτυς στενάξας καὶ ἀναβλέψας εἰς τὸν οὐρανόν, πρὸς τὸν τῶν ὅλων Θεὸν προσευξάμενος, τῷ τυράννῳ ἔφη· "Ἀσεβέστατε πάντων ἀνθρώπων, εἴθε τοιαύτης μωρίας καὶ σὺ ἧς μετέχων καὶ μὴ ἤπολλες ψυχάς, ἃς οὐκ ἔδει ἀπολέσθαι, προσέχων λίθοις ἀψύχοις καὶ ἔργοις χειρῶν ἀνθρώπων, τοῖς μὴ βλέπουσιν, μήτε ἀκούουσιν! πῶς δὲ ἐτόλμησας τὸν ἐπὶ πάντων Θεὸν οὕτω βλασφημῆσαι, οὗ ἐν χερσίν ἐστιν ἡ πνοή σου; Ἐμοὶ

1 κῶδ. *οὐχ' ὥσεστιν*. — 2 *ὡριγένης*. — 4 *εἰμητὸν*. — 6 *ἡποίου - - ἡτί*. — 9 *ἐπιπάντων*. — 10 *ματοὺς*. — 11 *σὲ αὐτῶ*. — 12 *ἐνϋπερβολῆ*. — 13 *οὐδέτι*. — 18 *παραϊουδαίων*. — 19 *σταυρωθεῖς*. — 21 *ἔσω μεθημῶν*. — 25 *μὴ ἤπολλες* || ἤπολλες] ἐκ τοῦ τύπου *ἀπόλλω* || *οὐκέδει*. — 27 *ἐπιπάντων*. — 28 *πνοῆσου*.

Digitized by Google

δὲ γένοιτο καὶ πᾶσιν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ ἀνεξαρνήτως ἀεὶ ὑμνεῖν καὶ δοξάζειν αὐτὸν τὸν τῶν ὅλων σωτῆρα καὶ Θεόν"! Καὶ ὁ ἀσεβὴς τύραννος μεμηνὼς ἐπὶ τοῖς λεχθεῖσιν ὑπὸ τοῦ ἁγίου μάρτυρος, λέγει πρὸς αὐτόν· "Ἐμοὶ οὐ πείθῃ· αἱ βάσανοί σε πτοῆσαι πείσουσιν· εἰ δὲ καὶ τῶν βασάνων καταφρονεῖς, λέοντί σε πικροτάτῳ παραβαλὼν οὕτως σε ἀναλώσω, ἢ βορὰν τοῖς ἐκ βυθοῦ θηρίοις παραδώσω σε, ἢ ἐπὶ σταυροῦ κρεμάσας ἀποκτανθῆναί σε ποιήσω, ἢ λαυροτάτῳ πυρὶ ἐν λέβητι ὑποκαιομένῳ βαλῶ σε καὶ ἐκτήξω τὰς σάρκας σου, ἐὰν μὴ θύσῃς τοῖς ἀηττήτοις καὶ αἰωνίοις θεοῖς". Καὶ ὁ μακάριος μάρτυς λέγει πρὸς τὸν ἀσεβῆ τύραννον· "Ἀσχημονεῖς, ἡγεμών· λόγοις ἐπαγγελλόμενος μόνον, ἐκφοβεῖν με οἰόμενος, νομίζεις πεῖσαί με; οὐ πείσεις με· μὴ γένοιτο· βλέπε δὲ μή σε ὁ κριτὴς ταρτάρῳ παραδώσῃ ἀνυπερθέτῳ, ἢ πυρὶ ἀσβέστῳ εἰς αἰῶνας, ὅπου ὁ σκώληξ οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται· αἱ γὰρ σαὶ βάσανοι, ἃς ἐπαγγέλλει μοι, οὐ δύνανταί με ἀδικῆσαι· Θεὸν γὰρ ἔχω τὸν ἐνδυναμοῦντά με". Ὁ δὲ τύραννος εἶπεν πρὸς αὐτόν· "Εἰ καὶ αἱ βάσανοι οὐδὲν ἰσχύσουσιν κατὰ σοῦ, ἔτι πικροτέρας βασάνους ἐπινοήσομαι κατὰ σοῦ".

6. Σκεψάμενος μετὰ τῶν συνέδρων αὐτοῦ κελεύει ἥλους γενέσθαι ὑπὸ ἀριθμόν, καὶ καθηλώσας τοὺς πόδας τοῦ μάρτυρος ἐποίησεν ἔμπροσθεν προτρέχειν αὐτὸν τοῦ ἅρματος αὐτοῦ, καὶ ἐλαυνόμενος δυσὶν φραγελλίοις οὐδὲν ἀπεκρίνατο, ἀλλ' ἔψαλλεν λέγων· "Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχεν μοι, καὶ εἰσήκουσεν τῆς δεήσεώς μου". Ὡς δὲ ἐπλησίασεν τῷ ἐμπορίῳ, θεὶς τὰ γόνατα ὀλιγοψυχῶν ἐκ τοῦ κόπου ὁ μακάριος Κόνων, καὶ ἀναβλέψας πρὸς τὸν ἑαυτοῦ δεσπότην, ἐπηύξατο λέγων· "Κύριε Ἰησοῦ Χριστέ, δέξαι τὴν ψυχήν μου καὶ ῥῦσαί με ἀπὸ τῶν αἱμοβόρων κυνῶν, καὶ ἀνάπαυσόν με μετὰ πάντων τῶν δικαίων σου, τῶν πε-

3 κῶδ. *οἀσεβῆσ τ. μεμηνῶσ ἐπιτοῖσ λ. ὑποτοῦ.*—4 *ἐμοῦ*—5 *πτοήσαιπείσωσιν.*— 6 λέοντι] *νέοντίσε* || *ἢβορραν.* — 7 *ἢ ἐπισταυροῦ.* — 8 *ἢλαβροτάτω.* — 9 *ἐκτίξω.* — 11 *ἐπαγγελόμενος.* — 12 *πείσης.* — 13 *κριτῆς.* — 14 *ἢπυρὶ ἀ. εἰσαιῶνασ.* — 14/15 Μάρκου θ', 46-48. — 18 *ἐπινοήσωμαι κατασοῦ.* — 19 *σκεψ. μετῶν σ. α. κ. ἤλους.* — 20 *ὑποάριθμον.* — 22 *φραγελίοις.* — 23 *ὑπὸμένων* || Ψαλμ. λθ', 1. — 25 *ὀλιγοψ. - - ομακ. κώνων.* — 27 *ἀποτῶν αἱμοβόρρων.*

*

ποιηκότων τὸ θέλημά σου. Ναί, ὁ Θεός μου, ὁ βασιλεὺς τῶν αἰώνων". Καὶ ταῦτα εὐξάμενος, καὶ σφραγίσας ἑαυτόν, εὐθέως ἀπέδωκεν τὸ πνεῦμα· ὁ δὲ παράνομος ἡγεμών, πολλὰ καταπλαγεὶς ἐπὶ τῇ νίκῃ τοῦ μάρτυρος, ἐξώρμησεν ἐπὶ τὸν ἴδιον δρόμον· ὁ δὲ μακάριος Κόνων προσφορὰ προσηνέχθη τῷ βασιλεῖ τῶν αἰώνων Θεῷ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΤΕΡΟΝ ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΚΟΝΩΝΟΣ.

Τῷ αὐτῷ μηνὶ [= μαρτίῳ] ε΄.

Μνήμη τοῦ ἁγίου μάρτυρος Κόνωνος τοῦ κηπουροῦ.

Ἥλων τύπους φέροντι Κυρίῳ Κόνων
ἥλων τύπους πρόσεισιν εἰς πόδας φέρων.

Ὀξυτάτοισι Κόνων ἥλοισι πάρη πόδε πέμπτῃ.

Οὗτος ἦν κατὰ τοὺς χρόνους Δεκίου τοῦ βασιλέως ἐκ Ναζαρὲτ τῆς Γαλιλαίας· ἀπάρας δὲ ἐκεῖθεν ἦλθεν ἐν πόλει Μαγιδῶν τῆς Παμφυλίας, καὶ ἦν ἐν τόπῳ λεγομένῳ Κάρμενα κῆπόν τινα καλλιεργῶν καὶ τὴν ζωὴν ποριζόμενος. Ἦν δὲ τὸν τρόπον ἀκέραιος καὶ ἁπλοῦς, ὡς ἐπιστάντας τοὺς συλλαβεῖν ζητοῦντας αὐτὸν καὶ ἐν παιδιᾷ ἀσπαζομένους τούτους ἐκ ψυχῆς ἀντασπάζεται· καὶ τὴν αἰτίαν, δι' ἣν πάρεισιν, εἰπόντας, ὅτι ὁ ἡγεμὼν αὐτοῦ Πούπλιος καλεῖ, ἀπεκρίνατο· "Ποίαν γὰρ ἐκεῖνος ἐμοῦ χρείαν ἔχει, μάλιστά γε ὄντος χριστιανοῦ; καλεῖτε τοὺς ὁμόφρονας αὐτοῦ καὶ τοὺς τῆς πίστεως κοινωνούς". Δεσμευθεὶς οὖν καὶ ἀχθεὶς πρὸς τὸν ἡγεμόνα, καὶ παρ' αὐτοῦ θῦσαι τοῖς εἰδώλοις προτραπείς, βαθὺ

4 *ἐπιτὸνίδιον*. — 5 *κώνων προσφορᾶ*. — 7 ἐξ ἡμετέρου κώδικος τῆς 15-ης ἑκατ., ἐμπεριέχοντος ἐπίτομα συναξάρια τοῦ δευτέρου ἑξαμήνου, φύλλ. 7. — 9 *κηπωροῦ*. — 16 *ἀκέρεος*. — 19 *πούπλειος*.

Digitized by Google

στενάξας καὶ τὸν τύραννον καθυβρίσας, καὶ ἐμμένειν τῇ εἰς Χριστὸν ὁμολογίᾳ βεβαιωσάμενος, καὶ οὐδ' ἂν εἴτι γένοιτο σαλευθῆναι, ἥλοις σιδηροῖς τοὺς πόδας καθηλωθεὶς καὶ τρέχειν ἔμπροσθεν τοῦ ἅρματος ἀναγκαζόμενος, λειποψυχήσας καὶ ἐπὶ γόνυ κλιθεὶς καὶ προσευξάμενος, τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε.

Digitized by Google

Digitized by Google

ΔΙΟΡΘΩΣΕΙΣ *καὶ* ΠΡΟΣΘΗΚΑΙ

ΕΝ ΤΟΙΣ ΑΓΙΟΛΟΓΙΚΟΙΣ ΚΕΙΜΕΝΟΙΣ

ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΤΟΜΟΥ.

Σελ. 126. Βίος καὶ μαρτύριον τοῦ ἁγίου Ἀναστασίου τοῦ Πέρσου.—Σελ. 128, 2 γρ. *ἢ καὶ*] κῶδ. *εἰ καί*.—Σελ. 129, 6 γρ. *τήρωνα* || 8 *Χοζρόου*] ἡ τοιαύτη γραφὴ ἐτηρήθη ἐν τῇ ἐκδόσει τοῦ κειμένου, διότι ἐστὶ καθολικὴ ἐν αὐτῷ τῷ ἱεροσολυμιτικῷ χειρογράφῳ· ὅρα σελ. 139, 18. 142, 10. 147, 6 || 17 γρ. *αὐτοῦ* || 20 γρ. *τήρων* || 21 *εἴη*] οὕτως ἐν τῷ ἱεροσολ. κώδικι· οἱ βερολίνειοι κώδικες *ἥκει* || 25 γρ. *ἑαυτόν*, "*Πῶς* || 27 *ἐνταῦθα*"; — 130, 6 *Σαρακηνὸν*] ἐν τοῖς βερολινείοις κώδιξι *σαρκικὸν* || 19 γρ. *φόβον*, *μὴ* κτλ.—Σελ. 131, 5 "*Ο δὲ* || 11 γρ. *Ἐδέσσῃ* || 12 γρ. *ποιήσαντα*, κατὰ τὰ βερολίνεια ἀντίγραφα. —Σελ. 132, 12 *αὐτὸν* || 16 γρ. *θέλειν*, κατὰ τὰ βερολ. ἀντίγραφα || 24 "Ο.—Σελ. 133, 8 γρ. *εἰσελθεῖν εἰς τὸ διακονικόν, προσέπεσεν*· τὸ *εἰσελθεῖν* ἐκ τῶν βερολ. ἀντιγράφων· ἐν τῷ ἱεροσολ. κώδικι *εἰσῆλθεν* || 11 *ἐξηγητήρια*] οὕτως ἐν τῷ ἱεροσολ. κώδικι· τὰ βερολίνεια ἀντίγραφα ἔχουσιν ἄλλως, τὸ μὲν Α *ἐξητήρια*, τὸ δὲ Β *ἐξικετήρια*, *ἐξιτήρια*. — Σελ. 134, 4 γρ. *φερόμενος*, *εἰσελθὼν* | 20 γρ. *αἷς*.—Σελ. 136, 13 γρ. *γνῶ* || 15 *μού* || 28 *παίγνιά εισιν*. — Σελ. 137, 22 *φῶς τὸ ἀληθινὸν*] Ἰωάνν. α', 9. — Σελ. 138, 3 *εὐκατάληπτον*] οἱ βερολ. κώδ. *ἀκατάπληκτον*.—Σελ. 139, 1 γρ. *ἑαυτῷ*· "*Οὗτοι* || 2 γρ. *περὶ αὐτῶν*, κατὰ τοὺς βερολ. κώδικας· ἐν τῷ ἱεροσολ. *περὶ αὐτὸν* ||

Digitized by Google

7 γρ. *νύξαι*] κῶδ. *νῦξαι* || 11/12 γρ. *κείμενον· πιοηθείς*.—Σελ. 140, 21 *κομερινάριος·* οὕτω καὶ σελ. 141, 10] οἱ βερολ. κώδικες *κομερκιάριος* || 25 γρ. *αὐτοὺς·* ἐν τῷ ἱεροσολ. *αὐτοῖς*. — Σελ. 141, 12 γράφε, κατὰ τὸν κώδικα, *ἀπεκατέστησεν·* οὕτω καὶ οἱ βερολίνειοι κώδικες.—Σελ. 142, 2 γρ. *ποταμοῦ, ὡσαύτως παρακαλῶν* || 9 *αἰχμαλώτων, ἀνηνέχθη* || 29/30 *τῇ κτίσει λατρεύοντες παρὰ τὸν κτίσαντα*] Ῥωμ. α', 25. — Σελ. 143, 7 *ἀνελθὼν*] γρ. *ἀπελθὼν·* ὅρα σ. 144, 30 || 15 καὶ 144, 26 *βάβλοις*] οἱ βερολ. κώδικες *βάκλοις* || 17 γρ. [*πεισθῆναι*] *μὴ ἑλόμενος·* τὸ *πεισθῆναι* ἐλήφθη ἐκ τῶν βερολ. ἀντιγράφων. — Σελ. 145, 13 *καταλίπης*] κῶδ. *καταλείπης* || 18 *οὕτως*] βερολ. κώδικες *οὗτος*. — Σελ. 146, 9 "*φυλάσσει - - συγχωρῶν*"] Ψαλμ. λγ', 21 || 21 γρ. *ὅτι* [*ἦλθον*] *χθὲς·* τὸ *ἦλθον* ἐκ τῶν βερολ. ἀντιγράφων || 24 *ἔφαγον*] βερολ. κώδικες *ἔθιγον*. —Σελ. 147, 11 γρ. *ἀπολυθήσεσθε*] κῶδ. *ἀπολυθήσεσθαι* || 17 *τὸν δοξάζ. τοὺς δοξάζοντας αὐτόν*] Βασιλ. 1, β', 30 «τοὺς δοξάζοντάς με δοξάσω» — Σελ. 148, 8 *ἐνέδυσε*] κῶδ. *ἐνέδησε* || 9 *ἐνδοξαζομένου ἐν τοῖς ἁγίοις αὐτοῦ*] Ψαλμ. πη', 8 «ὁ θεὸς ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων».

Σελ. 149. Ἀντιπαραβολὴ τοῦ βίου τῆς ἁγίας Γολινδοὺχ πρὸς ἕτερον ἀντίγραφον.—Τὸν αὐτὸν βίον τῆς ἁγίας Γολινδοὺχ ἔχει ἐν ἑαυτῷ καὶ ὁ 145-ος κῶδιξ τῆς μονῆς τοῦ Διονυσίου, ὅστις ἐγράφη ἔτει 1619-ῳ [ὅρα Σ. Λάμπρου κατάλ. τ. I, σ. 344]· τὸ κείμενον τοῦ βίου κεῖται μεταξὺ τοῦ 396-ου καὶ τοῦ 411-ου φύλλου. Ἡ ἐπιγραφὴ αὐτοῦ ἔχει οὕτως· «Ἰουλίω ιβ' λόγ(ος) λϛ'. Βίος καὶ πολιτεία ἤγουν ἄθλησις τῆς ἁγίας μάρτυρος Γολινδοὺχ τῆς μετονομασθείσης Μαρίας». Ἀντεγράφη δὲ οὗτος δι' ἐμὲ ὑπό τινος Ἰωαννίδου καὶ διαφορότητας πρὸς τὸ πατμιακὸν ἀπόγραφον εὗρον ἐν αὐτῷ τὰς ἐφεξῆς [1]. Σελ. 149, 10 Στι-

[1] Ἐν τῷ κώδικι τοῦ Διονυσίου παραλείπεται τὸ πρὸ συμφώνου τελικὸν ν, οὗ κανονικὴν χρῆσιν ἐποιήσατο ὁ τοῦ Πατμιακοῦ χειρογράφου καλλιγράφος. — Τὸ Διονυσιακὸν ἀντίγραφον διορθοῖ πολλαχοῦ τὸ πατμιακόν· ἀλλ' οὐχ ἧττον διορθωτέα καὶ ταῦτα.— Σελ. 154, 25 *τιθασεῦσαι*] κῶδ. *τιθασσεῦσαι*. — Σελ. 155. Τὸ 6-ον κεφάλαιον.

Digitized by Google

κτέον ὧδε· *ἐπαγγέλλεται, σχολάζειν ἐάσαντες.*—Σελ. 150, 2 *μαρτυρικῶν ἀγώνων* ‖ 4 *ὑπόμνημά τι* ‖ 5 *διεγεῖραι πλέον ε. ζ. ὅσω* ‖ 7 *καὶ Σολομῶν ὁ σοφὸς* ‖ 9 *ἔλεγε* ‖ 11 νόμος] *μόνος* - - *ὅρος ἀπαράβατον* ‖ 17 *Βαβυλωνίας* ‖ 19 ἀνδρῶν] ἐλλείπει τῷ Δ ‖ 23 *ἠγνόησεν.*—Σελ. 151, 1 *προσεπιτούτοις* ‖ 3 γρ. *συγκεκ., ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτόν, ὃ οὐ γνωσθήσεται* ‖ 5 κηρυχθήσεται] *μαρτυρηθήσεται* ‖ 8 *τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου* ‖ 11 *σαρκὶ στόμα πρὸς στόμα* ‖ 17 *διαλέκτω γένους.* — Σελ. 152, 4 ὅτι] ἐλλείπει τῷ Δ ‖ 5 *εὑρίσκεται* ‖ 7 αὐτῷ] *αὐτοῖς* ‖ 8 *Μωσῆς* ‖ 9 *ἐγεννήθη* ‖ 14 *ἡ ἀποκάλυψις* ‖ 19 γοῦν] *νῦν.*—Σελ. 153, 1 *διὰ τί* ‖ 6 *ἐννάτην ὥραν* ‖ 12 δὲ] *οὖν* ‖ 17 *αὐτὴ* ‖ 23 *καὶ ὥσπερ πόλις* ‖ 24 *ταύτην περιβεβλημένη.*—Σελ. 154, 5 τρόπον] *τύπον* ‖ 8 *ἐμβάλλειν* ‖ 12 διεσταλμένην] *διεστραμμένην* ‖ 23 *ἀγγάλαις* ‖ 25 *μεταβαλλεῖν.*—Σελ. 155, 1 *ὁ κύριος* ‖ 2 *Ὡς οὖν* ‖ 3 *αὕτη* ‖ 6/7 *αὐτῷ, αἰσθόμενος.* Οὕτω τὸ 7-ον κεφάλαιον ὀφείλει τὴν ἀρχὴν ἔχειν ἀπὸ τῶν *Ὡς οὖν ἐκεῖνοι* (2) ‖ 7 *ἀληιήριος* ‖ 9 ταύτην] *αὐτὴν* ‖ 10 *πεποίηκεν* ‖ 11 γινομένην] οὕτω καὶ ἐν τῷ Δ ‖ 13 *σάρκινος* ‖ 13 *τῆς πίστεως ποιήσασθαι* ‖ 17/18 *προέρχεται.* ‖ 21 οὖν] ἐλλ. τῷ Δ ‖ 23 *παρεν. αὐτῇ παραινῶν* ‖ 24 μοι] *με* ‖ 25 *θελήσης.* — Σελ. 156, 2 *διαβεβαίωσαι* ‖ 3 *τοῦ προστάγματος* ‖ 4 *τοιοῦτόν* ‖ 5 *ἐστι. ἡ δὲ μάρτυς πάλιν πρὸς αὐτόν* ‖ 6 μου] ἐλλ. τῷ Δ ‖ 8 *με λαβεῖν* ‖ 15 *Ναβουχοδονόσορ* ‖ 18 τοῦ] ἐλλ. τῷ Δ ‖ 23/24 *ἠδυνήθη* ‖ 24 *συριαστὰ.*—Σελ. 157, 2 ἐν ᾗ] *ἡ* ‖ 5 *μαστῶν* ‖ 8 τεμὼν] οὕτω καὶ ἐν τῷ Δ ‖ 10 *μὴ δὲ ὃ φ. αὐτὴν τὶ τ. π. τεκμήριον* ‖ 14 *τούτοις* ‖ 18 *στάκτην* ‖ 28 *ἐξετείναξεν.* —

κατὰ τὸ Διονυσιακὸν ἀντίγραφον, λήγει εἰς τὰ *τῆς ἀμνάδος Χριστοῦ* (2), οὐχὶ δὲ εἰς τὰ *συγκαθεύδειν αὐτῷ*· διὸ καὶ τὸ μὲν 7-ον κεφ. ἀναγνωστέον ἀπὸ τῶν *Ὡς* [*οὖν*] *ἐκεῖνοι*, τὸ δὲ *αἰσθόμενος* (7) ἀναγκαίως ἔχει συνάπτεσθαι διὰ κόμματος τοῖς *συγκαθεύδειν αὐτῷ.* — Σελ. 157, 22 γρ. *ἔνδυμά.* — Σελ. 158, 18 *ψάλη*] κώδ. *ψάλλη.* — Σελ. 164, 24 γρ. *ἠμαγμένα.* — Σελ. 168, 25 γρ. *μᾶλλον εἰπεῖν.* — Σελ. 170, 11 γρ. *βασιλεὺς* ‖ 25 γρ. *ἐπὶ τὸ* — Σελ. 172, 4 γρ. *περιοικίδα* ‖ 16 γρ. *ἀνυμνῆται, προσκυνῆται, δοξάζηται*· οὕτως ἐν τῷ κώδικι τοῦ Διονυσίου· ἐν δὲ τῷ πατμιακῷ *ἀνυμνεῖται, προσκυνεῖται, δοξάζεται.* — Σελ. 174, 1 γρ. *πρὸ αὐτῶν.*

Digitized by Google

Σελ. 158, 2 *αὐτοῖς* ‖ 3 τῆς] ἐλλ. τῷ Δ ‖ 3 *ἐκυρίευεν* ‖ 8 *ἀκαίρεον* - - *ἀληθινὴ* ‖ 10/11 *φλυκιαινῶν* ‖ 12 *τοῦ λάκκου καὶ τῆς ἀνθρακιᾶς ἡ τοῦ Χριστοῦ μάρτυς, ὅτι ἐνόμιζον* ‖ 13 *ἢ σποδιὰν* ‖ 18 *ψάλλῃ* ‖ 20 πάλαι] *παλαιὸς Ναβουχοδονόσορ* ‖ 21 τὸ] ἐλλ. τῷ Δ ‖ 22 *Σεδρὰκ* ‖ 23 *δωροφορίαις* ‖ 27 *ἀθλοφόρον ἐνέβαλλον*. — Σελ. 159, 2 *ὁ Δανιὴλ* ‖ 4/5 οὐκ οἶδα, ὅμως] ἐλλ. τῷ Δ ‖ 5 *δωροφοροῦντες* ‖ 8 *ὀφειλουσα* ‖ 10 *δρᾶμα* ‖ 15 *παιῶν* ‖ 17 *πεποιθυῖα ἦν* ‖ 19 *ὁ δὲ πάλαι* ‖ 24 Θεοῦ] *Χριστοῦ. ὕψου γὰρ τ. θ. ἑαυτὸ* ‖ 26 *τῷ τοῦ σταυροῦ σημείῳ ὅπλῳ κεχρημένη* ‖ 27 *δείγματα*. — Σελ. 160, 5 *οἷα* ‖ 8 *σὺ φοβῇ* ‖ 11 *αὐτό* ‖ 13/14 *αὐτοῦ προσάπτων τοῖς γόνασι* ‖ 15 *καὶ γὰρ καὶ* ‖ 22 καὶ] ἐλλ. τῷ Δ ‖ 24 *τὴν τοσαύτην*. — Σελ. 161, 1 *τὸ ἀληθὲς* ‖ 11 *μόνῳ* ‖ 15 *ἀγγίστρου* ‖ 17 *ἔμεινον* ‖ 23 *λεόντων, ἢ καί*. — Σελ. 162, 2 *τί οὖν* ‖ 3 *ἐπὶ τὸ μ. κ. φθεῖραι* ‖ 4 δὲ] *οὖν* ‖ 5 *ἀσώτων ἀνδρῶν* ‖ 6 *καὶ τοῦ* ‖ 17 *ἔβλεπε πάντας* ‖ 20 *ἡ νύμφη τοῦ Χριστοῦ* ‖ 22 *πεπιστευμένοι τῆς μάρτυρος, εισερχόμενοι εἰς τὸ οἴκ. ἔβλεπον α. καθ. ἐκδοξάζουσα* ‖ 27 *ἑαυτούς*. — Σελ. 163, 2 *διηνεκεῖ ἐξορίᾳ* ‖ 4 *τῶν ἄλλων* ‖ 7 δὲ] ἐλλ. τῷ Δ ‖ 7 *αὕτη* ‖ 9 *ὁ ἄγγελος* ‖ 13 *εἶπε πρᾶξαι* ‖ 16 *παρ' αὐτοῖς* ‖ 19 *ἀποτεμνουμένης* ‖ 22 σου] ἐλλ. τῷ Δ. — Σελ. 164, 7 *δι' ἑτέρων* ‖ 9 *Νισίβιος* ‖ 16 *τοῦτο προθύμως* ‖ 20 ταῦτα] *τὰ* ‖ 22 *αὐτῆς τε*. — Σελ. 165, 2 *καὶ ἐν τῷ* ‖ 3 *Λικιννίου* ‖ 5 *Λικίννιος*· οὕτω καὶ κατόπι ‖ 5 *ξιφ. ἑτέρωθι μὲν τὴν κεφαλήν, ἑτέρωθι* ‖ 7 *τοιηνικαῦτα* ‖ 9 *ἀπὸ τοῦ βυθοῦ Νικ* ‖ 12 *περιμένω* ‖ 13 *ἠφιέντο* ‖ 17 *Νισίβην* ‖ 20/21 προσήγαγε] *ἐπήγαγε* ‖ 22 καὶ] ἐλλ. τῷ Δ ‖ 26 τῆς τῆς] *τῆς Σεβ. ἐτύγχανε* ‖ 28 *ὀρθοδόξους αὐτούς*. — Σελ. 166, 1 εἶ] *εἴη* ‖ 7 καὶ οὐ] *μὴ* ‖ 10 ἐπέβαλον] *ἔβαλλον* ‖ 12 *τοὺς μὴ δεδ* ‖ 26 *δαιμόνιοι ἄγριοι* ‖ 17 ἧκεν] *ἐκεῖθεν* ‖ 19 *γὰρ ἐν* ‖ 20 *κατεῖχε τὰ* ‖ 24/25 *προετρέπετο* ‖ 26 *ἐπὶ τὸ* ‖ 27 *τι γε*. — Σελ. 167, 4 *Πῶς δὲ* ‖ 8 αἱρέσεως] *διαιρέσεως* ‖ 10 *καθολ. καὶ ἀποστολικὴν* ‖ 11

Digitized by Google

τὸ δεξιὸν || 14 *οὕτω* || 15 *ἀνενδυάστως* || 16 *καθολ. καὶ ἀποστολικὴν - - τοῦ αἵματος* || 19 ἐκεῖνος] ἐλλ. τῷ Δ || 27 *εἰπών. καὶ γὰρ ὑπερβαλόντως* || 28 *ἀπεκρίθη.* — Σελ. 168, 2 *περὶ συντελείας* || 17 *θύρας* || 22 *παθήματα Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ὑποδ.* — Σελ. 169, 10 *ἅπαντα* || 12 καὶ μακαριώτατος] ἐλλ. τῷ Δ || 14 *μαθ. γὰρ ἦν ἡ* || 17 *γέγονε καὶ ἔστι* || 19 ἦν] *ἂν εἴη* || 25 *ὥστε ὅπου ἂν* || 27 *ἐνεφάνισε* || 28 *ἀθλοφόρου.*—Σελ. 170, 1 Οὐδὲ ταῦτα ἐν] *Ὡς δὲ ταῦτα ἐν* || 2 *ἀνὴρ τὴν τῶν* || 3 *μεσότειχον* || 7 *τὰ Θεῷ* || 11 *ἀρχιερεύς τε καὶ β. ἐστί τε - - κατὰ τὸν* || 18 *συνεργίας* || 18 τε] ἐλλ. τῷ Δ || 24 *ἀθλοφόρον* || 25 *ἐπὶ τὸ.*—Σελ. 171, 6 με] ἐλλ. τῷ Δ || 10 *βούλει* || 23 *κτῆσιν.* — Σελ. 172, 20 *τῶν τε ὁραιῶν* || 22 πασῶν ὧν] *παρὸ* || 27 *ὑπεδέχθη* || 29 *προσκαλεσάμενος.*—Σελ. 173, 13/14 *ἐπὶ καρδίαν ἀνέβη* || 16 *χώρᾳ φωτὶ* || 16 *ἐπαν. καὶ εὐφραινομένη* || 17 *μετὰ τῶν* || 24 *ταύτας* || 25 *Ἐτελ. δὲ ἡ ἁ. τ. Χριστοῦ μάρτυς Μ. ἰνδικτιῶνος* || 26 *ἐννάτης μ. ι. ιβ'.* — Σελ. 174, 5. Μετὰ τὸ *Ἀμὴν* ὁ Διονυσιακὸς κῶδιξ ἔχει ταῦτα· «Ἐγὼ Εὐστράτιος ταπεινὸς πρεσβύτερος τῆς κατὰ Κωνσταντινούπολιν ἁγιωτάτης Μεγάλης Ἐκκλησίας τὴν ἐξήγησιν τῶν ἄθλων τῆς ἁγίας μάρτυρος Μαρίας ἐποιησάμην, καθὼς ἤκουσα παρὰ τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιεπισκόπου τῆς ἐμῆς πόλεως καὶ ἑτέρων πιστῶν ἀνδρῶν· καὶ τοῦτο πέπραχα οὐχ ὡς αὐθάδης ὢν ἢ τολμητίας, ἀλλὰ κατὰ παράστασιν· ἐν νῷ γὰρ λαβὼν τοὺς ἀγῶνας διελογιζόμην κατ' ἐμαυτόν, ὅτι ἐχρῆν ταῦτα ἐν παρασημειώσει γενέσθαι· μαθὼν γὰρ [ἀπόγρ. *γε*] ἤμην, ὅτι οὐδεὶς συνεγράψατο τόδε τὸ μαρτύριον· καὶ δὴ θεωρῆσαί με ἐν ὁράματι τῆς νυκτὸς Πέτρον τινὰ μοναχὸν λέγοντά μοι· "Εἴσελθε τέως τὴν πρώτην διάγνωσιν"· ἐνόμιζον γε [sic] δίκην ἔχειν μετά τινος. Ὡς δὲ ἐπετίθετό μοι, εἶπον πρὸς αὐτόν· "Καὶ τίνα λαμβάνω συνήγορον"; Ὁ δέ φησι· "Πέτρον τὸν σχολαστικόν". Ἐμοῦ δὲ αὖθις εἰπόντος, "Τὸν πρὸ μιᾶς ἡμέρας ὄντα ἐγγύς μου"; Ὁ δὲ φησί· "Ναί, αὐτὸν ἔχεις συνήγορον". Ἔξυπνος δὲ γενόμενος, συνήθως ὅτι μᾶλλον ὁ Θεὸς στέλλει [κῶδ. *στέλει*]

Digitized by Google

ταῦτα φανερωθῆναι πολλοῖς, καὶ τούτου χάριν ταῦτα συνεγραψάμην, μὴ ὑφορώμενος τὸ τῆς ἰδιωτείας καὶ ἀγροικίας τῶν λόγων ἔγκλημα. καθό γε ἔχει τις οὐ πρόσδεκτος [*εὐπρόσδεκος*?], οὐ καθὸ οὐκ ἔχει γέγραπται. Παρακαλῶ οὖν τοὺς ἐντυγχάνοντας διὰ τὸν Κύριον συγγνῶναι μὲν τῇ ἐμῇ περὶ τὸ λέγειν ἀσθενείᾳ, εὔξασθαι δὲ ὑπὲρ ἐμοῦ, ὅπως Χριστὸς ὁ Θεὸς διὰ τῶν πρεσβειῶν τῆς ἁγίας ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ τῆς ἁγίας καὶ ἀθλοφόρου μάρτυρος ἄφεσιν ἁμαρτιῶν παράσχῃ τῷ τε συγγραψαμένῳ καὶ τοῖς ἐξηγησαμένοις, καὶ τοῖς ἀναγινώσκουσι καὶ ἀκροωμένοις, καὶ ἀξιώσῃ πάντας ἡμᾶς τῆς τῶν οὐρανῶν βασιλείας ἐν ἀπολαύσει γενέσθαι εἰς τοὺς αἰῶνας. Ἀμήν».

Σελ. 175. Βίος τοῦ ὁσίου Γερασίμου.—Τὸν βίον τοῦτον, οὗ συγγραφεὺς ἀναμφηρίστως Κύριλλός ἐστιν ὁ Σκυθοπολίτης, μετέφρασε, κατὰ τὴν ἡμετέραν ἔκδοσιν, εἰς γλῶσσαν ρωσικὴν ὁ καθηγητὴς Ἰωάννης ὁ Πομιαλόβσκης [Палестинскій Патерикъ; выпускъ шестой. Ἐν Πετρουπόλει 1895].—Σελ. 176, 24 γρ. *κατῴκισεν*] κῶδ. *κατώκησεν*.—Σελ. 177, 33 γρ. Κολοσ.—Σελ. 178, 26, 27. Τὰ ἐν τῷ κώδικι *ἀνασιέλλουσα* καὶ *ἀνακόπιουσα* τηρητέα, ὡς ὄντα πιθανῶς ὀνομαστικὰς ἀπολύτους· ὅρα καὶ σελ. 181, 16 || 27/28 κῶδ. *ιὰ τῆς ἐγκρατείας ἀγαθῶ ἐδιδάσκοντο*. Τὸ δοτικοφανὲς τοῦ *τῶ ἀγαθῶ* προφανῶς ἔσφαλται· ἐγὼ δὲ πρότερον, λαβὼν ὑπ' ὄψει τὸ τῆς Ἰλιάδος (16, 811) διδασκόμενος πολέμοιο, μετέβαλον ἐκεῖνο εἰς *τῶν ἀγαθῶν*· ἀλλ' αἱρετώτερον ἴσως ἐστὶ γράψαι ἁπλῶς *τὰ - - ἀγαθὰ* ἢ *τὸ - - ἀγαθόν*.—Σελ. 180, 13 *μονὴ*] πρβλ. Ἰωάνν. ιδ', 23 || 20 γρ. *αὐτοῖς «Καθὼς εὕραμεν* || 21 γρ. *ὅτι περιπατῶν* || 22 *ὀδυρόμενος*] τοῦτο φαίνεταί μοι ὕποπτον· ἴσως ἐν τῷ πρωτοτύπῳ ἔκειτο ἀντὶ τούτου τὸ ὀδυνώμενος· πρβλ. Κυρίλλου βίον τοῦ ὁσίου Σάβα, ἐκδ. Πομιαλόβσκη σ. 256· «συνήντησε λέων - - χωλαίνων, καὶ προσπεσὼν ἐδείκνυεν αὐτῷ τὸν πόδα, νεύματι παρακαλῶν ἐπιμελείας τυχεῖν· ὁ δὲ πατὴρ ἡμῶν Σάβας κατανοήσας τὴν τοῦ θηρίου ὀδύνην, καθίσας, καὶ τοῦ ποδὸς αὐτοῦ ἐπιλαβόμενος» κτλ.—Σελ. 183, 7 γρ. *σιέρησιν* || 25 *τοὺς δοξάζονιας αὐτὸν δοξάσαι*] Βασιλ. 1, β', 30 || 2 γρ. *σιέρησιν*.

Digitized by Google

Σελ. 185. Βίος Θεοφάνους καὶ τοῦ αὐταδέλφου αὐτοῦ Θεοδώρου ὑπὸ Θεοδώρας Ῥαουλαίνης Καντακουζηνῆς τῆς Παλαιολογίνης.—Σελ. 185, 3/6 γράφε, κατὰ τὸν κώδικα, *προθυμηθείη καὶ ὅλην - - προθήσῃ - - παραθήγοντα; Ἂν δέ γε* κτλ. — Σελ 187, 13 *ὅσοι*] *ὅσῳ·* οὕτως ἐν τῷ κώδικι.—Σελ. 188, 4 γρ. [*τὰς*] *θεανδρικὰς* ‖ 7 γρ. *ἀναφανείς. Πρός.*—Σελ. 189, 19 γράφε, κατὰ τὸν κώδικα, *ἀπολελοίπει.* Ἡ Θεοδώρα χρῆται πολλαχοῦ τοῖς ἀναυξήτοις ὑπερσυντελίκοις ‖ 29 *αὐτὸν*] ἀντὶ τούτου ἀνάγνωθι, κατὰ τὸν κώδικα, *αὐτό.*—Σελ. 190, 26/27 γρ. *Ἀλλά γε.*—Σελ. 191, 8/9 *καταλειφθὲν*] οὕτως ἀνάγνωθι ἀντὶ τοῦ ἐν τῷ κώδικι προφανῶς ἐσφαλμένου *καταληφθὲν* ‖ 25 κῶδ. *ἀναδειχθέντι* ‖ 26/28. Στίξον οὕτως· « - - - οἶδε καταγεραίρειν (ὃς πᾶσι κανὼν καὶ γνώμων ἐγένετο, πάντας ἀπευθύνων πρὸς θεῖα σκηνώματα, οὐκ ἐπιπλήττων ἄλλως οὐδὲ κραυγάζων), καίτοι τοῖς ἱερεῦσιν ἀνεῖται ταῦτα [=τὰ ᾄσματα] κατὰ καιρόν; Ὅδε» κτλ. Ἐν δὲ τῇ σχετικῇ ὑποσημειώσει (25) κατὰ προφανῆ σύγχυσιν τὸ χωρίον ἡρμηνεύθη ὡς δῆθεν σχέσιν ἔχον πρὸς Θεόδωρον τὸν Γραπτόν, εἰ καὶ παντὶ δῆλον, ὅτι πρόκειται ἐν ἐκείνῳ περὶ Ἰωνᾶ τοῦ Σαβαΐτου, οὗ ἡ μνήμη τελεῖται τῇ 21-ῃ ἢ τῇ 22-ᾳ τοῦ σεπτεμβρίου μηνός, καὶ ποῦ μὲν ἡ πρὸς αὐτὸν ᾀσματικὴ ἀκολουθία ψάλλεται, ποῦ δὲ παραλείπεται ὅλως. Τοῦτο οὕτως ἐγίνετο, φαίνεται, καὶ ἐπὶ τῶν χρόνων τῆς Θεοδώρας Ῥαουλαίνης.—Σελ. 192, 4 γρ. *ᾔδειο* ‖ 22 γρ. *Ἔστεργεν.*—Σελ. 193, 4/6. Γράφε· *τοίνυν, ὡς - - - τοσοῦδε, καὶ δ. ημ. φύσεως· πλαξὶ δὲ - - τὰ κάλλιστα ἀδικεῖν* κτλ. ‖ 11 *σταυροῦσιν ὅλως αὐτοὺς*] πρβλ. Γαλατ. ε', 24 ‖ 20 *εἰς δύναμιν ἐκ δυνάμεως*] πρβλ. Ψαλμ. πγ', 8.—Σελ. 195, 21 γρ. *αἵ.*—Σελ. 196, 18/19 *πῦρ - - ἔβαλε*] Λουκᾶ ιβ', 49 ‖ γρ. *ἔβαλε* (κῶδ. *ἔβαλλε*), *ταῖς καρδίαις μ'* ‖ 31 γρ. *τριημερίαν.*—Σελ. 197, 1 κῶδ. *νόμου.*—Σελ. 198, 18 *τὸ ἄσβεστον*] πρβλ. Ματθ. γ', 12. Μάρκ. θ', 43, 45. Λουκᾶ γ', 17 ‖ 23 γρ. *οἶδε πρὸς τῷ*—Σελ. 199, 14 γρ. *Πρωτεσίλεως* ‖ 15 *αὐτοῦ.*—Σελ. 200, 4 γρ. *φαρμάττεις·* οὕτω καὶ ἐν τῷ κώδικι ‖ 10/12 γρ. *εὔφθογγος, τὸν - -*

Digitized by Google

ιδοῦσα (*Ἡσαΐαν - - παρίστησι*) *καὶ - - ἀπωλείας, πλεῖστα* || 31 γρ. β', 15-17. — Σελ. 201, 6 γρ. *τέ οἱ* || 28 κῶδ. *περιελαχίστου.* — Σελ. 202, 28 γρ. *μαίνεις*· οὕτω καὶ ἐν τῷ κώδικι.—Σελ. 203, 5 γρ. *Ἀσκάλων*· ὅρα γρ. 3 | 18 κῶδ. *Σεναχηρείμ.*—Σελ. 204, 1 γρ. *ὑπῆδε*· οὕτως ἐν τῷ κώδικι· ὅρα καὶ σελ. 311, 4 *ὑπᾴδοντες* || 2 γρ. *πέτρην*; || 3 *προσέβαλε*] κῶδ. *προσέβαλλε* || 7 γρ. *χρήματα ἐτ'* || 13 κῶδ. *τομηδὲν* || 14 *μεταδιώξαντες*] τοῦτο διωρθώθη οὕτως ἐκ τοῦ ἐν τῷ ἀπογράφῳ *μεταδιώξαντος* || 29 γρ. "*Εἰρήνη τε καὶ ἀσφάλεια*" κτλ.—Σελ. 205, 26 *προμάχων*] κῶδ. *προμαχῶν*. — Σελ. 206, 17 *ἀνόνητον*] κῶδ. *ἀνώνητον* || 20 *ἐφ' ᾧ*] κῶδ. *ἐφῶ* || 24 γρ. *ἀχθῆναί οἱ.*— Σελ. 207, 15 κῶδ. *κατουδὲν* || 17 *ἐπεκάθητο* (οὐχὶ *ἐκάθητο*) ἐν τῷ κώδικι || 19 γρ. *ῥητορευσάντας ἠδυνήθη.*—Σελ. 208, 1 γρ. *ὑπισχνούμενοι,* κατὰ τὸν κώδικα || 5 *συλῆσαι*] κῶδ. *συλλῆσαι.* — Σελ. 209, 1 κῶδ. *πρὸς τῷ διατρανῶσαι* || 14 κῶδ. *ἀνδριοῦμαι λέγων* || 21 γρ. *καταδέχοιντό οἱ* || 24 *αὐτῶν*] γράφε, κατὰ τὸν κώδικα, *αὐτόν.*—Σελ. 210, 4 γρ. *ὅτι* ἀντὶ τοῦ *ὅτε* || 10 γρ. *ἡμῖν φοβερόν, ὦ βασιλεῦ.*—Σελ. 212, 30 *αὐτοῖς*] κῶδ. *αὐταῖς.*—Σελ. 213, 2 κῶδ. *κατησχυμένος* || 9 *πέτραις*] τοῦτο, εἰ καὶ οὕτως ἐν τῷ κώδικι γέγραπται, κατὰ τὸ ἐμὸν ἀπόγραφον, ἔστιν ὅμως προφανῶς ἐσφαλμένον· ὁ γὰρ ποιητής, ὃν ἡ Θεοδώρα κατὰ νοῦν ἔχει, π έ δ α ι ς εἶπεν, οὐχὶ δὲ π έ τ ρ α ι ς· ὅρα Αἰσχύλον ἐν τῷ Προμ. Δεσμώτῃ, στίχ. 6 «ἀδαμαντίνων δεσμῶν ἐν ἀρρήκτοις πέδαις» || 14 στικτέον οὕτω, κατὰ τὸν κώδικα· *προέτεινον, ἐφ' ὅλαις τ. ἡ. τέσσαρσιν ὁτὲ μὲν* κτλ. || 18. Κατὰ παραδρομὴν ἐνταῦθα ἐτυπώθη τὸ ἀνύπαρκτον *ἐγκεκολάπτοντο* ἀντὶ τοῦ ἀναυξήτως μὲν ἀλλ' ὀρθῶς ἔχοντος *ἐγκεκόλαπτο = ἐνεκεκόλαπτο.* Ἐν τῷ κώδ. γέγραπται οὕτως· *οἱ τ. α. ἐγκεκόλαπτον.* Ἕτερα παραδείγματα ἀναύξητα ὅρα ἐν τῇ σελ. 189 19 *ἀπολελοίπει,* 191 17 *καθεστήκει,* 214 1 *κακολάφατο* 5 *κεκλήρωτο,* 215 8 *καταλέλειπτο* (ὅπερ τηρητέον ἐν τῷ κειμένῳ), 219 10 *προτεθύμητο.*—Σελ. 214, 3 γρ. *ἀμείζοντι, φρουραί.*—Σελ. 215, 9 γρ. *διαθεούσης, τῶν πιστῶν ὅσοι* || 10/11 *ὁπωσοῦν, ἑαυ-*

Digitized by Google

τοὺς || 18 κῶδ. *ἄλλοιε ποιέ.*—Σελ. 217, 7 κῶδ. *καιαιάχος* 25 κῶδ. *τοπαράπαν.*—Σελ. 219 7 γρ. *ἀειζώῳ* || 13 *αὐτὴν* || 20 *αὐτῷ.*—Σελ. 220, 1 γρ. *ὑπὸ ψελλιζούσῃ*, κατὰ τὸν κώδικα || 2 γρ. *τῇ μητρὶ* || 9 *καὶ χερσὶν - - καὶ κόμαισι* (κῶδ. *κόμεσι*) *καὶ βάσει ποδῶν*] Εὐριπίδου Ἑκάβη, στίχ. 837 Dind || 20/21 *πρὶν γὰρ ἐν κοιλίᾳ - - ἡγίακεν*] πρβλ. Ἱερεμ. α', 5 «πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ ἐπίσταμαί σε, καὶ πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας ἡγίακά σε» || 31 *ζῶντος ὕδατος*] Ἰωάνν. δ', 11. — Σελ. 221, 24 γρ. *ὤφθησαν.*—Σελ. 222, 1 *τρίχαν*] οὕτως ἐν τῷ κώδικι || 29 γρ. *Θεῷ, ταῖς.* — Σελ. 223, 3 γρ. *σῶμα, παλάμαις* || 9/10 γρ. *διαπορθμευόντων*, ὡς ἐν τῷ κώδικι, καὶ μετὰ τὸ *μέχρι* θὲς κόμμα. — Μετὰ τὰς ἀναγκαίας ταύτας καὶ οὐσιώδεις ὡς ἐπὶ τὸ πολὺ διορθώσεις καὶ σημειώσεις εὔκαιρον εἰπεῖν, ὅτι τὸ πόνημα τοῦτο τῆς Θεοδώρας ἐγίνωσκεν ὁ Δοσίθεος τῇ 17-ῃ ἑκατ. καὶ μνείαν αὐτοῦ ποιεῖται ἐν τῇ οἰκείᾳ Ἱστορίᾳ τῶν ἐν Ἱεροσολύμοις πατριαρχευσάντων [Ἐν Βουκουρεστίῳ 1715, σ. 678].

Σελ. 224. Μαρτύριον τῶν ἐν τῇ Κρήτῃ ἁγίων δέκα μαρτύρων.—Τούτου τοῦ κειμένου ἀντίγραφον, ὡς δὲ φαίνεται, ὀρθόν, ἀλλὰ καὶ παλαιὸν πάνυ (τῆς 9-ης ἢ τῆς 10-ης ἑκατονταετηρίδος), εὑρίσκεται μεταξὺ τῶν φύλλων 162-169 τοῦ 1491-ου κώδικος τῆς ἐν Παρισίοις βιβλιοθήκης (Catal. cod. hagiogr. Bibliothecae Parisiensis Nationalis, σ. 174). Ἡ ἡμετέρα ἔκδοσις ἐγένετο κοπιωδῶς ἐξ ἀντιγράφου σφόδρα ἐσφαλμένου, περιεχομένου ἐν τῷ 181-ῳ σαβαϊτικῷ τεύχει, καὶ εἰ μὴ πρότερον ἀντιπαραβληθῇ τὸ ἐν Παρισίοις ἀντίγραφον, ἀδυνατῶ τὸ ὅλον ὀρθῶσαι κείμενον, οὗ πολλοὶ τόποι προφανῶς εἰσι διεφθαρμένοι· ἀλλ' οὐχ ἧττον σημειοῦμαι ὧδε, ὅσα πρότερον ἡμαρτημένως ἐτυπώθη, ἢ παρελείφθη.—Σελ. 225, 1 κῶδ. *οἰόσιε ὧν διηγίσωμαι.*—Σελ. 227, 19 γρ. *χειμαζομένης, συνεχῶς* || 20 γρ. *βίας προσρηγνυμένου* || 24 κῶδ. *περειπειρωμένων.*—Σελ. 228, 4 γρ. *θατέρῳ* (κῶδ. *θατέρου*), *ἀγνοοῦντες - - βουλόμενοι* || 19/20 γρ. *ὑποβάλλεσθαι* (κῶδ. *ὑποβαλλέσθαι*). — Σελ. 229, 2 γρ. *ἐμπλῆσαι* || 15 *Χριστὸν δὲ καταγγέλλομεν*] Κολοσ. α', 28.—

Digitized by Google

Σελ. 230, 12 γρ. *ὄχλους ἡμῖν* || 14 γρ. *ὥς φατε*. — Σελ. 231, 14 γρ. *τούτοις, οὕτως* (κῶδ. *χρείσασθαι τοῖς ἀ. τ. οὕτως βλασφημήσαντας*) || 24 κῶδ. *πόλην*.—Σελ. 232, 2 κῶδ. *διὰ φέροντες* || 7 γρ. *ῥοπῇ - - αἶρε* || 8 γρ. *αἶρε* || 12 γρ. *διὰ τοῦ* 15 κῶδ. *κληρονομήσωσιν*. — Σελ. 233, 5 γρ. *ῥοπῇ* || 12 γρ. *ἀνανταγώνιστον*] κῶδ. *ἀνταγώνιστον*.

Σελ. 238. Σημείωμα περὶ τοῦ συγγραφέως τοῦ περὶ τῆς σκέπης τοῦ ἁγίου Δημητρίου διηγήματος. — Τὸ διήγημα τοῦτο εὑρίσκεται συνήθως ἐν πολλοῖς ἀντιγράφοις ἀνώνυμον ὅλως, ὡς καὶ ἐν τῷ 179-ῳ Σαβαϊτικῷ τεύχει· ἀλλ' ἐν τῷ 11-ῳ κώδικι τῆς ἐν Μαδρίτῃ βασιλικῆς βιβλιοθήκης συντάκτης ἐκείνου ἀναγράφεταί τις Νικάσιος, καὶ ἔχει ἡ ἐν τῷ κώδικι τούτῳ ἐπιγραφὴ οὕτω· «Νικασίου διακόνου, μοναχοῦ Παντοκρατορινοῦ, διήγησις περὶ τῆς περιφανεστάτης μεταγωγῆς τῆς σκέπης, τὴν λαμπρὰν σορὸν καὶ εὐωδέστατα καὶ σωτηριώδη μύρα βλύουσαν σκεπούσης μυροθήκην, τὴν σῶα καὶ ἀβλαβῆ τὰ ἱερὰ λείψανα διατηροῦσαν τοῦ ἁγίου Δημητρίου, Θεσσαλονίκης ἀνθυπάτου καὶ ἐν τοῖς μάλιστα ἐξαισίοις διαπρέποντος μάρτυσι, μᾶλλον δὲ καὶ ὑπὲρ ἥλιον λάμποντος πολὺ διαυγεστέρου, ἐν πολέμοις ἀηττήτου, ἐν θλίψεσι καὶ κακώσεσι θαυματουργοῦ μεγάλου πρὸς τοὺς ἀσθενεῖς, ἅμα τῇ αὐτοῦ τοῦ μεγαλομάρτυρος εἰκόνι, ἣν ἐκ Θεσσαλονίκης εἰς τὴν Βασιλεύουσαν ἄγοντες ἐν τῇ τοῦ Παντοκράτορος βασιλικῇ μονῇ κατέθεντο μηνὶ ὀκτωβρίῳ κγ', ἰνδικτιόνος ιγ', ἔτους ,ςχνζ', ἐπιμελοῦντος τοῦ σεβασμίου καὶ ἁγιωτάτου, περιφανεστάτου, ἀηττήτου, ὀρθοδόξου, κρατίστου καὶ τῇ εὐσεβείᾳ πάντας ὑπερβάλλοντος βασιλέως ἡμῶν Μανουὴλ Κομνηνοῦ τοῦ πορφυρογεννήτου· καὶ ὑπὲρ τῆς τῶν λειψάνων θησαυροῦ ἐπιτεύξεως πρὸς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν λόγος εὐχαριστήριος, πρὸς δὲ αὐτὸν τὸν μεγαλομάρτυρα εὐκτικός». J. Iriarte, Regiae Bibliothecae Matritensis codices graeci mss. Matriti 1769, τ. I, σ. 29.—Σελ. 240, 8 γρ. *κεκτῆσθαι ὁδηγοῦντα* || 19 γρ. *μοι τῷ* (κῶδ. *τὸ*) || 23 γρ. *ἔτους ἔκτου* (κῶδ. *ἐκ τοῦ*).—Σελ. 241, 3 γρ. *ὀπτασιῶν, ἐμποιούντων*. — Σελ. 242, 6/7 γρ. *ἕτερον κατασκευασθὲν* || 9/10 γρ.

Digitized by Google

παρέχον, τοῦτο μὲν εἰς κόσμον || 11 *φωστῆρος, τοῦ* || 12 *μάρτυρος, ὁ πορφυροβλάστητος* || 13/14 *Κομνηνός, ἀναπληρῶν τ. τ. πρ. τόπον, διωρίσατο* || 18 *Δημήτριον ἐκτ. παλάμαις, ὕμνοις* κτλ.—Σελ. 243, 25 γράφε, κατὰ τὸν κώδικα, *ἀναστέλλουσα*· ὀνομαστικὴ ἀπόλυτος ἐκ ρυθμικῆς ἀνάγκης.—Σελ. 244, 18 γρ. *οἷόν τε, κατὰ* || 19 *χρηστότητος ἐπὶ* || 30 *διάπυρος*] κῶδ. *διάπειρος*. — Σελ. 245, 4 γρ. *καὶ μισοῦντες* || 13 *ἔχομεν, διὰ* || 15 γρ. *μόνον δέξαι=παράκλησιν*.—Τὸ 4-ον καὶ τὸ 5-ον κεφάλαιον, μετὰ τὴν ἀποβολὴν τῶν περιττῶς ἐν αὐτοῖς προστεθέντων λεξειδίων, ἀποτελοῦσιν ἓν ὅλον κεφάλαιον.

Σελ. 247. Ἄθλησις τοῦ ἁγίου Παύλου τοῦ ἐν τοῖς Καϊουμᾶ.—Τὸ κείμενον τοῦτο ἐγινώσκετο πρότερον λατινιστί. Acta Sanctorum, Ἰουλίου τ. II, σ. 635-639.—Σελ. 247, 2/3 γρ. *διαλάμψαντος, εἰρήνη* || 5 κῶδ. *εὐθυνούμενον* || 8 γρ. *λίθον κινεῖ*" || 16 γράφε, κατὰ τὸν κώδικα, *ὤφελε*.—Σελ. 248, 8 γρ. *παίδευμα, καὶ* || 15 γρ. *κενοφωνίαις* || 16 γρ. *προσχήμαπ* || 24 γρ. *πόδας*.—Σελ. 249, 9 γρ. *οὐρανοὺς* || 11 κῶδ. *κατασάρκα* || 13 *τέαφον*] κῶδ. *τέσφον*· οὗτος ὁ τύπος ὁμολογουμένως ἐστὶν ἡμαρτημένος, εἰ καὶ ἐν αὐτοῖς τοῖς εἰς τὴν Ὀδύσσειαν σχολείοις εὑρέθη τὸ *τεσφίου*, περὶ οὗ ὅρα τὸν Θησαυρὸν τοῦ Ἑρ. Στεφάνου, ἐκδ. Didot, τ. VII, σ. 1919 || 17 κῶδ. *ἔνθέν τοι* || 22/23 *ἀποκαλεῖς*] γράφε, κατὰ τὸν κώδικα, *ἀποτελεῖς* || 24/25 *καινὴν*] κῶδ. *κενὴν* || 27 *πατράσιν*] κῶδ. *πατρᾶσιν* || 29/30 κῶδ. *παραλουκᾶ*.—Σελ. 250, 12 γράφε κατὰ τὸν κώδικα, *σχοίνων* || 13 γρ. *τάχος* || 17 γρ. *ἡ βοήθεια μου· ἡ βοήθειά μου* || 21 γρ. *ῥιπιοῦσι*, κατὰ τὸν κώδικα || 27 κῶδ. *ἐκποδῶν* || 28 γρ. *καλῶς ἠμφιάσατο*.—Σελ. 251, 1 γρ. *ἐφίσταται, "Ἄγε* || 12 γρ. *ὁλόκληρος ὅλος* || 13 *παρεληλυθότων, ἀφ' οὗπερ*.

Σελ. 252. Μαρτύριον τοῦ ἁγίου Ἀθηνογένους.—Τοῦτο ἐξεδόθη τῇ βοηθείᾳ ἑνὸς καὶ μόνου ἀντιγράφου (κῶδ. Σαβαϊτ. 168, φ. $44^{β}$-$50^{α}$) τῆς 10-ης ἑκατοντ. Δύο ἕτερα ἀντίγραφα ἐδήλωσαν οἱ συντάκται τοῦ Catal. cod. hagiogr. bibl. Nationalis Parisiensis, σ. 110 καὶ 150. Ἕτερον πάλιν ἀντίγραφον, ὡς ὁ Νικόδημος λέγει,

Digitized by Google

εὑρίσκεται ἐν τῇ λαύρᾳ τοῦ ὁσίου Ἀθανασίου τοῦ Ἀθωνίτου. Συναξαριστής· ἐκδ. Φιλαδελφέως τ. II, σ. 263.—Σελ. 253, 9 τὸ] ἴσως *τῷ* ‖ 10 κῶδ. *ἐνῷ* ‖ 19 γράφε *ἧς* ἀντὶ τοῦ ἐσφαλμένως ἐκτυπωθέντος *εἰς* ‖ 29 *καιάνιικρυς*] ἕτερον τοῦ τύπου τούτου παράδειγμα ὅρα ἐν τῷ λεξικῷ τοῦ Σοφοκλέους. — Σελ. 254, 1 γρ. *στιβαρώσειεν* ἢ *στιβαρῶσαι* ‖ 9 κῶδ. *ἐγεννήθητε* ‖ 15 *δὲ*] κῶδ. *τε* ‖ 18 *ἀπειθεῖτε*] κῶδ. *ἀπειθῆτε* ‖ 25 *ἀπόλησθε*] κῶδ. *ἀπόλεσθε*.—Σελ. 255, 1 κῶδ. *προσσέταξεν* ‖ 11 κῶδ. *ἐρύσατο*.—Σελ. 256, 3 *ὑπήνι. αὐτῷ*] κῶδ. *αὐτὸν*· πρβλ. σελ. 253, 17, ἔνθα ὁ αὐτὸς κῶδιξ ἔχει ὀρθῶς τὸ *αὐτῷ* ‖ 5 γρ. *στερίσκῃ* ‖ 7 *εἴη*] τοῦτο ἀντὶ τοῦ ἐν τῷ κώδικι *εἶτε*· ὀρθότερον ἴσως *ἤτω* ‖ 15 γρ. *σου· καὶ* ‖ 29 κῶδ. *ἔσεσθαι*. — Σελ. 257, 11. Ἀντὶ τοῦ *κλίνουσα*, ὅπερ εἰκαστικῶς ἐγράφη, προτιμῶ νῦν μεταβαλεῖν τὸ προφανῶς ἐσφαλμένον ἐν τῷ κώδικι *πίθουσα* εἰς *τιθοῦσα* (ἐκ τοῦ τύπου *τιθέω*) καὶ τὸ *καταλειποῦσα* εἰς *καταλείπουσα*· διὸ καὶ στικτέον οὕτω· « - - προσάγουσα δῶρον τῷ Θεῷ μοσχάριον· ἀναγινωσκομένου [γὰρ] τοῦ ἁγίου εὐαγγελίου προσφέρει τῷ θυσιαστηρίῳ, θεωρούντων πάντων, τιθοῦσα ἑαυτῆς τὰ γόνατα· καταλείπουσα [δὲ] τὸν γόνον αὐτῆς πορεύεται» κτλ.

Σελ. 258. Βίος τοῦ ἁγίου Μαρκιανοῦ. — Τοῦ βίου τούτου δύο ἀντίγραφα ἔχει καὶ τῶν Παρισίων ἡ βιβλιοθήκη. Catal. cod. hagiogr. Bibliothecae Nationalis Parisiensis, σ. 12 καὶ 114. Τούτων δὲ τῶν ἀντιγράφων αἱ ἐπιγραφαὶ ἔχουσιν οὕτω· «Βίος καὶ πολιτεία τ. ἐ. ἁ. π. ἡ. Μ., πρεσβυτέρου γενομένου καὶ οἰκ. τῆς ἁγιωτάτης Μεγάλης Ἐκκλησίας» (cod. 513, f. 159). «Βίος καὶ πολιτεία τοῦ ὁσίου π. ἡ. Μ., πρεσβ. καὶ οἰκ. γεγονότος τῆς Μ. Ε» (cod. 1449, f. 162). — Σελ. 258, 3 κῶδ. *καθεκάστην* ‖ 6 *ὁδὸν ὑπ. σωτηρίας*] Πράξ. ϛ', 17 ‖ 9 κῶδ. *ἐξεπαγγελίας*. — Σελ. 259, 1 *ἁγίας*] πρὸ τοῦ *ἐκκλησίας* ὑπάρχει ἐν τῷ κώδικι χῶρος τεσσάρων ἢ πέντε γραμμάτων ἐφθαρμένος, ὃν ἐγὼ συνεπλήρωσα διὰ τοῦ *ἁγίας* ‖ 2 *ὁ ὢν ἐν τοῖς κόλποις αὐτοῦ*] Ἰωάνν. α', 18 ‖ 3 *ἐπὶ τῇ πέτρᾳ* κἑ] Ματθ. ιϛ', 18. Κορινθ. 1, ι', 4 ‖ 15 κῶδ. *πάσει* ‖ 18 *ὁ Μ. ἐπαιδ. πάσῃ σο-*

Digitized by Google

φιᾳ Αἰγυπτίων] Πράξ. ζ', 22 || *ὁμοίως δὲ - - ἀναδραμὼν*] τοῦτο τὸ χωρίον ἦν ἐν τῷ κώδικι ἀσαφές· μετὰ γὰρ τὸ *δὲ* ὁ κῶδιξ ἁπλῶς ἔχει τὸ *τοῦτον*, ὅπερ ὁμολογουμένως ἀκατανόητον, ἐκ δὲ παραδρομῆς οὐδ' ἐσημειώθη ἐν ταῖς ὑποσημειώσεσιν· ἀλλ' ἐν τῇ τυπώσει τοῦ κειμένου, ἵνα τὸ χωρίον καταληπτόν πως γένηται, σπεύδων μετέτρεψα τὸ *τοῦτον* εἰς *καὶ τούτῳ*, προσθέμενος καὶ ἓν *αὐτῆς* (= τῆς ἔξω παιδείας) μετὰ τὸ *καταφρονήσας*· ἀλλ' οὐδὲ ταῦτα καλῶς εἶχον· μετὰ δ' ἐπισταμένην τοῦ χωρίου ἀνάγνωσιν ἔγνων, ὅτι τοῦτο καταληπτὸν ἀποβαίνει μόνῃ τῇ ἁπλῇ τοῦ *τοῦτον* μεταβολῇ εἰς *ταύτην*· «*ὁμοίως δὲ ταύτην* (= τὴν ἔξω παιδείαν) *καταφρονήσας* (= κατανοήσας) *ἐφάνη*» κτλ. || 24 *τὸ πολίτευμα ἐν οὐρανοῖς ἔχοντες*] πρβλ. Φιλιπ. γ', 20. — Σελ. 261, 23 *τοῦ*] γρ. οὕτως ἀντὶ τοῦ ἐκ τυπογραφικοῦ σφάλματος πηγάσαντος *τόν*.—Σελ. 262, 23 γράφε, κατὰ τὸν κώδικα, *ἱερεῦσιν νίπτειν τὰς χεῖρας, περιέπλεκεν* κτλ. || 30 κῶδ. *ἤδεισαν* || 32 γρ. 13 χρυσὸν]. — Σελ. 263, 29 κῶδ. *κατεπαγγελίαν*. — Σελ. 264, 1 *Πῦρ*] κῶδ. *παρ'* || 17 *Ῥῦσαι - - μονογενῆ μου*] Ψαλμ. κα', 21 || 18 *πυρὸς*] οὕτως ἐν τῷ κώδικι, ἀντὶ τοῦ ψαλμικοῦ *κυνός*.—Σελ. 265, 2 κῶδ. *παρεσκεύασαι* || 13 κῶδ. *συνεργεία* || 15 κῶδ. *περιπούτου* || 24 κῶδ. *τοἔργον* || 26 *συνόντας*] κῶδ. *σύροντας* || 30 *καταργήσας τὸν θάνατον*] πρβλ. Κορινθ. 1, ιε', 26. Τιμοθ. 2, α', 10. Ἑβρ. β', 14. — Σελ. 266, 17. Ἐπειδὴ τὸ *τε* οὐ καλῶς ἐνταῦθα κεῖται, ὑποψίαν ἔχω, ὅτι ῥοπῇ τῆς ἐσχάτης συλλαβῆς τοῦ *ἐξωθήσατο* ἐξερρύη ἡ πρώτη τοῦ *τότε* συλλαβή, κατὰ δ' ἀκολουθίαν ἀναγνωστέον *ἐξωθήσατο*, [*τό*]*τε μέχρι μέσου* κὲ || 18 κῶδ. *ἐπικλύζουσα*.—Σελ. 267, 3/6. Στικτέον οὕτω· *στάσεως· διαρρηγν. πολλάκις - - ἀπολεγόντων, ἴσως - - φρονήσαντες* (?), *πρὸς* κτλ. || 11 *διαστρέφων τὰς ὁδοὺς*] Παροιμ. ι', 9 || *ὁδοὺς Κ. τὰς εὐθείας*] Ὠσηὲ ιδ', 20. — Σελ. 268, 4/7. Ἐπειδὴ ἀντὶ τοῦ *κομίσαι* τὸ πρωτόγραφον ἔχει τὸ *κομίσας*, τὸ ὅλον ἄρα χωρίον ἀναγνωστέον ὧδε· *Ὁ ἐν ἁγ. Μ. πολλὴν προθυμίαν ἐν ταῖς τ. εὐκτ. οἴκων οἰκοδ. ἐσπούδασεν· καὶ τίμια λ. τ. ἁ. μ. Ἰ. κομίσας οἶκον*

*

Digitized by Google

α. σ. *ἀναστῆσαι καὶ* ι. ἐπ. *ἀνεσκοπεῖτο*.—Σελ. 269, 17 καὶ 19. Ἀποβλητέον τὸ δὶς ἐνταῦθα προστεθὲν ἄρθρον *τὸ*, οὐκ ἀναγκαῖον ὂν οὔτε τῷ προτέρῳ οὔτε τῷ μεθεπομένῳ κώλῳ || 17 γρ. *πανάρισιον* ἀντὶ τοῦ ἐν τῷ κώδικι *πανάρεσιον*.

Σελ. 271. Βίος τῶν ὁσίων Κοσμᾶ καὶ Δαμασκηνοῦ.—Ἄλλου τινὸς βίου τῶν αὐτῶν ποιητῶν, οὗ ἡ ἀρχὴ «Τιμᾶν ἐστιν ἄξιον τοὺς ἐφευρηκότας τὰ κάλλιστα», τεμάχη τινὰ ὅρα παρὰ τῷ Λέοντι Ἀλλατίῳ. De libris et rebus ecclesiasticis Graecorum. Parisiis 1646, σ. 120, 129, 138, 291, 292. De utriusque ecclesiae Occid. atque Orientalis perpetua in dogmate de purgatorio consensione. Romae 1655, σ. 740.—Σελ. 271, 11 *οὐ δύναται - - κειμένη*] Ματθ. ε', 14 || 16 γρ. *κατεσχέθησαν ἄλλα*. — Σελ. 272, 17 *συναπολέσθαι - - ἀσεβῶν*] πρβλ. Γενέσ. ιη', 23 || 32 γρ. *ὁσίου, εἶχεν*.— Σελ. 273, 21 γρ. *τἄλλα*] κῶδ. *τάλλα* || 23 *ἀγαπῶντας - - ψυχῆς*] πρβλ. Δευτερον. ϛ', 5.— Σελ. 274, 4 γρ. *σπουδῇ - - εὐφυΐᾳ* || 28 γρ. *αὐτοῦ*. — Σελ. 275, 32 κῶδ. *ἐξαρχῆς* — Σελ. 278, 24 γρ. *καταγάγω*. —Σελ. 279, 5 γράφε, κατὰ τὸν κώδικα, *διανείμαντες*.—Σελ. 282, 6 γρ. *σώαν* || 26 γρ. *μικροῦ διέλαθε*· οὕτως ἐν τῷ κώδικι.— Σελ. 283, 21 *ἐνθάδιος*] οὕτως ἔγραψα τὸ ἐν τῷ κώδικι *ἐθάδιος*, ὁδηγηθεὶς ἐκ τοῦ Κωνστ. Πορφυρογεννήτου, ποιουμένου χρῆσιν τοῦ *ἐνθάδια* ἐν τῇ σημασίᾳ τοῦ *ἰθαγενῆ, ἐντόπια*. Ὅρα De ceremoniis ἐκδ. Reiske, σ. 473 Bonn || 25 γρ. *αὐτῷ*.—Σελ. 284, 1 κῶδ. *διατοῦτο* || 14 γρ. *παίδευσιν καὶ τὸν βυθὸν τῆς θεολογίας καλῶς ἐρευνήσας ἐδιδάσκετο* κέ. — Σελ. 285, 3 γρ. *ἔσχατος, καὶ διακ. καὶ μανθάνειν, εἴπερ διδάσκειν* || 16 γρ. *προσεῖπε*. — Σελ. 286, 32 κῶδ. *πρέσβις*.—Σελ. 287, 15 γρ. *καταστῆσαι*. —Σελ. 292, 1 γρ. *ἀπήντησεν*, κατὰ τὸ ἀπόγραφον || 7/8 γρ. *ἐποιούμην*· οὕτως ἐν τῷ κώδικι || 23 γράφε, κατὰ τὸν κώδικα, *ἀνακτῶ, λαμπρῶς*.—Σελ. 296, 2 κῶδ. *ἀναβαλλόμενος* || 10 κῶδ. *ἐνελέει* || 28 *λάτρην*] οὕτως ἐν τῷ κώδικι, καθὰ ἐσημειώθη· περὶ δὲ τούτου τοῦ τύπου ὅρα Cramer, Anecdota Oxoniensia, τ. II, σ. 365, 5, καὶ Θησαυρὸν Ἑρρ. Στεφάνου, ἐκδ. Didot, τ. V, σ.

Digitized by Google

132. — Σελ. 298, 2 ἀντὶ τοῦ *συστρεφόμενος* ἀνάγνωθι, κατὰ τὸν κώδικα, *στρεφόμενος*. ‖ 6 γρ. *ἀπᾷδόν* ‖ *ποιήσηται*] ἀπόγρ. *ποιήσεται*. — Σελ. 300, 14 γρ. *κατοικήσω*", ζήσας κτλ. — Σελ. 301, 1. Ὀβέλισον τὸ κατὰ παραδρομὴν ἐνταῦθα τετυπωμένον *τῆς*, ὅπερ, ὡς εἰκός, οὐδ' ἐν αὐτῷ κεῖται τῷ κώδικι. — Σελ. 302, 16. Μετὰ τὸ *σου* πρόσθες τὸ *σὺν*, ὅπερ ἐξέπεσεν ἐκ τῆς τυπώσεως τοῦ κειμένου.

Σελ. 303. Βίος Ἰωάννου Δαμασκηνοῦ καὶ Κοσμᾶ. — Σελ. 303, 3 γρ. *ἰέναι*. — Σελ. 304, 1/2 *διαμωσάμενος*] τοῦτο οὕτως ἔχει ἐν τῷ κώδικι· ἔστι δὲ μετοχικὸς ἀόριστος τοῦ *διαμάομαι*, ἑρμηνευόμενος διὰ τοῦ Ἡσυχίου· «*ἐμώσατο* = εὗρεν, ἐτεχνάσατο, ἐζήτησεν» ‖ 19/20 γρ. *ἄλλως*· οὕτως ἐν τῷ ἀπογράφῳ. — Σελ. 305, 6 *τῷ λουτρῷ καὶ τῷ φωτὶ τοῦ κήρυκος* = Παύλου] πρβλ. Πράξ. κβ', 6-16 ‖ 23. Μετὰ τὸ *ἀρχῆς* οὐδέν, ὡς φαίνεται, ἐξέπεσε· τὸ γὰρ *Τὴν δὲ* συνενούμενον διὰ κόμματος ἁπλοῦ τῇ ἑτέρᾳ περιόδῳ τὸν λόγον ἀποφαίνει σαφῆ καὶ πλήρη. Στικτέον οὖν ὧδε· *κρυπτόμενος, τὴν δὲ δημοσίαν ἅπασαν διοίκησιν ἀναδεδεγμένος, ὥσπερ οὐ διώξας, ἀλλὰ διωχθεὶς ὑπὸ τῆς ἀρχῆς· ὁ γὰρ* κτλ. — Σελ. 306, 1/3. Ὅτι τὸ χωρίον ἐνταῦθα διεφθαρμένον ἐστίν, ἕκαστος οἶμαι ὁμολογεῖ· ἀλλ' ὅ τι αὐτῷ ἐλλείπει, ζητητέον, κατὰ τὸν κώδικα, μετὰ τὸ *πρὶν*· ἔχει γὰρ οὗτος ἐκεῖ οὕτω· *πρὶν*: *καὶ*· διὸ καὶ τὸ χωρίον, τῆς ἤδη πρότερον ἐν αὐτῷ γενομένης συμπληρώσεως οὔσης, ὡς εἰκός, πλημμελοῦς, ἀναπληρωτέον ἁπλῶς ὧδε· *ὁ γὰρ Δανιὴλ τὸ πρὶν* [*δοξάσας*] *καὶ τὸν Ἰωσήφ, ἄρχοντας ἀνόμων καταστήσας ἀνδρῶν, αὐτὸς* κτλ. ‖ 24/25 γρ. *φερόμενος καὶ κυνόδους - - - σαρκῶν αὐτῶν*), "*Πόθεν* κτλ. — Σελ. 308, 2 *ἀνερευνᾶτο*] οὕτως ἀναύξητον ἐν τῷ κώδικι· ὅρα καὶ σ. 318, 23 τὸ *διοίδαινε* ‖ 8/11. Ἐνταῦθα, καθὰ καὶ ἐν ἄλλοις τόποις, τὸ κείμενον ἐν τῷ καιρῷ τῆς τυπώσεως παρανενόηται, γενομένου ἅμα καὶ τυπογραφικοῦ τινος ἐν αὐτῷ σφάλματος· διὸ καὶ κατὰ τὸν κώδικα, καλῶς ἔχοντα, ἀνάγνωθι οὕτως· « - - *ἐν ἀκρωλενίοις τε λιμένος ὑποκρυψάμενοι, ἑαυτοῖς καὶ ἰχθυοβολεῦσι* [κῶδ. ἰχθυοβελεῦσι] *τοὺς ἰχθῦς*» κτλ. — Σελ.

Digitized by Google

309, 1 γράφε, κατὰ τὸν κώδικα, *πυρούμενος* καὶ πρβλ. Κορινθ. 2, ια', 29 ‖ 6. Τὸ ἐν τῷ κώδικι *καιωφρυώιιων* διορθωτέον οἶμαι ἁπλῶς εἰς *καιαφρυάττων*, ἂν καὶ ὁ τύπος οὗτός ἐστιν ἄγνωστος· ἀλλ' ἐν τῇ Παλαιᾷ Διαθήκῃ φέρεται τὸ ἐνεργητικὸν *ἐφρύαξαν* (Ψαλμ. β', 1. Πράξ. δ', 25) ‖ 27 γρ. *διειάπονιο, ἔπεσε* ‖ 28 γρ. *ζήσανιας, θυμηδίας*. — Σελ. 310, 9. Τὸ ἐν τῷ κώδικι *χαρίσασθαι* διορθωτέον ἀναντιρρήτως εἰς *χαρίσασθε*.— Σελ. 311, 15. Μετὰ τὸ *ᾀδομένην* ἐξερρύη τὸ *τῶν*· διὸ ἀνάγνωθι· *τῶν ἔξω λόγων* κτλ. ‖ 20 κῶδ. *διαμασσώμενος*. — Σελ. 312 1/2 γρ. *πολλοῖς καὶ ἀθέαιος ἐκεῖσε* κτλ. ‖ 15 γράφε, κατὰ τὸν κώδικα, *Ἰωάννην καὶ ιὸν θάιερον δὴ* ‖ 24/25 *ἀμέλει ῥᾷον εἶδος μειαλαβεῖν κακίας ἐπιιραχεῖς ιὰς ἁπαλωιέρας ψυχὰς οἶδα, ιῆς ἀρειῆς πρὸς ὕψος ἀποιείνειν ὀξύιερον*. Τὸ χωρίον τοῦτο, οὕτως ἔχον ἀκριβῶς ἐν τῷ ἀπογράφῳ, ἐξ ἀρχῆς ἐφάνη μοι καὶ νῦν φαίνεταί μοι δυσκατάληπτον· ἀλλὰ καὶ ἡ γενομένη αὐτοῦ διόρθωσις ἐν τῇ τυπώσει φαίνεταί μοι νῦν ἐσπευσμένη· καὶ ἐπειδὴ οὐδὲν ἔχω λέγειν περὶ αὐτοῦ πιθανὸν ἢ βέβαιον, ἀφίημι τοῦτο νῦν ἐν τῷ κειμένῳ οὕτως, ὡς ἐν τῷ ἀπογράφῳ ἔχει, ἵνα ἕτεροι τοῦτο διασαφήσωσι. — Σελ. 314, 7 γρ. *προσκελαδούσας* ‖ 13 κῶδ. *οὕιως*] γρ. *οὖιος* ‖ 20 γρ. *ἐλάβειε*. — Σελ. 315, 14 *πῶς ἐπὶ ιῷ θεμελίῳ - - καλάμην*] Κορινθ. 1, γ', 12.—Σελ. 317, 20 κῶδ. *δοκεῖ* ‖ 23 ἀπόγρ. *ἀκήκοον*.—Σελ. 318, 10 *καθεξῆς*] κῶδ. *καθ' ἑξῆς* ‖ 16 γρ. *φοβηθήσειαι*"; ‖ 20 γρ. *ἀποπιᾶσαν* ‖ 23 *διοίδαινε*] οὕτως ἀναύξητον ἐν τῷ κώδικι· ὅρα καὶ σελ. 308, 2 τὸ *ἀνερευνᾶιο*.—Σελ. 319, 25 γράφε, κατὰ τὸν κώδικα, *κυλικηφόρους*.—Σελ. 320, 6 *ποιήσασθε*] κῶδ. *ποιήσασθαι* ‖ 20 γρ. *πάνια*, κατὰ τὸν κώδικα.— Σελ. 321, 1 γρ. *δράμαιος* (= σκευωρίας), κατὰ τὸν κώδικα, ἀντὶ τοῦ *γράμμαιος* ‖ 16 γρ. *παρισιάνιων*, κατὰ τὸν κώδικα· ἐν τῷ τύπῳ ἐγράφη ἀντ' αὐτοῦ τὸ *παρισιάνον* ‖ 17 γρ. *γνῷς* ‖ 27/29 γρ. *σοφόν, ὅιε βούλειαι, ἐλέγχουσα—, καὶ ἀφαιρῶν ἐξ ὀμμ. ὀρ. καὶ ισχὺν ἀπὸ δυναιῶν, ιοὺς ιῶν γραμμάιων ιύπους* κτλ. —Σελ. 322, 14 γρ. *εὐέμπωιός ιινων*· κῶδ. *ιινῶν* ‖ 31 γρ.

Digitized by Google

πίσιν ἄμφω γεγόναμεν.—Σελ. 324, 13 γρ. *αὐτῇ, οἷ προσαπερρίφη, παραβαλὼν* ‖ 21 *δι' οὗ*] κῶδ. *δι' ὃν* ‖ 22 κῶδ. *τόμῆς* ‖ 28 γρ. *ταυτί.*—Σελ. 325, 15 γρ. "*Ἀδελφέ*", *τῷ Κοσμᾷ φησιν*, "*τίνα* κτλ.—Σελ. 327, 4 γρ. *ἄλλα*· οὕτως ἐν τῷ ἀπογράφῳ.—Σελ. 328, 7 γρ. *προήκοντα*· οὕτω καὶ ἐν τῷ ἀπογράφῳ.—Σελ. 329, 18 γρ. *ἐπηκόῳ* ἀντὶ τοῦ τυπογραφικῶς ἡμαρτημένου *ὑπηκόῳ*· καὶ πάλιν ἕτερον αὐτόθι ἁμάρτημα· γράφε *Χάρις* ἀντὶ τοῦ *Χαίρω* ‖ 24 γράφε, κατὰ τὸν κώδικα, *βρῖθον* (= ἐμβριθὲς).—Σελ. 330, 1. Τὸ *καταπλάττονται* μετέτρεψα εἰς *καταπλήττωνται* βοηθείᾳ τοῦ Πολυδεύκους (δ', 58), λέγοντος· «τὰ δὲ ὄργανα τὰ κρουόμενα εἴποις ἂν καὶ πληττόμενα» ‖ 2 κῶδ. *ἀνήκουον* ‖ 16 *τις*] κῶδ. *τὰ* ‖ 18 γρ. *ταυτί.* — Σελ. 331, 7. Μεταξὺ τοῦ *λαμπρᾶς* καὶ τοῦ *καί τινας* ἐν τῇ τυπώσει παρελείφθησαν αἱ λέξεις *βασιλικὴν πᾶσαν δορυφορίαν ἐπιφερόμενον, τραπέζης τε μετέχοντα δαψιλοῦς* ‖ 20 γρ. *ληρωδήματα.* — Σελ. 332, 20. Ὀβελιστέον τὸ μετὰ τὸ *ἀνακαθίσας* περιττῶς πρότερον προστεθὲν *ἐπί.*—Σελ. 333, 21 γρ. *τὰ φθάσαντα* ‖ 28 γρ. *ἀλλ' ὅμως, τῶν εἰς αὐτὸν πεποιθότων ἐπεὶ οὐ καταισχύνει τὴν ἐλπίδα Θεός, οὐ ῥαθύμως τὴν σὴν θεραπείαν μετέλθωμεν.*—Σελ. 335, 15 γράφε, κατὰ τὸν κώδικα, *τῆς ὠτειλῶν ὀδύνης* ‖ 20 γρ. *οἱ μὴ τῆς πάντη.*—Σελ. 336, 2 γράφε, κατὰ τὸν κώδικα, *εἰ δ' οὖν ἀλλ'* ‖ 9 γρ. *ἀφορμάς, αὐτὸς* ‖ 15 γρ. *τοῖς ἑωθινοῖς* ‖ 23 *καθεξῆς*] κῶδ. *καθ' ἑξῆς*· οὕτω καὶ σελ. 337, 4.—Σελ. 337, 12 *οὗτος*] κῶδ. *οὕτως.* — Σελ. 338, 14 γρ. *αὐτὰς ἀφεῖναι, τὸ παρὰ* κτλ. ‖ 27 γρ. *ταυτί.* — Σελ. 339, 15. Ἐκ παραδρομῆς ἐγράφη τὸ *κοσμεῖ,* ἀνθ' οὗ τὸ ἀπόγραφον ἔχει τὸ *κρατεῖ*· διορθωτέον δὲ τοῦτο εἰς *κροτεῖ* ‖ 23 κῶδ. *σὺν ἐπὶ τούτοις.*—Σελ. 344, 11. Ἐν τῷ κώδικι ὑπάρχει τὸ *μείζοσι,* οὐχὶ δὲ τὸ ὑποσημειωθὲν *μείζουσι.*—Σελ. 348, 1 κῶδ. *θέμενος* ‖ 2 κῶδ. *χαριζόμενος* ‖ 7 γρ. *γλῶτταν*· οὕτως ἐν τῷ κώδικι.—Σελ. 349, 15 κῶδ. *πρὸς τοὺς* ‖ 17 κῶδ. *ἔλαμψιν.*—Σελ. 350, 1 *ἐν καθέδρᾳ πρ. αἰνεῖν*] πρβλ. Ψαλμ. ρϛ', 32 ‖ 11 κῶδ. *με* ‖ 12 κῶδ. *ἠνόμησα.*

Σελ. 351. Μαρτύριον τῆς ἁγίας Γολινδούχ — Σελ.

Digitized by Google

352, 23/24 *απότομον*] ούτως έχουσιν οἱ κώδικες ΒΓ, ἀλλ' ἀντὶ τοῦ *απότομον* δέον γράψαι ἐν τῷ κειμένῳ τὸ τοῦ κώδικος Α *απώμοτον*, ὅπερ συμφωνεῖ τοῖς ὑπὸ τοῦ Εὐστρατίου διηγηθεῖσιν· ὅρα σελ. 155, 24, 25.—Σελ. 353, 5 γρ. *διασαφᾶν*". ‖ 14. Ὀβελιστέα τὰ περὶ τοῦ *απάλειψιν* ἐν ὑποσημειώσει γραφέντα· τὸ *απάλειψιν* ἔχει καλῶς, ἂν μόνον τὸ *νομισμάτων* διορθωθῇ εἰς *νοσημάτων* ‖ 14/17. Ἐνταῦθα συνανεμίχθησαν αἱ γραφαὶ τῶν κωδίκων ΑΒΓ· ἀλλ' οἱ κώδικες ΑΓ μαρτυροῦσιν, ὅτι ὁ συγγραφεὺς ἐξ ἀρχῆς συνέταξε τὸ χωρίον οὕτως· *Ὁρμίσδα δὲ τοῦ υἱοῦ* (ὁ υἱὸς Β) *Χοσρόου τὴν βασιλείαν παραλαβόντος* (παραλαβὼν Β) *καὶ πυθομένου* (οὕτω καὶ ἐν τῷ Β) *τὰ περὶ ταύτην* (τούτων ΑΒΓ), *πολλαῖς αὐτὴν ἐκβαλὼν βασάνοις* (καὶ μάστιξιν Β) *ὑπέβαλε* (ὑπεβάλετο Γ), *κακοῦ κόρακος κακὸν τυγχάνων* (τυγχάνον Α, ὑπάρχων Γ) *ᾠόν*.—Σελ. 356, 1 γρ. *βασιλέων*

Σελ. 367. Βίος τοῦ ὁσίου Εὐστρατίου. — Σελ. 368, 16 γρ. *δοξαζομένη, τὰς* ‖ 19 *θησαυρίζουσα, κατὰ*.—Σελ. 369, 23 γρ. *θαυμάσιος, πρὸς*.—Σελ. 372, 32 γρ. *λέγει*.—Σελ. 373, 18 γρ. *προβαλομένη, ἣν - - φθέγξασθαι, πατέρα*.—Σελ. 374, 27 γρ. *ὁμωρόφιος*] κῶδ. *ὁμορρόφιος*. Ἡ λέξις αὕτη κεῖται ἀμάρτυρος ἐν τῷ λεξικῷ τοῦ Σουΐδα (σ. 776 Bekker) καὶ ἐν τῷ λεγομένῳ τοῦ Ζωναρᾶ λεξικῷ (σ. 1447), ἔνθα συνωνυμεῖ τῷ «ὁμόστεγος»[1]· ὅμως δὲ τῷ *ὁμωρόφιος* ἐχρήσατο Γρηγόριος ὁ Ναζιανζηνός. Migne, Patrol. gr. τ. 38, σ. 88.—Σελ. 375, 1 *εἰσελθεῖν, ἀεὶ* ‖ 11 *μεμαθηκέναι, τὴν*.—Σελ. 376, 22 γρ. *συμπτώματα; ἤ τίς* (κῶδ. *ἤτις*) *τούτου πρὸς τοὺς δεομένους* * * *εὐθυμώτατος* κτλ. Τὸ ἔλλειμμα ζητητέον μετὰ τὸ *δεομένους*, οὐχὶ δὲ μετὰ τὸ *συμπτώματα* ‖ 26/27 γρ. *πατὴρ, κατοικτειρήσας* ‖ 27 *αἰτοῦντι, λύσας* ‖ 32 γρ. 22 - - *ἔλλειμμα*. — Σελ. 377, 8. Τὸ τοῦ κώδικος *απώλεις*, ὅπερ ἐν τῷ κειμένῳ μετε-

[1] Καὶ ἐν τοῖς ἐμοῖς Fontes hist. imperii Trapezuntini I, σ. 135, ἐγράφη κακῶς τὸ *ὁμόρροφοι* ἀντὶ τοῦ ὀρθοῦ *ὁμώροφοι*· ἀνθ' οὗ ὁ κῶδιξ ἔχει τὸ ἡμαρτημένον *ὁμόροφοι*.

Digitized by Google

βλήθη εἰς *ἀπολεῖς*, διορθωτέον ἁπλῶς εἰς *ἀπόλλυς* ‖ 15 γρ. *ἔχειν* ‖ 18 *οὖς* ‖ 19 *ἐκπεπλήρωκεν, τῇ*.—Σελ. 379, 9 γρ. *ἀποβάς, ἐπελάβετο* ‖ 17 *παρέχω· καὶ εἰ τοῦτο, μὴ ἀθύμει*. — Σελ. 380, 27 γρ. *Κόνωνος*] κῶδ. *κώνονος*.—Σελ. 382, 27 γρ. *πανοικὶ*] κῶδ. *πανοικεῖ*. — Σελ. 383, 26 κῶδ. *ἐξεληλύθη*. — Σελ. 385, 16 *τῷ*] τοῦτο οὕτως ἔχει ἐν τῷ ἀπογράφῳ· διορθωτέον εἰς *τοῦ* = τοῦ παιδός· *ἐπὶ τοῦ τῆς χήρας τῆς ἐν Σαρεφθὰ τῆς Σιδωνίας, τοῦ παιδός, ἐκ νεκρῶν ἐξανάστησις*.—Σελ. 386, 18 *ἐκτενὴν*] οὕτως ἐν τῷ ἀπογράφῳ ἀντὶ τοῦ *ἐκτενῆ*· πρβλ. Θησαυρὸν Ἑρρ. Στεφάνου, ἐκδ. Didot τ. III, σ. 586. — Σελ. 389, 16/22 γρ. *Ἡ παρὰ τῷ οἰκείῳ ἀνδρὶ ἐπιβουλευθεῖσα, λέγω δὴ Βάρδα τοῦ κατ' ἐκεῖνο καιροῦ καίσαρος χρηματίσαντος, καὶ τῆς πρὸς αὐτὸν ἐκδιωχθεῖσα συνοικήσεως εὐλαβεστάτη ἄνθρωπος, ὀνόματι Θεοδοσία, τοῦτον τὸν ὅσιον πατέρα συχνῶς προσκαλουμένη καὶ τῶν οὐρανοδρόμων αὐτοῦ ἐντρυφῶσα εὐχῶν, δουλίδα τεταρταΐζοντι ῥίγει* (κῶδ. *τετραΐζοντι ῥηγίως*) *συνεχομένην κεκτημένη, ἐν τέσσαρσιν ἔτεσιν ὑγιῆ ἀπέλαβεν* κτλ.—Σελ. 390, 10 *ἱκετ. αὐτὸν*] κῶδ. *ἱκετ. αὐτῷ* ‖ 26 *καταρτῦσαι*?— Σελ. 391, 13. Σημειωτέον, ὅτι τὸ μὲν *ὑπὸ* - - δείκνυσι τὸ πέρας ἑνὸς τῶν φύλλων τοῦ κώδικος, τὸ δὲ *ναι* τὴν ἀρχὴν ἑτέρου φύλλου, καὶ ὅτι μέσον ἀμφοτέρων ὑπάρχει φύλλον ἕτερον ἐκ χάρτου, παντάπασιν ἄγραφον, δι' οὗ δῆλον γίνεται, ὅτι τὸ κείμενόν ἐστιν ἐλλιπές ‖ 22 *βραχεῖ*] κῶδ. *βράχει* ‖ 23 *αὐτὸ*] κῶδ. *αὐτῷ* — Σελ. 392, 7 κῶδ. *ὁρᾶτο* ‖ 13 γρ. - - - *ωσιν διά τινων πληροφορηθεὶς πραγμάτων. Μηδὲν εις τοῦτο διστάσῃς, ἀλλὰ χαῖρε, ἀμέμπτως τὸν ἐπίλ. σου διατ. χρόνον· εἰ* ‖ 16 γράφε, κατὰ τὸν κώδικα, *παρέχων σοι, τὰ κατὰ σαυτὴν* κτλ.—Σελ. 393, 10 γρ. *ἀνόνητα*] κῶδ. *ἀνώνητα* ‖ 18 *καὶ ἐξάρας* - - *Ἰσραὴλ*] πρβλ. Γενέσ. μθ', 33 κέ ‖ 27 γρ. *θλάσμα* ‖ 28 γρ. *ὑποστᾶσα*. — Σελ. 394, 5 γρ. *αὐτῇ*] κῶδ. *αὐτὴν* ‖ 6/7 γρ. *ἀναστᾶσα* ‖ 8 γρ. *τόπου παραγένετο*· τὸ *αὐτῆς*, ὅπερ ἐνταῦθα προσετέθη, περιττεύει· ὅρα τὸ «*ἐν τῷ τόπῳ γέγονεν*» (15), ἐξ οὗ δῆλον, ὅτι ὁ λόγος

Digitized by Google

ἐστὶ περὶ τοῦ τόπου, ἐν ᾧ κατέκειτο τὸ λείψανον τοῦ ὁσίου || 32 γράφε, κατὰ τὸν κώδικα, *ἀπιών, αἴφνης καταπεσών*.—Σελ. 395, 1 *ἡμίξηρος*] κῶδ. *εἰ μήξηρος* - - *παρὰ τυχόντων* || 4 κῶδ. *ἀκηκοὸς* || 10/11 κῶδ. *ὅρκων ὧν διὰ στόμ. προσφέρεις* || 16 γρ. *γεγονώς, ὑγιής, ὡς μ. λ. τ. ὑποστάς, ἀνέθορεν* (κῶδ. *ἀνέθωρεν*).—Σελ. 396, 19 γρ. *ἔστη· ἀπὸ τοῦ νῦν μὴ ἀθύμει* || 26 κῶδ. *στόμαιι*. — Σελ. 397, 6/7 γρ. *παρεγένετο· ἔτι* (κῶδ. *ἔστη*) *δὲ τοῦ ἱεροῦ σκήνους ἐν τῷ μεσαιτάτῳ τοῦ ναοῦ κατακειμένου, τέθεικεν* κτλ. || 9 γρ. *ἀλλόμενόν τε καὶ ἀκοῦον* (κῶδ. *ἀκούων*) || 15/16 κῶδ. *πλησίων* || 30 κῶδ. *ὡσημέραι*.—Σελ. 398, 6 ἀπόγρ. *τυπήσαντες* || 8 *ἐξεώσαντες*] οὕτως ἐν τῷ κώδικι || 19 κῶδ. *ὑπὲρ ἄνω* || 23 γρ. *ἤγαγεν, βαδίζειν* || 28 γρ. *πλήρης* ἀντὶ τοῦ *πλησθείς*, ὅπερ ἐτυπώθη κατὰ παραδρομήν. — Σελ. 399, 5 γράφε ἁπλῶς *Ἕτερος* ἄνευ τοῦ *Καί*, ὅπερ ὡσαύτως ἐκ παραδρομῆς ἐτυπώθη || 22 κῶδ. *ἀνθ' ὑπέστρεψεν* || 27 κῶδ. *παρ' εὐθὺ·* οὕτω καὶ πρότερον.— Σελ. 400, 7 κῶδ. *φαίειν* || 11 κῶδ. *ἴλεος ἴλεος* || 12 *χήρας*] κῶδ. *χεῖρας*.

Digitized by Google

ΠΑΡΟΡΑΜΑΤΑ ΔΙΟΡΘΩΤΕΑ

ΕΝ ΤΩΙ ΠΕΜΠΤΩΙ ΤΟΥΤΩΙ ΤΟΜΩΙ.

Σελ.	Στίχ.		Γράφε.
2	25	καθ' ἑξῆς	καθεξῆς
6	2	Ὅ	Ὄ
»	7	γαλιλαῖον - - ὁ	Γαλιλαῖον - - ὁ
7	14	αὐτούς, φθάσας - - στρατιώ-ταις	αὐτούς· φθάσας - - στρατιώταις·
8	15	αὐτῶν	αὑτῶν
»	22	Εἰ [οὐ] δυνάμεθα	Εἰ δυνάμεθα (προβλ. σελ. 21, 6)
»	23	πρόσχες	πρόσσχες
9	14	ἀπέστειλεν	ἐπέστειλεν
»	29	ἴδε	Ἴδε
11	7	ἀρχαγγέλων	Ἀρχαγγέλων
»	11	ἄγγελοι	Ἄγγελοι
12	14	δαίμοσιν	Δαίμοσιν
13	2	εἴδωμεν	ἴδωμεν
»	23	σου	σου,
18	21	ἐλάσσονος λογισμοῖς	ἐλάσσονος, λογισμοῖς
»	22	μέγιστα οὐκ	μέγιστα, οὐκ
»	32	οὗτος	οὕτως
20	2	θύε	θῦε
21	4	ὀδύνας	ὠδίνας
»	6	φίλον [οὐκ] ἔστιν	φίλον ἐστὶν } (ὅρα σ. 8, 22)
»	7	(ἐπεὶ)	ἐπεὶ } (ὅρα σ. 8, 22)
25	1	ὡς	Ὡς
26	9	κνίσσα	κνίσα
27	2	σε, οὓς	σε· οὓς
»	3	γυναῖκες	γυναῖκες,
30	8	κατηχηθείς	κατηχηθεὶς
34	3	ἀνδραγάθων	Ἀνδραγάθων
»	11	χρήματι	σχήματι

Digitized by Google

Σελ.	Στίχ.		Γράφε.
36	3	ἐρραθύμησας	ἐρρᾳθύμησας
»	24	Δαματαλιὰ ἀνδρῶν	Δαματαλιά, [ὅπερ ἐστὶ μεθερμηνευόμενον τῶν τοῦ Θεοῦ] ἀνδρῶν (πρβλ. σ. 34, 2'.
»	26	2 ἱνατί	3 ἱνατί
37	6	Ὁρᾶς	Ὁρᾷς
»	10	αὐτὸν	[ἐμὲ] αὐτὸν
39	2	μετεστειλάμην	μετεστειλάμεθα
»	16	χυρεάδων	χοιράδων
»	19	ἐξ αὐτῆς	ἐσαῦθις
»	23	μετεστειλάμην	μετεστειλάμεθα
40	23	καὶ [τῆς] γνώμης	καὶ γνώμης
41	10	βίᾳ	βίαν
45	22	Ἤ	Ἦ
46	11	ἦρα	ἤρα
47	9	ἀνίησαν	ἀνῄεσαν
»	21	πρωτοάμρτυρα	πρωτομάρτυρα
»	22	σου, Κύριε. Δὸς	σου. Κύριε, δὸς
»	24	ἦρεν	ἦρεν
»	34	παλάττιν	παλάτιν
49	9	ἀποστόλων	ἀποστόλων,
»	27	αὐτὸν ἁμαρτάνοντας	αὐτὸν ἁμαρτάνοντας,
50	2	ὧν	ἦν
»	19	αὐτοῦ	αὐτῆς
52	10	κόσμῳ, τὸ	κόσμῳ τὸ
54	13	**hagiographorum**	**hagiohraphicorum**
57	32	καταθῆναι	καταθεῖναι
62	23	κεκρυμμένον	κεκρυμμένος
64	7	παρεύσομαι	πορεύσομαι
65	13	εἰμί	εἶμι
66	6	βασιλίδα	Βασιλίδα
»	9	βασιλίδος	Βασιλίδος
69	8	ἀντιλήπρορος	ἀντιλήπτορος
70	5	ἐπροείδεσαν	ἐπροῄδεσαν
72	4	ἐλέγχει,	ἐλέγχει·
»	11	πρὶν στηρίξαι	πρὶν [ἢ] στηρίξῃ
»	27	ἐρώννυεν	ἐρρώννυεν
73	9	ἀπαίτει τιμάς·	ἀπάντα τιμᾶν·
76	21	μαρτύριον· τὸν - - θάνατον, πρῶτος	μαρτύριον, τὸν - - θάνατον· πρῶτος
»	22	μαρτυρήσας· πρὸ	μαρτυρήσας, πρὸ
80	16	τὰς	τὰ
81	1	τῆ	τῇ
83	35	22-ου	23-ου
84	8	πῶμα	πόμα

Digitized by Google

Σελ.	Στίχ.		Γράφε.
86	13	καὶ φησίν	καί φησιν
»	17	χυλοῦ	χυλῷ
89	11	13	12
91	4	σε [εἰς] τὸν	σε τὸν
»	11	πώποτε	πούποτε
»	24	ὑπάντησιν	ἀπάντησιν
93	23	ἠγροιωμένον	ἠγριωμένον
94	10	αὑτοῦ	αὐτοῦ
»	13	τοῦτα	ταῦτα
»	22	ἦρεν	ἦρεν
95	4	στόματος διάφοροι κολαζομένων φωναὶ ἠκούοντο	σώματος πλῆθος διαφόρων κολαζομένων φωνῆς ἠκούετο
99	14	παρόντων.	παρόντων·
»	20	Ἰὼβ *	Ἰὼβ [ἐξουσίαν]
»	22	Κύριος	Κύριος,
103	6	σκύλεσθε	σκύλλεσθε
104	22	Χριστὸς	[ὁ] Χριστὸς
105	3	ἡμῖν	ὑμῖν
107	31	ἀγαπήσατε	ἀγαπήσητε
108	19	διδασκαλίαν	διδασκαλίαν,
110	4	τῆς	διὰ τῆς
111	5	ὡς	ὡς
»	32	Κορινθ. ζ'	Κορινθ. 1, ζ'
»	33	Κορινθ. ς'	Κορινθ. 1, ς'
112	28	" οὐ	οὐ
»	32	Κορινθ. ζ', 24.	Κορινθ. 1, ζ', 20.
115	18	αὖ τὸ	αὐτὸ
119	23	αὐτῶν	αὐτὸν
127	17	αὐτοῦ	αὑτοῦ
129	23	καλεύσαντος	κελεύσαντος
133	31	εὗρε	εὑρὼν [ἀνεπαύσατο]
134	17	ἐπάνοδον [ἀναμένων]. Θέλων	ἐπάνοδον. Θέλων
135	23	[ὡς] καὶ	καὶ
139	1	ἀπόστολον	ἀπόστολον,
140	26	ἔτι καὶ παιδευτῶν [ἦν] εὐπ.	ἔτι, καὶ παιδευτῶν εὐποροῦσα
142	23	μέτριον καὶ	μέτριον, καὶ
144	11	πονηρὸς τὴν	πονηρός, τὴν
145	12	μετῆρε	μετῆρε
159	5	Τούτῳ Ἰ. πειθόμενος	Ταῦτα Ἰ. πυθόμενος
167	20	ἐξιλεωσόμεθα - - ἐπιστρέψωμεν	ἐξιλεωσόμεθα - - ἐπιστρέψομεν
170	3	ἵνα	ἵνα [μὴ]
»	4	τὸ μὴ	τῷ μὴ

Digitized by Google

Σελ.	Στίχ.		Γράφε.
171	10	ἔσηται	ἔσεται
173	33	*προβλεψαμένου* B	*προσβλεψαμένου* B
177	32	17	18
178	34	39 τῆς δευτέρας κέ	(Μετάθες ταῦτα εἰς σελ. 179 καὶ γράψον οὕτω· 1 *τῆς δευτέρας*] ἐλλ. τῷ B).
181	16	βασίλειον Θεοῦ λαὸς δεῦτε	βασίλειον. Θεοῦ λαός, δεῦτε
182	4	ᾄσματος	Ἄσματος
»	11	λίθος οὗ	λίθος [ἐξ] οὗ
»	24	κεφαλὴν	κεφαλήν·
183	2	Ηχος	Ἦχος
184	3	κατηρρυθρωμένην	κατηρυθρωμένην
185	11	ᾠδαῖς, ἐφυμνίοις,	ᾠδαῖς ἐφυμνίοις
»	14	ἐνείληκται.	ἐνείληται.
186	32	ᾦφ	ᾦα
»	34	και	καὶ
187	8	λόγου	Λόγου
188	3	ὀθώνια	ὀθόνια
194	9	συνελθόντων· ἄνδρας	συνελθόντων (ἄνδρας
»	10	μέγας, οὓς	μέγας), οὓς
»	11	ἄγει δίκην	ἄγει, δίκην
204	30	ματὰ	μετὰ
205	11/12	ἐρωμένον	ἐρρωμένον
212	7	αὐτοῖς	ἐκείνοις
»	19	ἐπιστρεφώς	ἐπιστρεφῶς
»	24	λόγον	λόχον
213	16	οὐδαμῶς	οὐδόλως
220	15	περιβεβλημένην	περιβεβλημένον
221	5	ὥρας	ἄρτι ὥρας
»	13	ἐρωμένον	ἐρρωμένον
222	8	εἰμί	εἰμὶ
225	33	*κεχριμμένην* B	*κεχριμμένην* B
229	10	πολλλούς	πολλοὺς
230	5	σοί.	σοί,
232	4	ἐν	" ἐν
»	5	" οὐκ	οὐκ
235	11/12	χρωμένοις	χρωμένους
239	19	προστίθεται. Ἐπὶ	προστίθεται, ἐπὶ
»	20	μέγαν καὶ	μέγαν, καὶ
245	32	3 *φήσις* B	4 *φήσιν* B
247	9	οὗτοι	οὔτι
248	12	ἐντολῶν—	ἐντολῶν·
»	13	Κυρίου—καὶ οὐ φόβος	Κυρίου καὶ οὐ φόβος,
249	15	καὶ	τῆς
»	27	ὑπ'	ὑπ'

Digitized by Google

Σελ.	Στιχ.		Γράφε.
250	21	τῷ	τῇ
»	24	ἐπιστρεφῶς	ἐπιστρεφῶς
251	2/3	σπηλοίου	σπηλαίου
»	16	δοκεῖ	δεῖ
256	9	Κλεώπαν	Κλεόπαν
261	17	βλέπουσαν·	βλέπουσαν,
262	28/29	χεὶρ αὐτῷ ξίφει, κατὰ	χείρ, αὐτῷ ξίφει κατὰ
264	8	αὐτῆς	αὐτοῖς
»	28	τὸν	εἰς
»	33	τὸν	εἰς
265	10	μωρίαν	μυρίαν
274	18	τε'	τε
275	1	πολιετίαν	πολιτείαν
276	11	τὸ	τοῦ
278	4	ἄλυτον	ἄλυπον
280	23	ῥᾳδίως	ῥᾳδίας
284	25	βασιλεῖς καὶ	βασιλεῖς αὐτῆς καὶ
291	7	Χερρόννησον	Χερρόνησον
»	33	καλλοναῖς μᾶλλον	καλλοναῖς τὸ θεῖον ἐκεῖνο περιλάμπεται πρόσωπον, οὐ τεχνικαῖς μᾶλλον
292	15	ἦσαν, τὸ	ἦσαν τὸ
295	16	ἀπελσταλκότας	ἀπεσταλκότας
296	14	ἦρε	ἦρε
300	18	ζητούμενον	ζηλούμενον
301	11	ὅλως θαυμ.	ὅλως ἀκούσειε θαυμ.
302	23	ῥάβδον	ῥάβδου
304	7	ὅλως	ὅλους
305	20	μοι	με
309	29	ἐπιβάλοντι	ἐπιβάλλοντι
314	18	ὁποῖάν τινα	ὁποίαν τινὰ
315	21	ἦσαν,	ἦσαν
318	12	ἑαυτῷ	ἐμαυτῷ
323	25	κάλλιστα	κάκιστα
334	21	ἀμυδρῶς	ἀμυδρῶς πως
336	17	ῇ	ἡ
»	21	τὸ	τὰ
347	27	συμβιωτεύειν	συμβιοτεύειν
350	15	κατωτέρῳ	κατωτέρω
351	31	71	72
353	27	71	73
354	12	72	74
355	18	σοῦ	σὴν

Digitized by Google

Σελ.	Στίχ.		Γράφε.
355	23	73	75
356	11	ψυχῆς	ψυχῆς ὁ λόγος
358	15	74	76
361	31	πολέμους	πολέμοις

Digitized by Google

ΣΗΜΕΙΩΣΕΙΣ

ΕΙΣ ΤΑ ΕΝ ΤΩΙ ΠΕΜΠΤΩΙ ΤΟΥΤΩΙ ΤΟΜΩΙ ΚΑΤΑΚΕΧΩΡΙΣΜΕΝΑ

ΑΓΙΟΛΟΓΙΚΑ ΚΕΙΜΕΝΑ.

Σελ. 1. *Βιβλιογραφικὸν σημείωμα περὶ τοῦ μαρτυρίου τοῦ ἁγίου Προκοπίου.* — Τοῦ μαρτυρίου τούτου χρῆσις ἐγένετο ἐν τῇ ἑβδόμῃ οἰκουμενικῇ συνόδῳ διὰ τοῦ διακόνου καὶ ῥεφερενδαρίου Στεφάνου (ὅρα σελ. 6)· ἕτερα δὲ ἀντίγραφα τοῦ αὐτοῦ μαρτυρίου σημειοῦνται ἐν τοῖς ἑξῆς βιβλίοις· L. Allatii de Symeonum scriptis diatriba. Parisiis 1664, σ. 98. Catalogus codicum hagiographicorum graecorum bibliothecae Nationalis Parisiensis; ediderunt hagiographi Bollandiani et Henricus Omont. Bruxellis 1896, σ. 36, 49, 264, 297. Παλαιὰ σλαβικὴ μετάφρασις, τύποις ἔτι ἀνέκδοτος, εὑρίσκεται ἐν τοῖς μεγάλοις συναξαρίοις τοῦ Μακαρίου. Ὅρα Подробное оглавленіе Великихъ Четіихъ-Миней всероссійскаго митрополита Макарія. Москва 1892, полугодіе II, στήλη 303. В. Васильевскій, Синодальный кодексъ Метафраста (ἐν τῷ Журналъ Мин. Народнаго Просвѣщенія 1897), σ. 384. Δύο συντομώτατα συναξάρια τοῦ ἁγίου Προκοπίου ὅρα παρὰ τῷ Bruno Violet, Die Palästinischen Märtyrer des Eusebius von Cäsarea. Leipzig 1896, σ. 23 καὶ 110. Ὁ αὐτὸς αὐτόθι (σ. 3-6) συμπαρέβαλε τὸ περὶ τοῦ Προκοπίου χωρίον τοῦ Εὐσεβίου πρὸς τὴν παλαιὰν αὐτοῦ συριακὴν ἑρμηνείαν. Ἕτερα κείμενα περὶ τοῦ μάρτυρος Προκοπίου

Digitized by Google

σημειοῦνται ἐν τῇ Bibliotheca hagiographica graeca. Bruxellis 1895, σ. 115.—Σελ. 11, 21 *ἠνήχειο*] οὕτω μετὰ διπλῆς αὐξήσεως ἐν τῷ κώδικι. — Σελ. 17, 8 *ἀνεώγασιν*] περὶ τοῦ τύπου τούτου ὅρα Hadjidakis, Einleitung in die neugriechische Grammatik, σ. 203. — Σελ. 21, 4 *τὰς ὠδῖνας λ. τοῦ θανάτου*] Πρβλ. Πράξ. β', 24.

Σελ. 28. Μαρτύριον τοῦ ἁγίου Στεφάνου. — Σελ. 29, 24 *περσεινὸν*] ἀλλαχοῦ (40, 14) *περσεϊνόν*. Ἐν τῷ ἱστορικῷ λόγῳ (57, 23) ἑρμηνεύεται οὕτω· «γλωσσόκομον ἐκ περσέας· εἶδος δὲ τοῦτο ξύλου»· ἔστι δὲ τοῦτο τὸ *πέρσειον* ἢ *πέρσιον* καλούμενον (Θεοφρ. περὶ φυτῶν ἱστορίας β', 2, 10), ὅπερ ἀποκόπτεται ἐκ περσέας. Ὅρα Θεόφρ. ἔνθ. ἀνωτ. δ', 2, 50 «ἐν Αἰγύπτῳ δ' ἐστὶν ἕτερον (= δένδρον) ἡ *περσέα* καλούμενον, τῇ μὲν προσόψει μέγα καὶ καλόν, παραπλήσιον δὲ μάλιστα τῇ ἀπίῳ καὶ φύλλοις καὶ ἄνθεσι καὶ ἀκρεμόσι καὶ τῷ ὅλῳ σχήματι». — Σελ. 34, 22 *καλῶς ποιήσας*] οὕτως ἐν τοῖς κώδιξιν ἀντὶ τοῦ ἁπλοῦ *ποιήσεις*.—Σελ. 39, 16 *χυρεάδων* = χοιράδων] τὸ *χοιρεάδων* ἔστι πιθανῶς τύπος μεταγενέστερος τοῦ *χοιράδων*· σήμερον δὲ τὸ τῆς χοιράδος πάθος ὀνομάζεται *χελώνι* ‖ *ἐξ αὐτῆς*] οὕτως ἐν τῷ Α· νομίζω ὅμως τοῦτο διεφθαρμένον ἐκ τοῦ *ἐσαῦθις ἧκεν*, ὅπερ ἐν τῷ Β παρεφράσθη εἰς *ἐπανῆλθεν*. — Σελ. 45, 8 σημειοῦ τὸν νέον ἑλληνικὸν τύπον *ἀντιπερνούντων*. — Σελ. 47, 18 σημειοῦ τὴν σύνταξιν τοῦ *ὅπως* (= ut) μετὰ ἐνεστῶτος ὁριστικῆς.—Σελ. 49, 3 *ἐκ δεξιῶν ἑστῶτα*] Πράξ. ζ', 56 ‖ 30 σημειωτέον τὸ *τιμωρουμένων* ἐν τῇ ἐννοίᾳ τοῦ *τιμωρούντων*.

Σελ. 54. Ἀντιπαραβολὴ τοῦ περὶ τῆς μετακομιδῆς τοῦ λειψάνου τοῦ ἁγίου Στεφάνου λόγου πρὸς ἕτερον αὐτοῦ ἀντίγραφον.—Τὸ κείμενον τοῦτο ἐπ' ὀνόματι (Μιχαὴλ) τοῦ Ψελλοῦ εὗρον ἔτει 1895-ῳ ἔν τινι μεμβρανίνῳ κώδικι τῆς λαύρας τοῦ ὁσίου Ἀθανασίου τοῦ Ἀθωνίτου, ὅστις ἐγράφη ὑπό τινος Μανασσῆ ἔτει 1302/3-ῳ. Ἀριθμὸς Γ. 99, φύλλ. $237^{β}$-$252^{β}$, κείμενον τοῦ λόγου, οὗ ἡ ἐπιγραφή· « ·:· Τοῦ Ψελλοῦ: —

Digitized by Google

μηνὶ αὐγούστῳ β'.—Λόγος ἐπὶ τῇ ἀνακομιδῇ τοῦ θείου καὶ ἁγίου λειψάνου τοῦ ἁγίου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου». Ἐν τῇ ὀπισθίᾳ σελίδι τοῦ 253-ου φύλλου ὁ τοῦ κώδικος ἀντιγραφεὺς ἔγραψε ταῦτα· «*Ἔτει γραφῆς τῶ ,ςωια' ἀπὸ κτίσεως κόσμου· βασιλεβόντων Ἀνδρονίκου τοῦ Παλαιολόγου· καὶ τοῦ υἱοῦ αὐτοῦ Μιχαὴλ· τῶν εὐσεβῶν βασιλέων:- καὶ πατριαρχεύοντος Ἀθανασίου τοῦ ἁγιωτάτου καὶ ἀσκητικωτάτου*». Εἶτα φύλλον χάρτινον, ἐν ᾧ περιέχεται τὸ σημείωμα τοῦτο· «*Μετ' ἐδέθη ἐπιμελῶς τὸ παρὸν βιβλίον διὰ συνδρομῆς ἐμῆς Γενναδίου προηγουμένου, δι' ἐξόδων δὲ τοῦ προηγουμένου κὺρ Γαβριὴλ Λημναίου, καὶ οἱ ἀναγινώσκοντες εὔχεσθε ἀμφοτέρων. ,αψος'*». Τὸ ὄνομα τοῦ καλλιγράφου Μανασσῆ ὑπάρχει ἐν τῷ ἐπιγράμματι τῷ περιεχομένῳ ἐν τῷ 2-ῳ φύλλῳ τοῦ κώδικος· τούτου μέντοι τοῦ ἐπιγράμματος τὸ κείμενον μετὰ πλήρους περιγραφῆς αὐτοῦ τοῦ κώδικος ἐκδοθήσεται δι' ἑτέρου τινὸς ἡμετέρου βιβλίου.—Διαφέρουσαι γραφαί. Σελ. 54, 6 *αὐτοῦ ἀγαθότητος*.—Σελ. 55, 13 *ὑποδείξας καὶ τὸν οὐρανὸν ἀνοίξας καὶ τοῖς* || 15/17 *καλὸν γὰρ ἄνωθεν τὰ περὶ αὐτοῦ διηγήσασθαι, εἶθ' οὕτως καὶ τὰ περὶ τῆς κοιμήσεως, ἔτι τε περὶ τῆς ἀνακομιδῆς τοῦ ἱεροῦ καὶ θείου τούτου λειψάνου καὶ ὅπως ἐξ Ἱεροσολύμων εἰς τὴν Βασιλεύουσαν μετεκομίσθη καταυγασθέντας, οὕτω καθ' ὁδὸν* || 23 *τῆς Ἰησοῦ ὁρᾷ τὸ ζηλοτυπῶν* || 24 *Ἕλλησι ἰδίᾳ κατηλέγχετο.* — Σελ. 56, 2 *τῆς τοῦ Διαβ. συμμορίας* || 9 *τῷ*] *τὸ* || 10 *μηχανομένους* || 13 *οὖν κατάκρας* || 25 *οὐδὲ μίαν* || 28 *διεφθορῶς*] *διαφθοραῖς*.—Σελ. 57, 7 *ἀνέστη*] *ἀνέπτη* || 8 *μαργαρίτας* || 9 *μὲν*] ἐλλείπει || 13 *οὕτῶ* || 14 *δι' ἁπάντων* || 21 *ἀνεπαύσατο* || 22 *κηδεύοντες*] *καὶ κηδεύουσιν.* — Σελ. 58, 4 *συστησάμενοι* || 6 *κατακούσας* || 19 *Ἀβελβοῦς*· οὕτω καὶ κατόπι || *ἤδη*] *ἡδὺ* || 32 *καθειστήκει τῷ λαῷ*— Σελ. 59, 8 *κατεκρύπτετο θ. πρεσβύτης* || 15 *μεγέθει, τὴν ὥραν περικαλλῆ* || 21 *ἤκουεν.*— Σελ. 60, 1 *ἐστὶν*] ἐλλείπει || 16 *αὐτὸν εὐθὺς* || 17 *ἀμφέβαλλες* || 26 *ὁρῶντο* || 28 *μεστός*] *πυρρῶν*.—Σελ. 61, 7 *ἑώρακε* ||

Digitized by Google

14 *ἀκούειν* ‖ 15 *ηὐδόκησεν* ‖ 24 *ἔφεσις*. — Σελ. 62, 17 *ταῖς ἄνωθεν ὑπείκων φωναῖς* ‖ 22 *κατὰ γῆς* ‖ 23 *καὶ ὁ ὑπὸ γῆν κεκρυμμένος* ‖ 25 *εὐθυγώνως* ‖ 28 *τρομάξαι* ‖ 29 *ἀνέθαλλε* ‖ 30 *ἤδεῖα*] ἐλλείπει ‖ 31 *μετεκοίμιζε*.—Σελ. 63, 3 *μεγάλην τὴν* ‖ 12 *ἀναγαγόντες* ‖ 12/13 *Σιών, μετὰ ταῦτα δὲ ναὸς* 25 *αὐτῆς μεθ' ἑαυτῆς προσλαβεῖν* ‖ 26 *οἰκείαν πατρίδα τὴν Κωνσταντινούπολιν*. —Σελ. 64, 3 *ἢ*] *ἡ* ‖ 10 *ἡ Ἰουλιανὴ* ‖ 11 *τῷ ἁγίῳ* ‖ 12 *προέχεε*] *προΐσχει* ‖ 17 *σεβαστέρνιον* ‖ 18 *λεκανίῳ - - καταιεθεῖσα* ‖ 21 *τοῦ*] ἐλλείπει ‖ 29 *ᾔδεισαν*.—Σελ. 66, 1 *ὁ*] ὑπάρχει ‖ 16 *ἐγεγόνει* ‖ 16 *ὅτε*] *ὅτι* ‖ 21 *ταύτην*] ἐλλείπει ‖ 30 *τῷ Χριστῷ*.—Σελ. 67, 2 *πρὸς ὑπαντὴν παραγενέσθαι* ‖ 4 *ἡ Ἰουλιανὴ* ‖ 23 *νῦν*] ἐλλείπει ‖ 29 *ὡς ἑκκαίδεκα*] *ὀκτωκαίδεκα*.—Σελ. 68, 1 *με*] *μου* ‖ 3 *δέσποτα*] ἐλλείπει ‖ 17 *κατὰ τάχος* ‖ 20 *καὶ ὁμοίως* ‖ 26 *τῶν φωνῶν ἐπακούσας* ‖ 30 *σεβάσμιον ἐγείρει*. — Σελ. 69, 3 *προσερχομένων ἐπιδείκνυται* ‖ 6 *τῆς ταῖς*.

Σελ. 82. Σημειώσεις εἰς τὸν βίον τοῦ ὁσίου Ἱλαρίωνος.—Τοῦ βίου τούτου παλαιὰν σλαβικὴν ἑρμηνείαν, γενομένην κατ' ἄλλην τινὰ διαφέρουσαν ἐν πολλοῖς σύνταξιν, ὅρα ἐν τοῖς Велнкія Минеи Четіи. Октябрь, дни 19-31. Ἐν Πετρουπόλει 1880, σ. 1682-1732· ταύτης δὲ τῆς ἑρμηνείας ἡ τύπωσις ἐγένετο ἐξ ἀπογράφου, οὗ τὸ πρωτότυπον εἶχέ τινα φύλλα συγκεχυμένα. — Σελ. 84, 8 *πόμα*] κατὰ παραδρομὴν ἐν τῷ κειμένῳ ἐτηρήθη ἡ τοῦ κώδικος ἐσφαλμένη γραφὴ *πῶμα* ‖ 1 *Θαβαθά*] ἐν τῷ λατ. κειμένῳ Tabatha· ἐν τῷ σλαβικῷ Іуѳа. — Σελ. 86, 17 *χυλῷ*] οὕτως ἀνάγνωθι ἀντὶ τοῦ ἐκ τοῦ *χύλου* διορθωθέντος *χυλοῦ*.— Σελ. 91, 4 *Ὁρκίζω σε τὸν κύριον*] περιττῶς ἐν τῷ τύπῳ προσετέθη τὸ [*εἰς*]· ὅρα Μάρκου ε', 7 «ὁρκίζω σε τὸν θεόν»· καὶ πάλιν Πράξ. ιθ', 13 «ὁρκίζω ὑμᾶς τὸν Ἰησοῦν»· καὶ πάλιν Θεσσαλ. 1, ε', 27 «ὁρκίζω ὑμᾶς τὸν κύριον». — Αὐτόθι 11 *οὐδὲ ἔχω σ. ἀ. πούποτε*] οὕτως ἀναγνωστέον· τὸ *ἔχω* ἀντὶ τοῦ ἐν τῷ κώδικι προφανῶς ἐσφαλμένου *ἔχειν*, καὶ τὸ *πούποτε* ἀντὶ τοῦ *πώποτε*· τοῦ *πούποτε* μαρτυρίας ὅρα ἐν τῷ λεξικῷ τοῦ Ἐ. Α. Σοφο-

Digitized by Google

κλέους.—Αὐτόθι 24 *ἀπάντησιν*] ἀντὶ τούτου ἐν τῷ κειμένῳ ἔγραψα *ὑπάντησιν*, ὁδηγηθεὶς ἐξ ἄλλων τινῶν χωρίων τοῦ αὐτοῦ κειμένου, οἷον 100 11 *ὑπήντησαν*, 100 21 *ὑπήντησεν*, 113 19 *ὑπήντων*· ἀλλ' ἐπειδὴ ὁ τοῦ κειμένου τούτου συγγραφεὺς ἀδιαφόρως χρῆται τοῖς τύποις *ἀπαντῶντας* (93, 16) καὶ *ἀπήντησεν* (102, 11), κατ' ἀνάγκην τηρητέον καὶ τὸ τοῦ κώδικος *ἀπάντησιν*. — Σελ. 94, 15 *Ἀειλέας*] οὕτως ἔγραψα ἀντὶ τοῦ ἐν τῷ κώδικι *Ἀχιλέας*· τὸ λατινικὸν κείμενον ἔχει τὸ Ailae· τὸ ε παρέλαβον ἐξ ὑποτεθείσης τούτου μετατροπῆς ἐν τοῖς ἀντιγράφοις εἰς χ· ὑπάρχει δ' ἐν τοῖς κώδιξιν [ὅρα Forbiger, Geogr. II, σ. 747] ἡ γραφὴ *Ἀειλά*· τὸ προφανῶς ἐσφαλμένον *Ἀχιλέας* εἶχεν ὑπ' ὄψει καὶ ὁ τοῦ βίου σλάβος ἑρμηνεύς, γράψας καὶ αὐτὸς ὡσαύτως отъ Аххилея.—Σελ. 95, 4 *σώματος πλῆθος διαφόρων κολαζομένων φωνῆς ἠκούετο*] οὕτω, κατὰ τὸν σλάβον ἑρμηνευτήν, ἀναγνωστέον ἀντὶ τῆς πρότερον ἐν τῷ κειμένῳ γενομένης μεταβολῆς· καὶ πάλιν αὐτόθι 7 ἀντὶ τοῦ προστεθέντος [*ἐπειδὴ*] ὁ σλάβος ἀνέγνω ἐν τῷ πρωτοτύπῳ *κἂν*=понѣ.—Σελ. 96, 6 *Ζανάνους*] οὕτως ἐνταῦθα· ὁ σλάβος Манану· ἀλλαχοῦ δὲ *Ζαζάνῳ* (128, 27), *Ζαζάνους* (126, 6) *Ζαζάνουν*, ἔνθα ὁ σλάβος ἔγραφε Занунѣ, Занану, Занануна.—Σελ. 110, 6 *ὡς φάσκει*] Κορινθ. 1, ζ, 25 || 14 *θέλει - - ἑαυτόν*] Κορινθ. 1, ζ', 8 || 16/18 πρβλ. Ῥωμ. ε', 15, 16. ϛ', 14 || 24 ⟨*τοὺς*⟩ *ἀξίους*] τὸ *τοὺς* ὑπάρχει ἐν τῷ κώδικι· φανερὸν ὅμως ἐκ τοῦ κατόπι *τούτους*, ὅτι ἐκεῖνο περιττεύει.—Σελ. 111, 17 *τὸ μὴ σαίνεσθαι ἐν ταῖς θλίψεσιν*] πρβλ. Θεσσαλ. 1, γ', 3.—Σελ. 112, 2/4 Τιμοθ. 1, ε', 11, 12 27/28 *Τοῖς οὖν φοβουμένοις - - ἡτοιμάσθησαν*] Ψαλμ. ιδ', 4. Σειρὰχ α', 13 || *στέφανοι τῆς δόξης*] Πέτρου 1, ε', 4.—Σελ. 114, 8 *Λοῦζα*] οὕτως ἐν τῷ κώδικι ἀντὶ τοῦ ὀρθοῦ *Ἐλούσης*· ὁ σλάβος ἔγραψεν Илуза.—Σελ. 115, 10 *Σκινδουλᾶ*] σλαβ. Скидула 17 *ὀνομάσας τὸν τόπον αὐτὸν*] οὕτω, κατὰ τὸν σλάβον, διορθωτέον τὸ ἱεροσολυμιτικὸν ἀπόγραφον, οὗ ἡ γραφὴ *αὐτό*, τῆς τυπώσεως γιγνομένης, ἀκατάληπτος ἦν, ὡς εἰκός, ἐμοί· οὐ γὰρ ἠδυνάμην τότε πιστεῦσαι, ὅτι τὸ ἑαυτοῦ κελλίον ὁ Ἱλαρίων ὠνόμασε

Digitized by Google

μοναστήριον (ὅπερ ὁμολογουμένως ἄτοπον)· μᾶλλον δ' ἐνόμιζον, ὅτι «παρουσίᾳ τῶν ἀδελφῶν» ὠνόμασεν αὖ τὸ μοναστήριον, πρὸς ὅπερ αὐτὸς ἐξερχόμενος τοῦ Σκινδουλᾶ τὴν πορείαν ἕτοιμος ἦν ποιήσασθαι. Νῦν οὖν ὁ σλάβος ἑρμηνεὺς δείκνυσιν, ὅτι ὁ τοῦ κειμένου συγγραφεὺς ἐθέλει λέγειν μοναστήριον ὠνομάσθαι, τουτέστιν εἰς τάξιν μοναστηρίου τετάχθαι τὸν περὶ τὸ κελλίον τόπον, ὅπερ αὐτὸν ἐξένισε τὸν Ἱλαρίωνα || 19 *πρὸς αὐτὸν*=πρὸς ἐκεῖνον =τὸν φειδωλὸν ἀδελφόν || 30 *Σιβᾶ*] σλαβ. «εἰς τὸ μοναστήριον τινὸς ἀδελφοῦ, καλουμένου Ἰβᾶ»· ἐν τῷ λατινικῷ κειμένῳ· «cui Sabas vocabulum est».—Σελ. 119, 23 *αὐτὸν*] οὕτω γραπτέον ἀντὶ τοῦ ἐν τῷ κώδικι *αὐτῶν*· ὁ σλάβος ἔχει τὸ *αὐτὸν* μετὰ τὸ *παρακαλοῦντες*.—Σελ. 120, 21 *Πλουσιανόν*] σλαβ. Плусигяна· ὅρα καὶ σελ. 121 7 *Πλουσιανὸς* = Плусияни. Τὸ ὄνομα τοῦτο γνωστόν ἐστι καὶ ἀλλαχόθεν. Σωζομενοῦ ἐκκλ. ἱστορία, τ. II, σ. 190 Hussey.—Σελ. 123, 27 *Ἀβασσὰν*] ὅρα καὶ σελ. 124, 14. 125, 17. Ἐν τῷ λατινικῷ κειμένῳ ἀναγινώσκεται ἀντὶ τοῦ *Ἀβασσὰν* τὸ Oasim, ἐν δὲ τῷ σλαβικῷ τὸ Анасъ ἅπαξ, καὶ δὶς τὸ Аусь.—Σελ. 126, 7 *εἰς Βλάσσαν*] σλαβ. въ Класъ. — Σελ. 128, 20 *ἑτέρων*] τοῦτο προσετέθη οὐχὶ ὡς ἀναγκαῖον, ἀλλὰ σαφηνείας ἕνεκα.—Σελ. 131, 29 *Βρεβίλιμβον*] σλαβ. Вервилимасъ.— Σελ. 133, 31. Ἀντὶ τοῦ *εὗρε* τηρηθήτω ἐν τῷ κειμένῳ τὸ ἐν τῷ κώδικι ἀναναπόδοτον *εὑρών*· ἀλλὰ μετὰ τοῦτο προσθετέον τὸ *ἀνεπαύσατο*, ὅπερ εὗρον, μετὰ τὴν ἐκτύπωσιν ἐν τῷ σλαβικῷ κειμένῳ. — Σελ. 134, 17. Ὀβελιστέον τὸ ἐκ παραδρομῆς ὧδε περιττῶς προστεθὲν *ἀναμένων*. — 135, 23. Καὶ τὸ *ὡς* = ὅπως ἢ ἵνα, ὅπερ ἐνταῦθα προσετέθη, περιττόν ἐστι κατὰ τὸν σλάβον ἑρμηνέα.

Σελ. 168. Σημειώσεις εἰς τὸν βίον τοῦ ἁγίου Ἀνδρέου τοῦ Ἱεροσολυμίτου.—Ὁ τοῦ ἁγίου τούτου βίος ὑπάρχει καὶ ἐν τρισὶν ἑτέροις ἀθωνικοῖς κώδιξιν, ἔν τινι δηλαδὴ κώδικι τῆς μονῆς τῶν Ἰβήρων [Νικοδήμου, Συναξαριστής, τ. II, σ. 245], ἐν τῷ 52-ῳ κώδ. τοῦ Καρακάλλα καὶ ἐν τῷ 48-ῳ κώδ. τοῦ Πρωτάτου [Σ. Λάμπρου, Κατάλογος κἑ., σ. 7 καὶ 133]· ἀλλὰ

Digitized by Google

τούτους ἐγὼ τοὺς κώδικας, ἐλλείψει χρόνου, οὐκ εἶδον· ὑπάρχει δὲ καὶ παλαιὰ τύποις ἀνέκδοτος σλαβικὴ μετάφρασις [Подробное оглавленіе Великихъ Четіихъ-Миней Макарія, Полугодіе II, στ. 297]. Συγγραφεὺς δὲ τούτου τοῦ βίου Νικήτας πατρίκιος καὶ κυέστωρ, οὗ τῆς ἀκμῆς ὁ χρόνος ἔστι μοι ἄγνωστος. Ἕτερος δὲ βίος Ἀνδρέου τοῦ Ἱεροσολυμίτου, οὗ ἡ ἀρχὴ «Οὐ δίκαιόν ἐστι ὥς γε μοι δοκεῖ», συνεγράφη τῇ 14-ῃ ἑκατονταετηρίδι, καθά φησι Νικόδημος ὁ Νάξιος, ὑπὸ Ἰωσὴφ τοῦ Καλοθέτου [Συναξαριστής, ἐκδ. Ἀθηνῶν 1868, τ. II, σ. 245]. Καὶ πάλιν ἕτερος βίος συνεγράφη τῇ 15-ῃ ἑκατονταετηρίδι ὑπὸ Μακαρίου τοῦ Μακρῆ, παραπεφρασμένος καταχωρισθεὶς ἐν τῷ Νέῳ Ἐκλογίῳ τοῦ Νικοδήμου [ἐκδ. Κωνσταντινουπόλεως 1863, σ. 151-155] καὶ ἐν τῷ Μεγάλῳ Συναξαριστῇ τοῦ Κ. Χ. Δουκάκη [Ἀθῆναι 1893, τ. VII, σ. 35-42]· περὶ δὲ τοῦ πρωτοτύπου κειμένου τούτου τοῦ βίου πραγματεύεται Χρύσανθος ὁ Λοπαρέβος ἐν τοῖς Βυζαντινοῖς Χρονικοῖς, τ. IV, σ. 345-348.—Σελ. 169, 3/4 *ἵνα* [*μὴ*] καὶ ἡμεῖς ταὐτὸν πάθωμεν, οἷς οὐκ ἔστιν ἔπαινος, *τῷ* μὴ τοὺς ἀξίους ἀξίως ἐγκωμιάζειν] οἱ κώδικες ΑΒ ἔχουσιν, ὡς ἐν τῷ τετυπωμένῳ κειμένῳ· ἀλλ' ἐπειδὴ τὸ χωρίον ἐκεῖ φαίνεταί μοι διεφθαρμένον, νομίζω ὅτι τὸ *μὴ* προσθήκης ἐστὶν ἄξιον ἐν τῷ κειμένῳ, κατὰ δ' ἀκολουθίαν τὸ τῶν κωδίκων *τὸ* μεταβλητέον ἁπλῶς εἰς *τῷ*· αὐτὸ δὲ τοῦτο τὸ χώριον ἔοικε πάλιν ἐμπεπνευσμένον εἶναι ἐκ τοῦ «οὕτως οἱ ἐγκαταλείποντες τὸν νόμον ἐγκωμιάζουσιν ἀσέβειαν, οἱ δὲ ἀγαπῶντες τὸν νόμον περιβάλλουσιν ἑαυτοῖς τεῖχος» (Παροιμ. κη', 4).—Σελ. 171, 9/10 *ὡς - - ἔσηται*] οὕτως ἐν τῷ Α, τοῦ *ὡς* ἐν αὐτῷ χρονικὴν ἔχοντος ἔννοιαν καὶ ἰσοδυναμοῦντος τῷ *ὅταν*· ὅτι δὲ οἱ Βυζαντινοὶ εἶχον καὶ βάρβαρον, ὡς εἰκός, ὑποτακτικῆς ἀόριστον χρόνον τοῦ τύπου ἔ σ ο μ α ι = ἔ σ ω μ α ι, τοῦτο γνωστὸν ἰδίᾳ ἐκ τῶν παρὰ Θεοδώρῳ τῷ Στουδίτῃ πολλῶν ἐκφραστικῶν παραδειγμάτων, ἅπερ ἅπαντά ἐστι χρόνου σημαντικὰ ἀορίστου καὶ ἰσοδυναμοῦσιν ἁπλῶς πρὸς τὸ ὦ μ ε ν.—Σελ. 176 5/6 *τοῦ ἐμψύχου καὶ ἡγιασμένου τοῦ Θεοῦ Λόγου ναοῦ*] Μακάριος ὁ Μακρῆς ἐν τοῖς Βυζαντινοῖς Χρονικοῖς IV, 346, «ὑπερουρανίῳ τοῦ θεοῦ λόγῳ ἐμψύχῳ

Digitized by Google

ναῷ». — Σελ. 117, 6 *ἐκμανῶς*] οὕτως ἐν τῷ Α ἀντὶ τοῦ ἐν τῷ Β *ἐμμανῶς*· τοῦ *ἐκμανῶς* ἕτερον παράδειγμα ὅρα παρὰ τῷ Φίλωνι ΙΙ, 552, 12 Mang.

Σελ. 180. Σημειώσεις εἰς τὴν ἐπὶ τῇ ἀνακομιδῇ τοῦ Ἁγίου Λίθου ἀκολουθίαν. — Ὁ κῶδιξ, ἐξ οὗ αὕτη ἐλήφθη, οὐκ ἦν ἠριθμημένος ἐν τῇ Λαύρᾳ ἔτει 1895-ῳ· πρόκειται δ' ἐν ταύτῃ τῇ ἀκολουθίᾳ οὐχὶ περὶ τοῦ Ἁγίου Λίθου τοῦ ἐν τῷ Κουβουκλίῳ τοῦ Ἁγίου Τάφου [ὅρα Ἀναλ. τ. II, σ. 147, 188, 420, 448, 449. III, σ. 61, 62, 64, 113, 117, 144], ἀλλὰ περὶ τοῦ ῥιζιμαίου λίθου, ἐφ' οὗ ὁ Χριστὸς ἀποκαθηλωθεὶς ἐσμυρνίσθη [Ἰωάνν. ιθ', 38-42]. Τὸν λίθον τοῦτον ἀποκοπέντα, ἀνδρομήκη δὲ ὄντα καὶ τὴν χροιὰν ἐρυθρόν, εἶχεν ἐν ἑαυτῷ ὁ ἐν Ἐφέσῳ ναὸς τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου [Νικήτας Χωνιάτης, σ. 289]· τὸ πότε μέντοι καὶ πῶς ἐξ Ἱεροσολύμων εἰς Ἔφεσον ὁ λίθος ἐκεῖνος ἀνεκομίσθη, ἐκεῖθεν δὲ πάλιν εἰς Κωνσταντινούπολιν, διδάσκει κατὰ λεπτὸν Ἰωάννης ὁ Κίνναμος, "οὗτος" (ὁ Μανουὴλ) λέγων "καὶ τὸν ἐν Ἐφέσῳ παλαιοῦ τοῦ χρόνου κείμενον λίθον ἱερὸν μεγαλοπρεπῶς εἰς Βυζάντιον ἀναγαγὼν (ἔτει 1169-ῳ) τοῖς τῇδε λοιποῖς ἀπέδωκεν ἁγίοις· ὅστις δὲ ὁ λίθος οὗτος καὶ ὅθεν εἰς Ἐφεσίων ἦλθε τὴν γῆν, ὁ λόγος ἑξῆς διηγήσεται. Τέλος ἤδη τὸ κατὰ τὸν σταυρὸν εἶχε τῷ σωτῆρι μυστήριον καὶ παραλαβοῦσα τοῦτον ἡ μήτηρ ἀνέκλινέ τε ὕπτιον, ὡς νόμος, ἐπὶ τοῦ λίθου τοῦδε, καὶ ἐπιπεσοῦσα βύθιον ἀνῴμωξεν, ὁποῖα εἰκός· μυρομένης δὲ τὰ δάκρυα τῷ λίθῳ πελάζοντα ἔτι καὶ νῦν ἀναπόνιπτα μένουσι· πρᾶγμα τεράστιον οἷον τοῦτον δὴ τὸν λίθον ἡ ἐκ Μαγδαλᾶ φασιν ἀναλαβοῦσα Μαρία ἔπλει Ῥώμης εὐθύ, ἐφ' ᾧ καίσαρι ἐς ὄψιν ἐλθοῦσα Τιβερίῳ, Πιλάτου καὶ Ἰουδαίων τῶν ἀδίκων Ἰησοῦ κατερεῖ φονευτῶν· ἀλλὰ τύχῃ τινὶ ἐς τὸν Ἐφεσίων λιμένα κατάρασα, αὐτὸν μὲν ἐνταῦθα ἔλιπεν, ἣ δὲ ἐκεῖθεν ἀφεῖσα ἐπὶ Ῥώμην ἀνήγετο· ἐξ ἐκείνου δὲ καὶ ἄχρι τοῦ νῦν ὁ λίθος ἐνταῦθα διετέλεσεν ὤν. Ἀχθέντα τοίνυν ἐς τὴν Δαμάλεως περαίαν, πομπὴ τοῦτον ἐκ Βυζαντίου διαδέχεται λαμπρά· ἐπλήρου δὲ ταύτην τό Ῥωμαίων τε γερούσιον ἅπαν καὶ ὅσον ἐν ἱεροπόλοις καὶ φίλοις

Digitized by Google

καὶ ἐν μονασταῖς ἦν, Λουκᾶ τοῦ τηνικάδε τὴν ἐκκλησίαν ἰθύνοντος καὶ βασιλέως τέλους ἑκατέρου προαρχόντων· βασιλεὺς μέντοι καὶ τὸν ὦμον ὑπέσχε τῷ λίθῳ" (Κινν. IV, η'). Τοῦτον μὲν οὖν τὸν λίθον ἐξ Ἐφέσου μετεκόμισεν εἰς Κωνσταντινούπολιν ὁ αὐτοκράτωρ Μανουὴλ ὁ Κομνηνός, ὡς ἡ πρὸς τὸν λίθον αὐτὸν ᾀσματικὴ διδάσκει ἀκολουθία, καταθέμενος αὐτὸν ἐν τῇ μονῇ τοῦ Παντοκράτορος· ποιητὴς δὲ τῆς ἀκολουθίας ἐστὶν ὁ χρονογράφος Σκυλίτζης (ὅρα σ. 181) Γεώργιος, οὗ καὶ ἕτεροι σῴζονται τύποις ἀνέκδοτοι ᾀσματικοὶ κανόνες [Ἱεροσολ. Βιβλιοθήκη, τ. III, σ. 145, 349. L. Allatii de Georgiis ἐν τῇ Bibliotheca graeca τῶν Fabricii-Harles, τ. XII, σ. 37). — Σελ. 181, 2/3 *πλάκας - - παροιστρήσαντος*] Ἐξόδου λβ', 19 || 11 *λίθον τὸν ἀκρόγωνον*] Ἠσαΐου κη', 16. Ψαλμ. ιζ', 22. Ἐφεσ. β', 20. Πέτρου 1, β', 6 || 18 *προσοίσωμεν*] ὅρα Ἡσύχιον· «οἴσωμεν· κομίσωμεν, φέρωμεν, ἄξωμεν»· ἀλλὰ καὶ Θεόδωρος ὁ Στουδίτης ἐμόρφωσε τὸ ἀντεισοίσωμεν, ὃ κακῶς ὁ Auvray διώρθωσεν εἰς «φέρε - - ἀντεισοίσομεν» [Κατηχ. σ. 22] || 23/25 *Ἐπλήρωσε - - ἔντιμον*] Ἠσαΐου κη', 16 || 31 *Τὴν πέτραν - - βλύζουσαν*] Ἐξόδου ιζ', 6.—Σελ. 182, 4/6. Πρβλ. Ἆσμα Ἀσμάτων, γ', 11· «θυγατέρες Σιών, ἐξέλθατε καὶ ἴδετε ἐν τῷ βασιλεῖ Σαλωμών, ἐν τῷ στεφάνῳ ᾧ ἐστεφάνωσεν αὐτὸν» κτλ. || 11 *ὄρος ἄτμητον, λίθος (ἐξ) οὗ ἐτμήθη*] ἐκ μετρικῆς ἀνάγκης προσθετέον ὧδε τὸ ἐξ· ὅρα καὶ σελ. 188 23, ἔνθα ὁ Σκυλίτζης ἔγραφε· «τὸ ὄρος - - ἐξ οὗ ἀλάξευστος λίθος, Χριστός, τέτμηται». Πρβλ. Δανιὴλ β', 34· «ἀπεσχίσθη λίθος ἐξ ὄρους ἄνευ χειρῶν». Ἀλλὰ καὶ Ἰωάννης ὁ Εὐχαΐτων ἔν τινι τροπαρίῳ γράφει· «Χαῖρε ὄρος ἀλάξευτον - -, ἐξ οὗ ἐτμήθη λίθος, τὰ εἴδωλα συντρίβων» κέ [Νικοδήμου Θεοτοκάριον, ἐν Κωνσταντινουπόλει 1849, σ. 125]. Τὸ ὄρος καὶ τὸν λίθον αὐτόν, ὃν ἄτμητον καὶ ἀλάξευτον Σκυλίτζης ὠνόμασεν, ἕτεροι μελῳδοὶ συνωνύμως ὀνομάζουσιν ἀλατόμητον, ὡς ὁ Εὐχαΐτων καὶ Ἰωάννης ὁ Δαμασκηνός [Anthologia graeca carm. christianorum, σ. 233], καὶ ἀχειρότμητον [Εἱρμολόγιον, Βενετία 1888, σ. 80. Θεοτοκάριον, σ. 95].—Σελ.

Digitized by Google

185, 1 *σὺν ᾠδαῖς ἐφυμνίοις*] πρβλ. σ. 187, 12 «ὑπαντῶντας ᾠδαῖς σὺν ἐφυμνίοις» = σὺν ἐφυμνίοις ᾠδαῖς || 14 *ἐνείληται*] οὕτω γράφε ἀντὶ τοῦ ἐν τῷ κώδικι *ἐνείληκται*· ὅρα Ἡσύχιον ἐν τῇ λέξει ἐνείληται. — Σελ. 187, 25 *βίβλῳ σῳζομένων*] πρβλ. Φιλιπ. δ', 3 «ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς». Ἑβρ. ιβ', 23 «ἐν οὐρανοῖς ἀπογεγραμμένων»· περὶ δὲ τῶν *σῳζομένων* ὅρα Λουκᾶ ιγ', 23. Πράξ. β', 47. Κορινθ. 1, α', 18. Κορινθ. 2, β', 15. — Σελ. 188, 3 *ὀθόνια λιπὼν*] πρβλ. Λουκ. κδ', 12. Ἰωάνν. κ', 6.

Σελ. 190. Σημειώσεις τινὲς εἰς τὸν βίον τοῦ ὁσίου Σάβα τοῦ Νέου. — Τὸ ἐν τῷ Βατοπεδινῷ κώδικι ἀπόγραφον τούτου τοῦ βίου εἶδε καὶ Πορφύριος ὁ Οὐσπένσκης, ἀντιγραψάμενος ἐξ αὐτοῦ τεμάχη τινά· ὅρα δὲ ταῦτα ἐν τῇ **Исторія Аѳона. Часть III. Отдѣл. второй.** Ἐν Πετρουπόλει 1892, σ. 657, 658, 726, 727. — Σελ. 321-324. Ὅρα Ἰωάνν. Καντακουζηνοῦ τ. II, σ. 209-211· «ἃ οἱ ἐν Ἄθῳ ἀναγνόντες καὶ προσήκουσαν αὐτοῖς τὴν ὑπὲρ τῶν τοιούτων σπουδὴν καὶ προθυμίαν οἰηθέντες, οἷα δὴ ὑπὲρ τῆς κοινῆς ὠφελείας ἐσομένην, καὶ παραθήξαντες ἀλλήλους, ἐκ πάντων ὅ τε πρῶτος ἐκλεγέντες Ἰσαάκ, ἀνὴρ τίμιος καὶ ἀρετῆς εἰς ἄκρον ἐληλακώς, καὶ ὁ τῆς Λαύρας ἡγούμενος Μακάριος, καὶ ἕτεροι τῶν κατὰ τὸ ὄρος φροντιστηρίων ἡγουμένων οὐκ ὀλίγοι· σὺν τούτοις δὲ καὶ ὁ χρόνῳ ὕστερον τῆς ἐν Κωνσταντινουπόλει ἐκκλησίας πατριάρχης γεγονώς, εἰς τὸν ἱερέων ἔτι τότε χορὸν τελῶν Κάλλιστος, καὶ Σαβάς, ὃς πρὸς τῇ Βατοπεδίου μονῇ τὸν ἀσκητικὸν ἤνυε δρόμον καὶ πολλοὺς ὑπὲρ ἀρετῆς καὶ θαυμασίους ἐπεδείξατο ἀγῶνας, εἰς Βυζάντιον ἀφίκοντο· βασιλίδι τε συγγενόμενοι, καὶ πατριάρχου καὶ τῶν περὶ αὐτὸν συνωμοτῶν παρόντων, "Ἡμεῖς" ἔφασαν "τὴν κατασχοῦσαν Ῥωμαίους ὁρῶντες συμφοράν, δεινὰ μὲν ᾠόμεθα τὰ πραττόμενα καὶ πέρα δεινῶν· οὐδὲν δὲ πλέον πρὸς ἐπικουρίαν καὶ ἀποτροπὴν τῶν δεινῶν δυνάμενοι συμβάλλεσθαι, τῶν ἄλλων ἀμελήσαντες, ὑπὲρ τῶν κοινῇ συμφερόντων ἐδεόμεθα Θεοῦ, τοῦ μόνου στῆσαι δυναμένου τὰς προσδοκωμένας συμφοράς. Νυνὶ δὲ τὸ διεστηκὸς

Digitized by Google

τῶν Ῥωμαίων ἰδόντες μέρος ἀσμένως χωροῦν πρὸς τὴν εἰρήνην καὶ μάλιστα ὅπερ δόκησιν παρεῖχε τὴν αἰτίαν παρασχέσθαι τῆς διαφορᾶς, καὶ Θεῷ τῷ τῆς εἰρήνης χορηγῷ πολλὰς χάριτας ὁμολογήσαντες καὶ γῆρας καὶ σωματικὴν ἀσθένειαν καὶ τοὺς περὶ τὴν ὁδοιπορίαν πόνους παριδόντες, ἥκομεν δεησόμενοι καὶ ὑμῶν, δέχεσθαι τὴν εἰρήνην καὶ μὴ διὰ φιλονεικίαν τὴν Ῥωμαίων ἡγεμονίαν νῦν τε διαφθειρομένην περιορᾶν καὶ ἔτι δεινότερα προσδοκωμένην πάσχειν, ἂν μὴ ταχέως ὁ πόλεμος καταλυθῇ. Ἔλεον οὖν καὶ αὐτοὶ λαβόντες τῶν ὁσημέραι χεομένων αἱμάτων καὶ τῶν δεσμωτηρίοις κατεχομένων καὶ τῶν ἐλαυνομένων καὶ ἀνήκεστα πασχόντων ἀνθρώπων, κυρώσατε τὴν εἰρήνην καὶ τῶν πολλῶν καὶ χαλεπῶν κινδύνων ἀπαλλάξατε Ῥωμαίους, ὡς ἂν Θεός τε ὁ τῆς εἰρήνης χορηγὸς δοξασθῇ καὶ βασιλίς τε καὶ πατριάρχης καὶ ὑμεῖς ἡ σύγκλητος οὐ παρὰ πάντων μόνον Ῥωμαίων, ἀλλὰ καὶ ἡμῶν τῶν ταπεινῶν ἀξίας κομίζησθε εὐχαριστίας τῆς προθυμίας τῆς περὶ τὰ καλὰ καὶ τῆς κηδεμονίας τῶν διὰ τὸν πόλεμον ἁπανταχοῦ διαφθειρομένων ἀνθρώπων ἀναιτίων". Πρὸς ταῦτα βασιλὶς μὲν οὐδὲν ἔπασχε δεινόν, ἀλλὰ καὶ κατὰ γνώμην ᾤετο εἰρῆσθαι αὐτῇ τοὺς λόγους».— Σελ. 324, 23. Ὁ Φιλόθεος ἀπεσιώπησε τὰ γενόμενα περὶ τοὺς Ἁγιορείτας ἐν Κωνσταντινουπόλει ὑπὸ τῶν ἀντικαντακουζηνῶν. Ὅρα Καντακουζ. τ. II, σ. 212-213· «Παρεκάλουν τε (οἱ ἀντικαντακουζηνοὶ) τοὺς δήμους ὑπὲρ τῶν βασιλέως παίδων, ὀρφανῶν ὄντων πατρός, ἀγανακτεῖν καὶ ἀμύνεσθαι τὸν ἀδικοῦντα· οὗ δὴ ἕνεκα ἐσκέψαντο συγκρούειν πρὸς ἑαυτοὺς τοὺς μοναχούς, καὶ Μακάριον μὲν τὸν Λαύρας ἡγούμενον, Θεσσαλονίκης μητροπολίτην ἀποδείξαντες, ἔπεισαν οὐ πρὸς τοὺς ἄλλους μόνον διενεχθῆναι μοναχοὺς καὶ Καντακουζηνισμὸν αὐτῶν κατηγορεῖν, ὅτι δὴ τὸν φίλον ὁρῶντες ἀπολεῖσθαι ὑπὸ τοῦ κοινοῦ πολέμου κινδυνεύοντα, ἐν ζήλου μοίρᾳ καὶ τῆς πρὸς τὰ βελτίω συμβουλῆς ἥκουσιν ἐκείνῳ βοηθήσοντες· ἀλλὰ καὶ βασιλέως πολλὰς καταχέειν λοιδορίας καὶ οὐδὲν ἐκείνων ἀπολείπεσθαι τὴν εἰς αὐτὸν πικρίαν. Ὅθεν καὶ γενόμενος ἐν Θεσσαλονίκῃ οὐδενὸς τῶν ἐκεῖσε τολμηθέντων ἐπὶ ὠμότητι καὶ πονηρίᾳ βεβοημένων ἀπελείπετο· πρῶτον

Digitized by Google

δὲ ἐν τῇ μονῇ τῇ προσαγορευομένῃ Πέτρᾳ ἀπρόιτον μένειν κατεδίκασαν, προνοίας τῆς εἰς τὸ σῶμα προσηκούσης οὐδεμιᾶς ἀποστερήσαντες· Σαβὰν δὲ διὰ τὸ ἀρετῇ τῶν ἄλλων ὑπερέχειν καὶ γνωριμώτατον τοῦ βασιλέως φίλων εἶναι, ἐπεὶ μὴ συμφρονεῖν αὐτοῖς ἐβούλετο, ἐν ἑτέρᾳ μονῇ τῇ Χώρᾳ προσαγορευομένῃ μένειν καὶ αὐτὸν ἐψηφίσαντο ἀπρόιτον· βουλομένων δὲ καὶ προνοίας ἀξιοῦν πολλῆς, οὐ κατεδέξατο, μὴ δίκαιον εἶναι, φάσκων, ἐκ τῶν αἵμασι καὶ φόνοις χαιρόντων τι λαβεῖν· τοῦτο δὲ μόνον εἰπών, ὡς τὸν ὑπὸ Θεοῦ φρουρούμενον οὐδεμιᾷ τινι μηχανῇ δυνατὸν ὑπ' οὐδενὸς διαφθαρῆναι, ἡσυχίαν ἦγε· τοῖς δ' ἄλλοις ἅπασιν, οὐ μάλιστα ἀξιολόγοις οὖσι, τὴν εἰς τὰς ἰδίας μονὰς ἐπέτρεπον ἐπάνοδον. Περὶ μὲν οὖν τὴν τῶν μοναχῶν πρεσβείαν τοιαῦτα πατριάρχῃ καὶ τοῖς συνωμόταις ἐτελεῖτο».—Τὰ ἐν τῷ βίῳ τοῦ ὁσίου Σάβα τυπωθέντα ἐσφαλμένως ὅρα ἐν ταῖς σελ. 414-416· νῦν δὲ σημειοῦνται ὧδε τὰ ἐν τῇ τυπώσει τοῦ κειμένου παραλειφθέντα τῶν κωδίκων ἀναγνώσματα.—Σελ. 196, 13 *ὑπέδειξε*] *ἐδίδαξε* M.—Σελ. 205, 7 *γινομένου* B || 19 *καταβαλλόμενος* B.—Σελ. 208, 31 *ὥσπερ*] *ὅσπερ* BM· ἴσως· «ὅπερ δὴ τοῖς ἐκεῖ νόμος»—Σελ. 209, 12 *νόμοις* B.—Σελ. 211, 22 *καίτι* B || 23 *ἐπιτήδια* B.—Σελ. 216, 24 *ἐπιρίπτει* B. — Σελ. 217, 1 *μόνης* B. — Σελ. 218, 11 *πᾶν ζῶον ἐμπιπλῶν* M.—Σελ. 220, 28 *νύσαν* B.— Σελ. 222, 2 *ἐγκυμένης* B || 29 *ὁποσοῦν* B. — Σελ. 225, 1 *ὅσο* B || 24 *ἀπήτη* B. — Σελ. 228, 13 *αοίδημον* B || 20 *πεφυκῶς* B. — Σελ. 229, 2 *φιλονικεῖς* B.—Σελ. 232, 11 *φοβερότερος* B.— Σελ. 235, 12 *τὸ μέσον* B.—Σελ. 243, 20 *ἀρχὴν ὑπώπτευον* M.—Σελ. 244, 15 *τε* M, *σοῦ* B. — Σελ. 245, 27 *ἑαυτοῦ* M, *αὐτὸν* B || 28 *ὧ*] *ἐκ* B.—Σελ. 250, 29 *ἰσχυρότερα* B.—Σελ. 251, 5 *ἐρριμένω* B. — Σελ. 256, 9 *Κλεώπαν* B || 25 *κατὰ τρυφῶν* B.—Σελ. 227, 1 *δοματίου* B || 12 *πανπληθεὶ* B— Σελ. 260, 5 *προλαβοῦσα* B. — Σελ. 264, 8 *αὐτοῖς*] *αὐτῆς* B.—268, 9 *δαιφιλείαν* BM.—Σελ. 277, 8 *θερίους* B.—Σελ. 278 *θεολογίᾳ* M, *θεολόγοις* B. — Σελ. 279, 22 *ἐσομένης* B.—Σελ. 288, 25 *ἑτέροθεν* B.—289, 16 *μηδοποσιοῦν* B.—

Digitized by Google

Σελ. 291, 12 *προσβάλλων* Β.—Σελ. 296, 4 *σύνεσις* Μ, *σύνθεσις* Β. —Σελ. 302, 31 *περιόψει* Β. — Σελ. 303, 32 *ἐθέλοις* (οι) Β.—Σελ. 304, 30 *συμπαραμένει* Β.—Σελ. 309, 16 *φορητῷ* Β. — Σελ. 310, 16 *ἀναζεῖ* Β || 29/30 *ταύτην*] *τούτων* Β.—Σελ. 311 *ἐπεπήγεισαν* ΜΒ.—Σελ. 332, 4 *τοῦτο* Β || 12 *ἄνειμι* Β.—Σελ. 327, 3 *μέντι* Β.—Σελ. 329, 16 *ἐνόση* Β.— Σελ. 330, 16 *ἀπώνασθαι* Β || 17 *ὠφεληθῶσι* Β || 22 *ἀπιθάσσου* Β || 22/23 *ἀπὸ πέμποντος* Β. — Σελ. 334, 8 *μυηθεὶς θειοτέρας* Μ.—Σελ. 349, 7 *θεωρήσομεν* Β.—Σελ. 351, 17 *φιλαλήλω* Β. — Σελ. 353, 9 *ἐκπίλου* Β || 10 *ἐπισκοτοῖ* Μ.— Σελ. 356, 11/12 *προβαίνει* Β || 23 *κατηλεγμένων* Β. — Σελ. 357, 17 *ἔχρησε* Β.—Ἐν τῷ Β αἱ μεμονωμέναι προθέσεις εἰσὶν ἡνωμέναι σχεδὸν ἁπανταχοῦ ταῖς ἑπομέναις αὐταῖς λέξεσι, ταῖς ἀπὸ φωνήεντος ἀρχομέναις.

Digitized by Google

Digitized by Google

ΠΙΝΑΞ ΚΥΡΙΩΝ ΟΝΟΜΑΤΩΝ

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

ΠΕΡΙΕΧΟΜΕΝΑ

Digitized by Google

Digitized by Google

Σελ.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google